Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

N
i
517Y
CONFINED



Gilbert-Murray
303382488$

# INITIA
# PHILOSOPHIÆ AC THEOLOGIÆ
## EX PLATONICIS FONTIBUS DUCTA

SIVE

# PROCLI DIADOCHI

ET

# OLYMPIODORI

## IN PLATONIS ALCIBIADEM COMMENTARII.

Ex codd. mss. nunc primum graece edidit

itemque

EIUSDEM PROCLI

INSTITUTIONEM THEOLOGICAM

integriorem emendatioremque adjecit

Fridericus Creuzer.

*Pars Prima.*

FRANCOFURTI AD MOENUM

IN OFFICINA BROENNERIANA.

MDCCCXX.

# ΠΡΟΚΛΟΥ ΔΙΑΔΟΧΟΥ
# ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΠΡΩΤΟΝ
# ΑΛΚΙΒΙΑΔΗΝ.

## Procli Successoris

in Platonis Alcibiadem Priorem Commentarii.

Ex

Codd. Mscrr. nunc primum edidit

Annotationemque subjecit

Fridericus Creuzer.

Francofurti ad Mœnum

in Officina Broenneriana.

MDCCCXX.

Joanni Francisco Boissonade

Literar. Græcc. In Academia Parisina Professori P. O.
Academiæ Inscriptionum Regiæ Sodali Ordinario,
Legionisque Honoris Equiti.

et

Friderico Guilielmo Josepho Schelling

Philosophiæ in Academia Erlangensi Professori Honorario,
Academiæ Regiæ Bavar. Monacensi Artium ab Actis Universis
Academiæ Reg. Bavar. Scientiarum Sodali Ordinario
et Reg. Bavarici Ordinis Coronæ Equiti.

Platonicorum Monumentorum Philosophiaeque Interpretibus Primariis

Fridericus Creuzer.

D. D.

N
i
517Y
CONFINED



Gilbert Murray
303382488$

# INITIA
# PHILOSOPHIÆ AC THEOLOGIÆ
## EX PLATONICIS FONTIBUS DUCTA

SIVE

# PROCLI DIADOCHI

ET

# OLYMPIODORI

## IN PLATONIS ALCIBIADEM COMMENTARII.

Ex codd. mss. nunc primum graece edidit

itemque

EIUSDEM PROCLI

INSTITUTIONEM THEOLOGICAM

integriorem emendatioremque adjecit

Fridericus Creuzer.

*Pars Prima.*

FRANCOFURTI AD MOENUM

IN OFFICINA BROENNERIANA.

MDCCCXX.

# ΠΡΟΚΛΟΥ ΔΙΑΔΟΧΟΥ
# ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΠΡΩΤΟΝ
# ΑΛΚΙΒΙΑΔΗΝ.

---

# Procli Successoris

## in Platonis Alcibiadem Priorem Commentarii.

Ex

Codd. Mscrr. nunc primum edidit

Annotationemque subjecit

Fridericus Creuzer.

---

Francofurti ad Mœnum

in Officina Broenneriana.

MDCCCXX.

Joanni Francisco Boissonade

Literar. Græcc. In Academia Parisina Professori P. O.
Academiæ Inscriptionum Regiæ Sodali Ordinario,
Legionisque Honoris Equiti.

et

Friderico Guilielmo Josepho Schelling

Philosophiæ in Academia Erlangensi Professori Honorario,
Academiæ Regiæ Bavar. Monacensi Artium ab Actis Universis
Academiæ Reg. Bavar. Scientiarum Sodali Ordinario
et Reg. Bavarici Ordinis Coronæ Equiti.

Platonicorum Monumentorum Philosophiaeque Interpretibus Primariis

Fridericus Creuzer.

D. D.

# PRAEFATIO.

Nunc demum dissolvo nomen, quod in dies magis urgere cœperat, ac proinde fortassis temere contractum videbatur. Cujus moræ en paucis, ni grave est, accipe caussas: Ego, cum vixdum bene expeditum me vidissem ex aliis laboribus, continenter nec opinato detinebar in retractandâ Mythologiâ, qui liber meus in tabernis librariis desiderari cœptus erat. Ei rei dum pro eo atque fieri debebat facere studeo satis: unus mihi alterque annus abit, proditque Lutetiæ Parisiorum primus itemque alter tomus Procli philosophi operum. Quo de consilio premere malo quæ plurima narrare poteram, ne quidquam arrogantius dicere, inque meâ ipse caussâ judex sedere velle videar. Editori tamen, qui se mihi amicum dictitat, atque adeo officiis nescio quibus devinctum, hoc ipsum certe nunc præstabo, ut ei mendarum specimen exhibeam, quibus suam sibi editionem passus est commaculari — haud dubie a nimis ingenioso typotheta. In ipso titulo utriusque tomi: » Procli — » opera *tum* primum edidit; in Præfatione generali » T. I. p. VIII: humanæque *personalitatis* conscientia » p. LXXIV et p. LXXX: *Corynthi* Archiepiscopo. » Tom. II. Præfat. p. VII *Eclectismi*. p. VIII: „*Oeth-*

» *nicismi* " p. IX *poësim.* p. XI sq.: et *Conradus* » Gesnerus in Fragmentis Orphei. p. XVII *Bibliote-* » *carum.* « — Possum saturam offerre hujuscemodi deliciarum amantibus: aliorum stomacho nauseam facere nolo. Neque vero meum est exponere quid Parisinus editor præstiterit, sed quid ipse in hac meâ editione adornandâ sim secutus.

Atque, ut hinc ordiar, vacuo jam mihi a curis secundis, quas Mythologiæ liber sibi poscebat, qui integer prodibit nundinis vernis anni proximi, vacuo igitur ac libero nuper redire licuit ad *Proclum Plotinumque.* De *hoc* si quæras, norunt mei familiares, non solum dispositam esse, G. H. Moseri mei operâ, universam silvam variæ lectionis per universas Enneades: verum affectam a me etiam notationem criticam. Quid quæris? eum in locum adducta res est, ut exeunte anno, qui instat, 1821, *primam Plotini operum partem* prelo possim submittere.

Restat alterum, ut Lectoribus explicem, quo consilio institutum, quibus circumscriptum finibus ac quo apparatu instructum jam hoc ipsum corpus aliquot librorum *Procli* et *Olympiodori* in lucem prodeat.

Continetur autem id quatuor partibus:

Prima habebit: *Procli Diadochi Commentarium in Platonis Alcibiadem priorem;*

Secunda: *Olympiodori* librum gemini consilii argumentique.

Tertia: *Ejusdem Procli Institutionem theologicam.* Adjungetur huic parti *Index* universi corporis cum rerum tum vero maxime verborum.

Quarta denique pars exhibebit *versionem singulorum librorum Latinam.*

Explicanda est ratio, quam in hac editione paranda sumus amplexi: Typis describendum curavimus unum codicem, eumque pro fundamento habuimus, in quo constituendus textus esset. Quod consilium nemo nescit maxime accomodatum esse editionibus *principibus;* (principem autem propterea dico hanc nostram, quoniam, quo tempore Parisina prodibat, illa jam operas exercebat;) Critici hac ipsa de causså haudquaquam improbabunt emendationes conjecturasve in notis potius esse subjectas, quam textui obtrusas. Elegi autem Leidensem codicem, non quod optimus usquequaque esset, quæ laus debetur potius Vaticano (nostro *D.*) verum quod lacunis minus hiaret quam reliqui. Annotationis eum modum tenui, ut, quoad ejus maxime fieri posset, brevitati studerem, neque molestiam exhiberem viris elegantibus, qui philosophiæ Platonicæ decreta ex ipsis fontibus repetere cuperent. Itaque continui me primum in annotandâ ac breviter judicandâ varietate lectionis, deinde in consignandis veterum scriptorum locis, quos hi philosophi vel diserte laudarant vel attigerant expresserantve. Tum græcæ linguæ studiosos animadvertere jussi ad eas voces vocumque formas, quibus Lexica haud mediocriter augeri poterunt: philosophiæ autem veteris amatores ad vocabula artis, unde pendent primariæ notiones placitaque, quibus ab aliis familiis distat hoc ipsum genus philosophorum Platonicorum.

Quod universum negotium, laboris tædiique plenum, quomodo a nobis peractum sit, ipsi judicabunt

Lectores, quos, quo doctiores erunt quoque magis versati in ejusmodi muneribus, hoc verius non modo, sed etiam modestius pronuntiaturos confidimus.

Meum est bina insuper præstare in hoc exitu præfationis. Primum ut grates persolvam viris amicissimis, qui in hac opera erudito suo officio certatim me adjuverunt, quorum nomina habebit index codicum, quibus usi sumus. Nemo autem magis in hoc universo negotio sibi me devinxit, quam *G. H. Moser* V. Cl. in Gymnasio Ulmensi Professor, *J. Theod. Vœmel* V. Cl. Professor Gymnasii, quod Francofurti ad M. floret. Quorum ille describendis conferendisque codicibus digerendâque ac dijudicandâ subinde variâ lectione mihi insigniter profuit: hic non solum conficiendo indice, verum etiam regundis operis ac plagulis ter quaterque cum erudito judicio corrigendis adponendisque aliquot notationibus criticis. Deinde cum laude memoranda mihi est voluntas elegantiaque *Redemtorum* hujus operis, Virorum honestissimorum, qui nihil reliqui fecerunt, quo minus hæc ipsa editio suâ quoque munditie Lectorum oculos teneret.

Scrib. Heidelbergæ ipsis Kalendis Octobr. a. MDCCCXX.

Venio nunc ad ea, quae singulorum librorum, quos hoc corpus complectitur, argumentum, indolem, historiam nec minus copias attinent, quibus instructus eosdem vulgare adgredior. Quâ in re sequar morem aliorum editorum, qui locos Fabricianae Bibliothecae excerptos suisque additamentis auctos in vestibulo apponere solent.

---

# PROOEMIUM PARTIS PRIMAE.

## §. 1.

*De dialogo, quem in his libris Proclus et Olympiodorus interpretantur.*

Fabricius in Biblioth. graec. lib. III. cap. 3. Vol. II. p. 14. Vol. III. p. 83. ed. Harles.

»Tetralogia IV. (1)«

*Ἀλκιβιάδης ά* sive *Ἀλκιβιάδης ὁ μείζων, ἢ περὶ φύσεως ἀνθρώπου*, *de naturâ hominis*, *Μαιευτικός* (2). Non hunc,

(1) Diog. Laërt. III. 59. — *τῆς τετάρτης (τετραλογίας) ἡγεῖται Ἀλκιβιάδης ἢ περὶ ἀνθρώπου φύσεως· μαιευτικός.* De hâc distributione *τετραλογιῶν* vid. Fabric. Bibl. Gr. III. p. 70 sq. Harles. cf. Schleiermacheri Prolegg. ad Platonis opera vernacull. p. 23 et quae ipse posui in *Studiis* nostris I. p. 61. seq. Creuzer.

(2) Ficinus de animâ et daemone ex hoc ipso Procli commentario p. 253 ed. Lugd. Tornaes. »Totum Platonis consilium hoc »in libro est, nos in ipsam nostri revocare cognitionem atque de»monstrare essentiam nostram in speciebus rationibusque consistere.«

sed Timaeum respicit Meletius, quum in libro ejusdem argumenti Socratis librum *περὶ φύσεως ἀνθρώπου* (?) videtur memorare: *Σωκράτης δὲ ἐτυμολογίας μᾶλλον μορίων, καὶ ὀνομάτων ἐν τῷ περὶ φύσεως αὐτοῦ ὡς γραμματικὸς ἢ φιλόσοφος συνετάξατο.* In hoc autem dialogo Socrates Alcibiadi pudorem imponit, quod, ignorans se ipsum et a sapientiâ regendi homines alienus, audeat cupiatque rempublicam capessere; deinde docet, animum hominis esse hominem, corpus instrumentum animi. Conf. *Simplicium* praef. ad Enchiridion Epicteti p. 5 (1) et Jamblichi Protrepticum sect. 41 sqq. (2). Ex hoc dialogo expressam Persii satiram IV. observat Politian. miscell. cap. 4.« (3).

His Fabricianis ego paucula duntaxat interponam. Ac de tempore, quo hic dialogus habitus esse fingitur, Scholion legitur inter Ruhnkeniana p. 69. eaque de re disputandi otium mihi faciunt cum alii, tum Buttmannus in annot. p. 116 sq. Illud praetermitti nolo, quod nunc ex ipso Procli commentario (cap. 6. p. 11 ed. nostr.) discimus: Jamblichum inter eos dialogos, in quibus universa Platonis philosophia velut in semine inclusa esset, huic ipsi dialogo primum ordinem assignasse. Hinc Olympiodorus etiam (4) eundem librum omnibus reliquis Platonis scriptis prae-

De Majâ et *μαιευτικῇ* adde Proclum nostrum ap. Jo. Laur. Lydum de menss. p. 101 et quae apposui ad Ciceron. de N. D. III. 22. p. 610. itemque ad Plotinum de pulcr. p. 166. sq. p. 405. p. 539. Cr.

(1) Pag. 11 ed. Schwgh. ubi ita: *Ἀλλ', ὅτι μὲν οὗτός ἐστιν ὁ ἀληθινὸς ἄνθρωπος, ὁ κατὰ τὴν λογικὴν ψυχὴν οὐσιώμενος, προηγουμένως μὲν ὁ τοῦ Πλάτωνος Σωκράτης ἔδειξεν, Ἀλκιβιάδῃ, τῷ καλῷ, τῷ Κλεινίου διαλεγόμενος.* »Esse autem hunc verum hominem, cujus »natura essentiaque in Animâ insit ratione praeditâ, inprimis qui»dem et ex professo ostendit Platonis Socrates, disputans cum »Alcibiade illo pulcro, Cliniae filio.« Cr.

(2) Cap. V. p. 76 sqq. ed. Kiessling, ubi Jamblichus excerpsit locum ex hoc dialogo, nimirum ex §. 54. p. 131. p. 165 sq. ed. Buttmanni. p. 362 sq. Bekkeri. Cr.

(3) Vid. annot. nostram ad Proclum in Alcib. passim. Cr.

(4) In Commentar. in Alcib. I. cf. Sam. Petiti Miscellan. IV. 2. et Fabric. Bibl. Gr. III. p. 83. ed. Harles.

mittendum ducit. Proclus autem l. l. eundem universae *philosophiae initium* esse dictitat. Hanc ego rationem secutus, cum Procli et Olympiodori in eum dialogum commentariis, ejus, quem priore loco nominavi, Institutiones theologicas adjungendas duxissem, non dubitavi, universo huic corpori hanc alteram inscriptionem addere: *Initia philosophiae ac Theologiae*, quo ii, qui utrique disciplinae operam navant, ad horum librorum tractationem advocarentur.

Platonis esse dicunt hunc dialogum scriptores, quos laudavimus aliique veteres. Quâ de re quae in scholis disputare soleo, nunc recolere non attinet. Illud attingere volo, quod nuper in utramque partem super eodem libro conjectarunt viri eruditi. Jam primum Boeckhio hic dialogus Stoicorum tempore philosophorum scriptus Stoicaque decreta includere videtur (1). Acrius etiam eundem librum impugnavit Schleiermacherus (2), cujus auctoritati se applicare videtur Imm. Bekkerus, ut qui inscribat: *Incerti auctoris* Alcibiades I. Nemo nescit, quas lites libris permultis intenderit, qui Platonis esse vulgo feruntur, Astius. Nec lenior idem in hunc dialogum (3). Ejus viri consiliis universis posteaquam refragari studuerat Thierschius (4): hunc ipsum Alcibiadem Platoni vindicare et postliminio quasi restituere conatus est Socherus (5). Haec nunc quidem delibare praestat, quam cum pulvisculo exhaurire. Neque enim nostra caussa agitur, quandoquidem Proclus de Platone tanquam hujus dialogi auctore non magis unquam addubitavit, quam qui ad eundem explicandum se contulit,

(1) Vid. Addenda ad ed. Buttmanni p. 210. not. extrem.

(2) Vid. Platonis opera vernacull. II. 3. p. 291 — 299.

(3) Vid. Astii librum vernacull. de Platonis vitâ et scriptis p. 435 sqq.

(4) In annalibus literar. vernacc. Vindobonn. anno 1818. Vol. III. p. 59 sqq.

(5) Joseph. Socher in libro germanico de Platonis scriptis p. 112 — 118 sqq.

Olympiodorus. Neque ab ejusmodi quaestionibus suspensa est horum operum vis atque auctoritas, ut quae potius pro *justis* *libris* disputationibusque habenda sunt, quam pro commentariis.

§. 2.

*Interpretes ejus dialogi antiqui alii.*

Fabricius B. Gr. l. l. »Uterque (Proclus et Olympiodorus) *Jamblichi* etiam commentarium laudat; Olympiodorus praeterea *Damascii* et *Harpocrationis* [item *Democriti;* vid. locum in Ruhnkenii diss. de Longino §. 4. ac Fabric. infra, de Proclo lib. V. cap. 26. §. 15. (1) »*Harles.* — [Cum his conferant Lectores verba Procli; qui in hoc ipso Commentario cap. 4. p. 7 ed. nostr. de consilio Platonis in scribendo hoc dialogo disputans, *καὶ ἄλλων πολλῶν καὶ κλεινῶν ἐξηγητῶν λόγους* memorat. *Cr.*]

§. 3.

*De Proclo.* (2)

Fabricius in Bibl. gr. Vol. VIII. p. 455. Vol. IX. p.

(1) Fabriciani illa infra expromam. Hoc loco subjiciam Ruhnkeniana. Atque Criticus Batavus in diss. de vita et scriptis Longini §. 4. p. 311 opuscull. p. LXXIII ed. Weiskii haec posuit: »Democritus (Platonicus Longini aequalis) scripsit Commentarium »in Platonis Alcibiadem, quem laudat Olympiodorus Commentario »ms. in eundem dialogum p. 29 B (p. 113. Steph. p. 132. Ast. pag. eâdem Buttm. p. 321. Bekker.) *Τὸ εὖ λέγεις, ὁ μὲν Δημόκριτος ἐπίκλην χνα, διότι μετρούμενον τὸ ὄνομα αὐτοῦ χνα* (i. e. 651) *ποιεῖ, ὡς ἀπὸ Σωκράτους ἐκδέχεται· ὁ δὲ Δαμάσκιος, ὡς ἀπὸ Ἀλκιβιάδου· καὶ ἄμεινον τὸ δεύτερον.* Haec Ruhnkenius; cujus doctrinae fructum miror ab iis neglectum esse, qui nuper ad Alcibiadem explicandum sese contulerunt. Habet enim hic locus Olympiodori memorabilem significationem studiorum, quae veteres critici in dialogis Platonicis posuerunt. Ceterum illius Democtriti mentionem facit Longinus apud Porphyrium de vitâ Plotini cap. XX. p. 128. ed. Fabric. Cr.

(2) Alii formam *Proculi* usurpant. Non alienum erit, de hoc nominum genere h. l. paucula subjicere. *Proculus* is dicebatur, qui patre procul a patriâ peregrinante in lucem erat editus. Plutarch. Coriol. cap. II. p. 52 ed. Coraji. *Ἐνίους δὲ συντυχίᾳ γενέσεως μέχρι νῦν καλοῦσι, Πρόκλον μὲν, ἐὰν ἀποδημοῦντος πατρὸς γένηται κτλ.*

363. ed. Harles. »Syriani discipulus genuinus et in scholâ

ubi Corajus p. 378: *Πρόκλον*] *Κατὰ συγκοπὴν ἀπὸ τοῦ Πρόκυλος Ῥωμαϊστὶ Proculus, παρὰ τὸ ἐπίῤῥημα procul, ὃ σημαίνει τὸ Πόῤῥω· οὕτω γὰρ ἐπωνόμαζον τοὺς τοῦ πατρὸς πόῤῥω τῆς οἰκείας ὄντος τεχθέντας.* Alii addunt hanc alteram nominis originem, ut, qui patre sene, quasi procul aetate progresso, natus esset, itidem Proculus nominaretur, cf. Raschii Lex. univ. rei numar. veterum Tom. IV. part. I. p. 174. Consulto profectus sum a loco Plutarchi, cum quia etymon illius nominis exhibet, tum quoniam graecis usitatam formam prae se fert. Nimirum graeci utrobique *Πρόκλος* usurpant, sive Latine *Proculus* appelletur aliquis, sive *Proclus*. Nam, ut hoc utar, celebratus ille in Romuli rebus extremis Senator, qui Livio I. 16. *Proculus Julius* dicitur, idem Plutarcho in Romul. cap. 28. p. 62 Cor. itemque in Numa cap. 2. p. 108 *Πρόκλος* appellatur. Sic quae femina *Procla*, *Πρόκλα*, audit, eadem aliis *Procula* dicitur. Cujusmodi exemplum affert locus Evangelii Nicodemi in Fabricii cod. apocryph. N. T. p. 242. »Cogitante autem »eo (Pilato) exsurgere de suâ sede, matrona ipsius Pilati *procul* »*posita* misit ad eum, dicens, cet.« Ubi Fabricius in annotatione haec posuit: »Pilati uxorem *Πρόκλαν* vocant Malelas, Nicephorus, »Pseudo-Dexter et alii; Vincentius quoque Bellovacensis Nicodemi »Evangelium allegans lib. 7. cap. 41. spec. historial.« Tu consule *Muenteri* Viri celeberrimi mihique amicissimi Commentationem de Nicodemi Evang. Danico sermone conscriptam (*Sandsynlige Tillaeg til Christi Lidelses Historie af Nicodemi Evangelium* Kiobenhavn 1816) p. 12 seq. §. 5., qui docet, Graecum textum ejus Evangelii exhibere: *Πρόκλα*, Latinos codices praestantiores: *Procula*. Utraque forma non minus in marmoribus obvia, quam in nummis. De nummis deinceps videbimus. Marmora bina evulgavit *Th. Smith* in *septem Asiae ecclesiarum notitiâ* p. 14, ubi lapis Pergamenus *Ma. Aemilio Aur. Pub. Proculo* cet. inscriptus visitur; p. 18 Thyatirenus *Κλώδιον Αὐρ. Πρόκλον* memorat. Claudii Procli saepiuscule obvii in numismatibus veterum. Vide modo Raschium IV. 1. p. 159. Quid? ipsa Pilati uxor in Flavii Dextri Chronico *Claudia Procla* dicitur, unde Muenterus l. l. ingeniose Pilati illius honores explicare instituit. Fuit enim Procli cognomen proprium Claudiorum gentis, unde ad Libertos quoque transiisse videtur. Quae res manu me reducit ad locum Livii supra laudatum, ubi Drackenborchius p. 74, posteaquam variantem lectionem *Julius Proculus* enotavit, ita pergit: »Si autem is ordo verborum admit»tendus foret, eâdem ratione positum existimari deberet, quâ *Fa*»*bius Quintus*, *Menenius Agrippa* et similia, de quibus actum ad »Liv. libr. III. cap. 1. §. 1. *Proculus* enim est praenomen, quod »etiam in gentibus Gegania et Virginia in usu fuit.« Haec ille. Tu confer Dionys. Hal. A. R. VIII. 56. p. 1639 Reisk. ubi est *Πρόκλος Οὐεργίνιος*. Adde IX. 50. p. 1881. ubi idem praenomen. Primarius in hanc rem locus est Valerii Maximi in epitome de nomm. ratione p. 878 ed. Torren: »Quae olim *praenomina* fuerunt, nunc *cognomina* sunt, ut Postumus, Agrippa, *Proculus*, Caesar.« Proinde *praenomen* Proculi usitatum fuit gentibus Virginiis, Juliis, aliis, ut Geganiis. Vid. Muenter. l. l. et confer Spanhem. de U. et Pr. Num. II. p. 37 et p. 308. *Cognomen* nec minus multis gentibus familiare, ut Belliis, Coeliis, aliis; vid. Rasch. II. 2. p. 584. IV. 1. p. 173.

Atheniensi *successor* (1) fuit *Proclus* Lycius, cujus vitam scripsit, qui Proclo deinde successit, *Marinus*, Neapolitanus.

Contractum *Procli* cognomen frequentatur in monumentis Flaviorum, Aeliorum, Claudiorum, Cominiorum, Aureliorum. Vid. Muenter l. l. Eckhel. D. N. V. Vol. III. p. 84. Vol. V. p. 176. Rasch. IV. 1. p. 159. 160. Sed in ipsis tamen Aureliis Latinam etiam *Proculi* formam invaluisse docent illae ipsae inscriptiones, quas supra ex Smithii libro de Asiae ecclesiis exhibuimus. His positis neminem ambigere arbitror, primum, perinde esse, utrum in philosopho nostro *Proculum* usurpes, an *Proclum*, deinde, qui fieri potuerit, ut homo Lycius, Constantinopoli natus, unde ipsius parentes Patricius et Marcella rursus Xanthum in Lycia redierant, ubi rerum suarum domicilium habebant — (Marinus de vit. Procli 6. p. 13. Fabric. p. 5 sq. Boisson. *Patricius* autem et *Patricia* saepius obvia nomina in Monumm. Rom. Vid. Panvinium de nominib. Romm. in voc. et Gruteri Thes. DCCLXXIX. DXXXVII et MLXXXIX) — ut is igitur Procli nomen gereret. Fuerunt autem Procli plurimi, in his etiam philosophi. De singulis diligenter exposuit Fabricius cum in B. Gr. Vol. IX p. 364 sqq. Harles. tum ad Marinum p. XXV sqq. ed. Boisson. In Platonicis *Proclinum* memorat Longinus apud Porphyrium de vita Plotini cap. XX. p. 128. cf. Boissonadium ad Marinum p. XXIX. Cr.

(1) »Hinc *Διαδοχος* cognominatus. [De *Διαδόχοις*, i. e. Alexandri Magni successoribus, quorum posteri dicuntur *ἐπίγονοι* vid. Wesseling. ad Diodor. Sicul. I. 3. p. 6 sq. De philosophorum successoribus ita Heinsius ad Interprr. Hesiodi p. 79 ed. Antverp.: »*Διαδοχοι* sunt duplices: in philosophicis familiis, qualis est Proclus; in ecclesiasticis, multi. Addebatur autem vox *διάδοχος* causâ praeceptoris. *Πρόκλου* igitur *διαδόχου*, nimirum *Πλατωνικοῦ* quod supplet Ammonius ad librum Philosophi *περὶ Ἑρμηνείας* his verbis de praeceptore suo: *Εἰ δέ τι καὶ ἡμεῖς δυνηθείημεν εἰςενεγκεῖν περὶ τὴν τοῦ βιβλίου σαφήνειαν, ἀπομνημονεύσαντες τῶν ἐξηγήσεων τοῦ θείου ἡμῶν διδασκάλου Πρόκλου, τοῦ Πλατωνικοῦ διαδόχου κτλ.*« Condiderat enim Proclus noster Hypomnema ad Hesiodi opera, de quo vid. Wyttenbach. in Praefat. ad Plutarchi opp. p. LI seq. cujus hypomnematis fragmentum h. l. tractat Heinsius. Cr.] Successor autem Syriani factus fuisse a. C. 450 videtur Saxio in Onom. I. p. 509 sq. Vid. de *Proclo, nato Byzantii a. Chr.* 412, *denato Athenis a. C.* 485. Suid. h. v. Eudocia h. v. p. 366. supra [in Fabric. Bibl. gr.] in catal. Platonicor. Vol. III. p. 186 et p. 504 in catal. Peripateticor. [Adde Fabricium in Prolegg. ad Marini vit. Procli p. XXIV sqq. et Boissonadium in notis ad Marin. ibique De Lambrium Astronomum p. 138 sq. Cr.] Brucker hist. crit. phil. II. p. 318 sqq. qui, duce potissimum Marino, multus est de vitâ, ingenio, eruditione, philosophiâ et theurgiâ Procli; Lambec. comm. de bibl. Caesar. Vol. VII. p. 92 sqq., qui de anno Procli natali et anno, quo mortuus sit (ab a. 443 sive 444 usque ad annum 518 s. 519 rationes subducit,) in alia omnia transit, immo in Suppl. ibid. p. 109 not. mortis annum curatius at falso definire studuit; atque Kollar Lambecii errores refutat p. 110 sq. not. docetque, ab illo duos Proclos fuisse confusos; [Tu adde interprr. ad Marinum, quos

Eam dimidiâ parte mancam cum nescio cujus versione latinâ vulgavit primus Guil. Xylander, additam Marci Antonini praeclaris, quibus se ipsum monet, libellis. Tiguri 1558 [1559] 8 apud Andream Gesnerum. Recusa deinde ibidem utraque linguâ cum eodem M. Antonino est a. 1599. 8. et sex libris theologiae Platonicae praemissa ab Aemilio Porto, Hamburg. 1618 fol. Nam latinam editionem Lugdunensem apud Jo. Tornaesium 1559. 12. e bibliothecâ illustrissimi Principis Ottonis Henrici, et quam non memini me videre, memorat autem catalogus Bodlejanus, Lugdunensem alteram a. 1626. 8. libenter omitto. Integram dare Holstenius quum voluisset, fato prohibitus locum mihi dedit, qui ex codice Gudiano descriptam supplevi, ac cum versione meâ et notis separatim edidi Hamburgi 1700. 4. recusam deinde ad calcem bibliothecae meae latinae, Londini 1703. 8. (1) Est autem scriptum lectu jucundum illis, qui res philosophorum illius aetatis cognoscere voluerint, totumque ita comparatum, ut ex virtutibus Procli, quarum omnes gradus eum implevisse contendit, vere felicem eum

modo laudavimus. Cr.] — Burigny de vitâ et placitis Procli, et de codd. msstis quibusdam, ubi inedita quaedam hujus philosophi reperiuntur in Hist. de l'Acad. des Inscrr. tom. XXXI p. 139 sqq. germanice versa in: *Hissmanni* Magazin für die Philosophie und ihre Geschichte Tom. IV. p. 197 sqq. in primis Tiedemann in: Geist der speculativen Philosophie tom. III. cap. 13, p. 519 seqq. Cudworth hinc inde in systemate intellect. ex lat. Moshem. versione, ed. Leid. 1773. 4. p. 369 sq. 842 sq. etc. Hamberger Zuverl. Nachrichten III. p. 245 sqq. atque ego in Introd. in hist. L. Gr. II. part. I. pag. 375 sqq. plura collegi scripsique de Proclo. *Harles.* Adde Harlesii Supplementa ad Introduct. in hist. ling. gr. Tom. II. p. 28. et p. 347. itemque Tennemanni Histor. philos. vernacule scriptam, Vol. VI. p. 284 sqq. et quae ipse ex Procli rebus et scriptis attigi cum in Mythologiâ, tum in annot. ad Plotin. de pulcrit. passim. Cr.

(1) Novissima eademque praestantissima editio est haec: *Μαρίνου Πρόκλος. Marini Vita Procli.* Graece et latine ad fidem librorum manuscriptorum recensuit adnotationesque et indicem addidit *Joh. Franc. Boissonade.* Lipsiae sumtibus *Jo. Aug. Gottl. Weigelii* 1814. 8. Cr.

***

fuisse colligat. Hinc etiam libello titulum fecit Πρόκλος, sive περὶ εὐδαιμονίας, *de felicitate.* « (1)

## §. 4.

### *De Procli commentario in Platonis Alcibiadem priorem.*

Fabricius in B. Gr. Vol. IX. p. 420 sq. ed. Harles: » Εἰς τὸν Πλάτωνος Ἀλκιβιάδην. In Alcibiadem priorem Platonis. Excerpta ex hoc commentario *latine* a se reddita vulgavit *Marsilius Ficinus*, titulo: *Procli de animâ ac daemone, de sacrificio et magiâ.* Venet. 1497 (2) et 1516 fol. apud Aldum, cum Jamblicho, sive excerptis ex Jamblichi libro de mysteriis Aegyptiorum et aliis scriptis. (3) Prodierunt etiam plus simplici vice Lugduni, minore formâ, tum Parisiis, Basiliae et aliis in locis, sed et inter Ficini opera Basil. 1561. Paris. 1641. fol. *Commentarius ipse Procli graece* manu exaratus, sed vix dimidiam partem Alcibiadis Platonici exponens, desinensque in verbis p. 219 sq. edit. Basil. — οὐδὲ τῶν αἰσχρῶν καθ᾽ ὅσον αἰσχρὸν, ἀγαθόν, occurrit in variis Bibliothecis Galliae, Angliae, Italiae [v. supra (4)

(1) Florent. in eod. Laurent. III. nr. 4. vid. Bandin. cat. codd. gr. Laur. III. p. 289. *Harles.*

(2) »V. *Panzer* Ann. typograph. Tom. III. p. 420 sq. *Harles.*

(3) Vid. supra [in Fabric. Bibl. Gr.] Vol. III. p. 126 sqq. de edd. Ficini [Ego utor eâ editione, quae Lugduni apud Tornaesium prodiit formâ minimâ anno 1549. Cr.] Ac multorum codd. atque edd. Procli notitiam inseruit Fischer notitiae codd. atque edd. Platonis, praefixae ed. Platonis Euthyphr. etc. Lips. 1783. 8. p. 176 sqq. et p. 208. Dum edit. *Proclus in Platonis Alcibiadem, latine,* Venet. 1503. form. maj. attulit, haec adjecit: »»Particulas graecas hujus commentarii edidere Rich. *Bentlei.* in epist. ad Millium p. 3 sq. Oxon. *Fabricius* ad Sext. Empiricum p. 397. *Gesnerus* in fragmm. Orphei p. 407 sq. *Harles.*«« [p. 507 sq. Hermanni. Ego ejusdem commentarii particulam graece edidi hoc titulo: Πρόκλου περὶ ἑνώσεως καὶ κάλλους ad calcem Plotini de pulcrit. p. 77 — 126. Heidelberg. 1814. Cr.]

(4) Ubi haec posuerunt Fabricius et Harlesius: »Ex Procli Commentario, qui desinit in verbis Platonis p. 219 sq. edit. Basil. [p. 116. a. Steph. p. 136 Buttm. p. 140. Ast. p. 328 Bekker.] οὐδὲν ἄρα — ἀγαθόν, et graece adhuc ineditus occurrit in variis bibliothecis, [quondam in bibl. Palatinâ, vid. Sylburg. catalog. in monu-

Vol. III. p. 83. 123 sqq.] Lugduni quoque Batavorum inter libros Isaaci Vossii [nr. 24. Hunc codicem pro textu habui in hac ipsâ editione. Cr.] et Hamburgi in bibl. Johanneâ ex legato Lucae Holstenii, [Mihi cod. E. vid. infra. Cr.] quem codicem evolvens observavi, a Proclo laudari quoque Jamblichum in Alcibiadem, quod facit et in suis ad eundem Platonis dialogum praelectionibus Olympiodorus. Idem plus simplici vice non Harpocrationis modo, sed et Procli et Damascii commentarium memorat, ut auctor mihi videatur junior quidam et diversus ab Olympiodoro, Procli praeceptore. — In bibliothecâ Vindobonensi latinam *Antonii Hermanni Gogavae*, Graviensis, versionem commentarii Procli in Alcibiadem exstare, monuit *Lambecius* lib. VII. p. 43. [p. 89. not. 1. ed. Koll.] « (1).

mentis pietatis et litt. p. 28 (potius p. 23) nr. 63. — Ex hoc codice ego in hac editione lectionum aliquid interposui, vid. infra et cf. quae posui ad calcem Plotini de pulcr. p. 538. Cr.] adhuc in bibl. Medic. *Flor. Veneta* D. Marci [ter; unum codicem in hac editione esse adhibitum infra docebo. Cr.] *Escor.* in Hispaniis; *Paris.* biblioth. regia [ter; de quibus codd. infra dicetur. Cr.] ac bibl. Coislin. in bibl. coll. corpor. Christi, in *Vindobon.* Caesar. Monaco-Bavar. [ter; de quibus codicibus, quorum var. lectionem praestitimus, vid. infr. Cr.] in *Bodleiana, Leidensi* [vid. supra et §phum proximum. Cr.] etc. [vid. Fischer.] fragmenta latine vulgavit Marsilius Ficinus [vid. supra et infra. Cr.]

(1) Partem tantummodo ejus commentarii vertit Gogava. Quam versionem, a se retractatam nuper admodum edidit Cusinius in Tomo II. Procli Operum Paris. 1820. Qui quidem in Praefat. ejus Voluminis ita p. XIV: »Primi voluminis in praefatione lectorem admonui, partem quandam Commentarii in Alcibiadem auctore Antonio Hermanno Gogava latine translatam, necdum vulgatam, meâ hic operâ in lucem prodituram; haec vero, ut promisi, nunc editur. — Addit et (Lambecius) Antonium Hermannum Gogavum fuisse medicum celeberrimum Graviae, in Brabantia, natum; sed quo saeculo idem vixerit, et unde eum medicum et mathematicum fuisse innotuerit, de his in Lambecio nihil.« Haec Cusinius. Tu vide Morerii Diction. Suppl. Vol. II. p. 976 ibiq. laudata; adde: Adelung in Suppl. ad Joecher. sub voc. ubi etiam Gogavinus dictus perhibetur, et Saxium in Onomast. ubi part. IV. p. 614 ad annum 1562 haec leguntur: »*Antonius Hermannus Gogava*, s. *Gogavinus*, Graviensis, Medicus, Mathematicus et Philologus, hoc anno edidit *Aristoxeni Harmonicorum Elementorum* libros V. Venetiis. vid. Fr. *Swertii Athenae Belgicae*, p. 133. — *Kœnigii Bibl. Vet. et Nov. voc.* « Cr.

## §. 5.

### *De copiis, quas in hac Procli editione adhibuimus.*

Codex nobis *A.* nuper *Augustanus*, nunc *Monacensis* nr. 435 (1) chart. secul. XV.

Cod. nobis *B. Monacensis* nr. 307 (2) chart. secul. XVI.

Cod. *C. Monacensis* nr. 403 (3) chart. secul. XV.

Cod. *D. Vaticanus* nr. 1032 (4) Bibliothecae veteris.

Cod. *E. Hamburgensis.* C. 13. (5)

Cod. *F. Venetus* biblioth. S. *Marci* (6)

(1) Integrum meo rogatu descripserunt *Franc. Gœller*, V. Cl. Gymnas. Colon. Agrippin. Professor et *Fr. Xaver. Werfer* ὁ μακαρίτης.

(2) Contulit idem *Fr. Xav. Werfer.*

(3) Contulerunt *Gœller* et *Werfer* VV. DD. — Ex hoc codice, qui partem tantummodo s. excerpta habet, haec enotavit *Hardt* in Catalog. Codd. grr. Bibl. Reg. Monac. Tom. IV. p. 249: »*Πρόκλου* »*διαδόχου εἰς τὸν Πλάτωνος πρῶτον Ἀλκιβιάδην. Ἀρχ. Τῶν Πλατωνι-* »*κῶν διαλόγων καὶ πάσης. Τελ. ἡ διὰ ταύτης τῇ μεσότητι* . . . Occur- »rit adhuc in cod. 98. 307. ubi dicuntur excerpta de anima et dae- »mone esse edita.« Igitur Hardtius nihil adjecit de cod. nr. 435. Contra memorat codicem nr. 98. Nimirum, ut ex Werferi literis, scriptis Monachii id. Febr. 1815 disco, unus horum codicum ad Parisios erat asportatus. Idem Werferus ejusdem anni mense Aprili mihi per literas significavit: nihil mihi copiarum deesse, quidquid ad hunc Procli librum accommodatum in bibliothecâ Regiâ Monacensi asservetur.

(4) Cujus integrum apographum acceptum refero singulari in me studio *Hieronymi Amati* V. Cl. Idem in exordio ejus apographi haec adscripsit: »Cod. Vat. 1032; qui omnium, quotquot adhuc vidi, »hujus operis codicum antiquissimus est.« Quod ita plane se habere et ipsi experiundo cognovimus, et vero facile intelligent lectores eruditi.

(5) Apographum exaratum manu *Lucæ Holstenii*, qui p. 1. ad marginem adscripsit: »Ex cod. ms. Emin. Card. *Barberini* collatus, »deinde et suppletus ad fidem exemplaris illustris Dom. *Peirescii.*« Ego vero ipse in manibus tractavi; contulit *G. H. Moserus.* Namque insignis plane liberalitas Senatus liberae civitatis Hamburgensis hoc nobis tribuerat, ut ipsi usurpare possemus hunc librum mscr. Quâ in re singularibus me officiis sibi obstrinxerunt *Bauschius* Protoscholarcha et Bibliothecae Joann. Praefectus vir gravissimus, *Gurlittius* Vir maxime reverendus mihique amicissimus, nec minus amicus mihi *Hartmannus*, VV. Cll. Gymn. Hamburgg. Professores.

(6) Contulit Venetiis, *Jacobo Morellio*, quem nuper admodum mors nobis literisque eripuit, liberalissime largiente, *Guil. Frideric.*

Praeterea Excerpta codicum aliquot adhibuimus, *Videlicet Vaticano-Palatini* nr. 63. (1)

Cod. *Vaticano-Ottoboniani* nr. 241. (2)

Cod. *Darmstadini.* (3)

Supra exposui, quâ ratione ductus hujus editionis textum exhibuerim ex

Codice *Leidensi-Vossiano* nr. 24. (4)

*Marsilii Ficini* Excerpta latine edita, de quibus supra me monere memini; quae unâ cum *Gogavae* excerptis latinis integrâ in translatione adhibebimus, volumini nostro quarto inserendâ.

Quod reliquum est, si quis quaerat, cur nihil ex *Parisinis* libris mss. enotandum curaverim: avocavit me ab eo

*Rinckius* meus, Theologiae in Universitate literar. Vindob. Professor designatus, qui nuper scriptis aliquot suis suum nomen viris eruditis commendavit.

(1) De eo supra monitum est. Debeo eadem *Hieronymo Amatio.*

(2) Ejusdem *Amatii* opera enotata. Est autem pessime scriptus ille codex, uti ex Amatii epistola didici, sed tamen aliquot locis integrior reliquis Vaticanis.

(3) De hoc libro mscr. vid. Bastii Add. et Emendanda ad Gregor. Corinth. de dialectt. p. 892 — 894. Platonica excerpta carent initio, quae ego, posteaquam ex Procli hoc libro esse desumpta conjeceram, cum aliis codd. contuli. Sunt autem illa recentiora, nimirum codicis chartacei saecul. XV. Cf. Praeparat. nostr. ad Plotin. de pulcrit. p. CXXXVIII.

(4) De eo libro ms. et supra monui et in Praepar. ad Plotin. l. l. ubi vivo *Wyttenbachio* gratias egi. Nunc, proh dolor! eidem defuncto parentandum est. Verum hoc officium ei persolvet Alumnorum ejus, me multo facundiorum, egregia ac singularis pietas. Itaque equidem in hac extremâ salutatione acquiesco: Have sancta anima! — Illud omittere nequeo, ejus codicis usum denuo mihi impertitum esse per annum amplius a *Jano Bake* in Acad. Leid. Liter. Profess. V. Cl. intercedente et vero etiam ad meas aedes deferente *J. M. Kempero,* Juris Professore, quem virum non minus honores in re publicâ Batavâ summa cum laude gesti notabilem illustremque reddunt, verum etiam doctrina, quae in eo inest, commendabilem, humanitas autem amabilem. — Descripsit hunc codicem et accurate cum aliquot e reliquis contulit *Guil. Roether* in Gymnas. Heidelbergensi Professor, vir juvenis ornatissimus mihique cum disciplinae necessitudine, tum bonarum scientiâ literarum morumque suavitate imprimis carus. Spero fore ut aliquando Libanium nobis offerat suis curis expolitum.

consilio vox *Fr. Boissonadii* V. Cl., cujus in ejusmodi rebus plurimi facienda auctoritas est. Quapropter ipsius verba ad me perscripta in calce subjiciam (1).

(1) Ita enim ille in literis d. 6. Novembr. anni 1814 ad me datis: »Procli in Alcibiadem codices Parisinos inspexi. Tres sunt, »recentes omnes, omnes imperfecti; unus (No 1817) magis quam »alii; nam supersunt tantum paginae duae priores; unus (No 2017) »minus quam alii, desinens in verba Platonis *οὐ φαίνεται*, quibus »clauditur c. 25 editionis Biesterianae primae. — Cod. 1837 sat »prolixus est. Alteram partem Arsenius descripsit.« Haec Boissonadius. Jam quid sero cognoverit novissimus editor Parisinus, et quantum ad Procli haec commentaria edenda facere possint Parisini libri, malo ex ipsius Praefatione (ad Procli opera Tom. II. Paris 1820 p. XVII. sq.) lectores meos discere ac dijudicare, quam ipse palam eloqui.

PARTIS PRIMÆ

# FASCICULUS PRIOR.

# *Πρόκλου διαδόχου εἰς τὸν Πλάτωνος πρῶτον Ἀλκιβιάδην.*

[α] Τῶν πλατωνικῶν διαλόγων, καὶ πάσης, ὡς εἰπεῖν, τῆς φιλοσόφου θεωρίας, ἀρχὴν κυριωτάτην καὶ βεβαιοτάτην εἶναι νομίζομεν τὴν τῆς ἑαυτῶν οὐσίας διάγνωσιν· ταύτης γὰρ ὀρθῶς ὑποτεθείσης, καὶ τὸ ἀγαθὸν τὸ προςῆκον ἡμῖν, καὶ τὸ τούτῳ μαχόμενον κακὸν πάντως καταμαθεῖν ἀκριβέστερον δυνησόμεθα. Πέφυκε γὰρ ἑκάστῳ τῶν ὄντων, ὥςπερ τὸ εἶναι διάφορον, οὕτω δὴ καὶ ἡ τελειότης τοῖς μὲν ἄλλη, τοῖς δὲ ἄλλη, κατὰ τὴν τῆς οὐσίας ὕφεσιν. Εἴτε γὰρ ἀπὸ τῆς αὐτῆς ἑστίας καὶ πρω-

*Πρόκλου*] Cod. B (Monac. 307) *Τοῦ σοφωτάτου Πρόκλου Πλατωνικοῦ διαδόχου ε. τ. Πλ. Ἀλκ. προοίμιον.* Quae dedit Marsilius Ficinus horum commentariorum excerpta latine versa in collectione, cujus mentio facta est ad Plotinum De. Pulcrit. p. 76., ea incipiunt ab initio commentarii et, omissis permultis, procedunt usque ad finem libri, cujus ibidem specimen editum est (*Πρόκλȣ περὶ ἑνώσεως καὶ κάλλȣς*) p. 71—126. Nos locos a Ficino excerptos indicabimus. — *διαδόχου*] Cod. A. (Monac. 435) post *διαδ.* addit: *τῶν Πλατωνικῶν.* — *τούτῳ μαχομ.*] B. *τούτου μ.* — *μαχόμενον*] Cod. C. (Monac. 403) *μάχομαι.* — *πάντως*] Cod. D (Vat. 1032) et A. add. *πον.* — *οὕτω δὴ*] A. *οὕτω δεῖ.* — *τελειότης*] A. *τελειώτης.* Cod. E. dist. maj. exhibet post *τελειότης.* — *μὲν ἄλλη*] B. *μὲν ἄλλῳ.* — *κατὰ τὴν τῆς*] A. et F. om. *τήν.* Ficinus: quemadmodum inter se rerum essentiae *differunt.* Paulo post noster, eandem sententiam repetens, utitur verbis: *κατὰ τὰ μέτρα τῆς ȣσίας.* Quo ipso fortasse vulgatam tuearis ita ut dicas: opponi h. l. inter se *esssentiam* (*τὸ εἶναι*) et *perfectionem* (*τὴν τελειότητα*); quod posterius Proclus priori loco declaraverit per contrarium: *ὕφεσιν* i. e. per *ἐλάττωσιν* (remissionem cf. Suidam III. p. 569 Kust.) quoniam de gradibus essentiae agitur. Sed tamen suspicor scriptum fuisse *ἔμφασιν.* cf. Aristotel. Probl. XXIII. 9. p. 166. 26. Sylb. ubi *ἔμφασις* est: das Sichtbarwerden, das Erscheinen. Pseudo-Aristoteles de Mundo IV. 19 p. 133 Kapp. ubi *κατ' ἔμφασιν* (*secundum speciem*) opponitur ei, quod est *καθ' ὑπόστασιν* (*secundum substantiam*) cf. Kappium. Quocirca *τὰ μέτρα τῆς οὐσίας*, cum sint gradus essentiae, apte videntur congruere cum *τῆς οὐσίας ἐμφάσει*, des Wesens *Erscheinung.* Moserus conjiciebat vel *ἔφεσιν*, vel

τίστης πηγῆς τό,τε εἶναι πρόεισι καὶ τὸ ἀγαθὸν, ὡς Ἀριστοτέλης φησὶν, ἀνάγκη δήπου κατὰ τὰ μέτρα τῆς οὐσίας, καὶ τὸ νοερὸν, ἑκάστοις παραγίνεσθαι τῆς τελειότητος· εἴτε ἀπ' ἄλλης μὲν τὸ ἀγαθὸν αἰτίας ἥκει πρεσβυτέρας καὶ ἁγιωτέρας, ἀπ' ἄλλης δὲ ἡ οὐσία καὶ τὸ εἶναι τοῖς πράγμασιν, ὡς (ὡς abest a Cod. F.) ἕκαστον μετέχει τοῦ ὄντος ἀμυδρότερον ἢ ἐναργέστερον· οὕτω δήπου καὶ τοῦ ἀγαθοῦ ἀντιλήψεται τὰ μὲν πρώτως ὄντα μειζόνως καὶ τελεωτέρως· τὰ δὲ ἐν μέσοις τεταγμένα κατὰ τὴν ἑαυτῶν τάξιν δευτέρως· τὰ δὲ ἔσχατα τῶν ὄντων ἐσχάτως. Καὶ πῶς γὰρ ἂν ἄλλως ἔχῃ τὰ ὄντα, θεῶν καὶ προνοίας ἡγουμένων, ἢ τὴν κατ' ἀξίαν ἐν τῷ ἀγαθῷ διανομήν; Οὐ γὰρ δὴ νοῦς μὲν εἰς τάξιν ἄγει τὰ ὄντα, καὶ μέτρον ἑκάστῳ παρέχεται τὸ προςῆκον, τὸ δὲ ἀγαθὸν, ὃ καὶ αὐτὸ πρεσβύτερόν ἐστι τοῦ νοῦ, τὰς ἑαυτοῦ μεταδόσεις εἰς τὰ ὄντα καὶ τὰς ἐποχετεύσεις τῶν ἀγαθῶν ἀτάκτους ποιεῖται. Καὶ ἢ τοῖς διαφόροις κατ' οὐσίαν (λέγω δὲ οἷον τοῖς αἰτίοις καὶ αἰτιατοῖς) τῆς αὐτῆς μεταδίδω-

*ὕφανσιν* admonens Platonici vocabuli *ξυνυφάνσεως* Politic. p. 310. p. 364 Bekker. et Pollucis in Onomast. VII. 33, ubi legitur *ὕφανσις*. Nolo plura, ne eruditior nobis occinat illud: Sardi venales cet. — De locutione *ἀπὸ — ἑστίας* consule Wyttenb. ad Plutarch. de S. N. V. p. 22; adde Scholiast. Platon. ad Eutyphr. p. 2 sq. Ruhnk. — *ἀνάγκη δήπου*] C. *ἀνᾶ δήπου.* — *τὸ νοερὸν*] C. om. *τὸ*. E. (Hamb. C. 13.) in marg. add. post *τὸ* vocem *μέτρον.* — *ἑκάστοις*] C. et F. *ἑκάστης.* item D. et F. i. e. Venet. — *μετέχει*] A. *μετέχειν.* — *ἀντιλήψεται*) A. et D. *μεταλήψ..* item Cod. F. ubi omissa sunt verba *καὶ τȣ̃ ἀγαθȣ̃.* — *μειζόνως*] A. et F. *μείζονος.* Non plane displicet; tum vero etiam cum eodem libro et Cod. D. legendum *τελεωτέρȣ.* Sed mox plura ejusmodi sequuntur adverbia, quae vix librariorum esse dicas; servandum igitur *μειζόνως.* — *τελεωτέρως*] A. F. et D. *τελεωτέρου.* — *τεταγμένα*] A. *τετάγμενα.* — *τ. κατὰ τὴν*] A. *τετ., καὶ τὰ κατὰ τήν.* — *δευτέρως*] A. E. F. et D. *δευτέρου.* B. *ἀντέρου.* — *ἐσχάτως*] A. E. F. et D. *ἐσχάτου.* — *ἔχῃ*] A. E. F. et D. *ἔχοι* quod rectius. — *εἰς τάξιν*] B *εἰς ἴαξιν.* — *ἑκάστῳ παρεχ.*] A. F. et D *ἑκ. τοῦ εἶναι παρεχ..* — *τὸ δὲ ἀγαθ..*] B. *τόδε.* Vocabulum *ἐποχέτευσις* non est in Schneideri Lexico, nec magis in Stephan. thesauro, ubi tamen *παροχέτευσις* et *ἐποχέτεια.* Verbo utitur Clemens Alex. Paedag. II. p. 178 Potter: *πῦρ ἐποχετεύοντας πυρί*, ex Platonis Legg. II. 9. p. 69, ubi tamen simplex *ὀχετεύειν*, cf. Ast. p. 120 et de illo proverbio Wyttenb. ad Plutarch. de discern. Adul. p. 481. Activam verbi vim explicat Tittmann. ad Zonarae Lex. gr. p. 851 sq. — *λέγω δὲ οἷον*] A. *λ. δ. οἷος.* C. om. Tum Cod. F. *αἰτίοις καὶ τοῖς αἰτ. τοῖς αἰτίοις caussis: αἰτιατοῖς caussatis*, uti quidem loquuntur. Dionysius Areopag. de divinn. nominib. cap. V. ibiq. Pachymeres p. 731 sq. ed. Antverp. *πάντα οὖν ἀναθετέον τῇ πρώτῃ αἰτίᾳ. Ἀλλ' οὐ, διότι μερικὰ καὶ ἑτερόχρονα τὰ αἰτιατὰ, ἤδη ὑπονοητέον καὶ μερισμούς τινας ἰδιοϋποστάτους, ἢ μὴν ἰδίως ἐπινοουμένους ἐπὶ Θεοῦ.*

σιν ἀγαθότητος, ἡ τοῖς αὐτοῖς κατα το εἶναι τὰς τῶν ἀρχικωτέρων τε καὶ ἑπομένων διανέμει τελειότητας· Θέμις γὰρ οὔτε ἦν (φησὶν ὁ Τίμαιος) οὔτε ἐστὶ τῷ ἀρίστῳ δρᾷν ἄλλο τι πλὴν τὸ κάλλιστον, τὸ συμμετρότατον· συμμετρότατον δὲ αὐτοῖς πρώτως οὖσι καὶ δευτέρως τὸ αὐτὸ ἀγαθὸν, οὐ δὲ τοῖς ὁμοίως οὖσιν, ἡ κατ' οὐσίαν ἐξηλλαγμένη τελειότης· ἀλλ', ὥςπερ φησὶν ὁ Ἀθηναῖος ξένος, ἡ τοῖς ἀνίσοις τὰ ἄνισα διανέμουσα ἰσότης, καὶ τοῖς μὲν μείζοσι τὰ μείζω, τοῖς δὲ ἐλάττοσι τα ἐλάττω, πασῶν μουσικωτάτη τε καὶ ἀρίστη. Κατὰ ταύτην δὴ οὖν καὶ τὸ ἀγαθὸν, ἄλλο ἐν ἄλλοις καὶ τῇ ἑκάστου φύσει σύστοιχον, τὸ ἐν αὐτῷ δήπου πέφυκεν ἀγαθόν. Διὸ νοῦ μέν ἐστιν ἐν αἰῶνι τὸ τέλειον, ψυχῆς δὲ ἐν χρόνῳ· καὶ ψυχῆς μὲν κατὰ νοῦν τὸ ἀγαθὸν, σώματος δὲ κατὰ φύσιν· καὶ αὖ πάλιν· θεῶν μὲν ἄλλη τελειότης, ἀγγέλων δὲ ἄλλη καὶ δαιμόνων, ψυχῶν δὲ ἄλλη μερικῶν· καὶ ὅςτις οἴεται τῆς οὐσίας οὔσης ἐν τούτοις διαφερούσης εἶναι τὴν τελειότητα τὴν αὐτὴν, ἁμαρτάνει τῆς ἐν τοῖς οὖσιν ἀληθείας· ἐπεὶ οὔποτε φῦλον ὁμοῖον, ὡς φησιν Ὅμηρος, οὔτε θεῶν καὶ ἀνθρώπων, οὔτε

cf. eundem de div. nom. II. p 379 et quae similia habet Zonaras in L. gr. p. 88. sq. Obloquitur Proclo similibusque in hac ipsa caussarum doctrina scriptor in fragmento mscr. cod. Darmstad. —: ἀποπεμπέσθωσαν δὲ ἡμῖν καὶ αἱ τοῦ Πρόκλου περιττολογίαι περὶ τῶν ἀπογεννήσεων. κ. τ. λ. — οὔτε ἦν φησ.] A. F. et D om. ἦν. — ἄλλο τι] B et C. ἀλλ' ὅτι. — τὸ συμμετρ..] A. F. et D. bene καὶ συμ. E. in marg. ante τὸ add. ἴσ. κάλλιςον δὲ, quod, quamvis non necessarium, adscribendum fuit repetitae voci συμμετρ. δέ. An voluit κάλλιςόν τε καὶ συμμ.? Locus in Platonis Timaeo in hanc fere sententiam est p. 29. a. Bip. T. X. Bekk. III, 2. p. 24. Caeterum quomodo veteres philosophi τὸ σύμμετρον cum pulcritudine copulare soleant, alibi exposui, ad Plotin. de pulcrit. p. 146 sqq. Attigit haec eadem Zellius meus ad Aristotel. Ethic. Nicom. IV. 3. p. 135 sq. — αὐτοῖς πρώτως] A. F. et D. οὐ τοῖς πρ. — τὸ αὐτὸ ἀγ.] C. om. αὐτὸ. — οὐ δὲ τοῖς] A. et D. οὐδὲ τοῖς. — ὁμοίως οὖσι.] A. ὁμοίοις οὖσ. — ἐξηλλαγμένη] A. F. et D. ἐξήλλακται. — ξένος) C. ξένοις. Cf Platonis de Legibus librum VI. 5. p. 757 p. 199 seq. Ast. hujusque Animadvv. p. 289. — ἐλάττοσι] B. et C. ἐλάττωσι. — πασ. μουσ.] D. πασ. μουσικωταr sic. ἀρίστη] D. ἀρίστους. — τὸ ἐν αὐτῷ] A. τὸ μὲν. — πέφυκεν] A. πέφυμεν sic. — κατὰ νοῦν] D. κα νοῦν (sic). — ἀγγέλων δὲ ἄλλη] A. ἄλλων δὲ ἄλλη. — διαφερούσης εἶναι] A. διαφορ.. om. εἶναι. — τῆς ἐν τ. οὐ ἀλληθείας] A. τοῖς ε. τ. ου. ἀληθειαν. — ἐπεὶ] C. ἐπί. — οὔποτε] B. om. οὐ. — φῦλον] B. φίλον, in marg. εἶχε φῦλον. — ὁμοῖον] B. ὅμοιον. Post hoc vocabulum parenthesi clauduntur verba tria, quae sequuntur, in Cod. E. Loci Homerici in hanc sententiam sunt Il. ρ.

μεταξὺ τούτων, γενῶν τε αὖ καὶ τῶν ἄκρων ἀμφοτέρων. Εἰ δὴ ταῦτα ὀρθῶς ὑπείληπται, δεῖ δήπου καθ' ἑκάστην τάξιν τῶν ὄντων τὴν οὐσίαν πρὸ τῆς τελειότητος γινώσκειν· οὐ γὰρ ἑαυτῆς ἐστὶν ἡ τελειότης, ἀλλὰ τῆς οὐσίας, ὑφ' ἧς μετέχεται. Ταύτην τοίνυν πρώτως θεωρητέον, οἷον, εἰ τῶν ἀμερίστων ἐστὶν οὐσιῶν, ἢ εἰ τῶν μεριστῶν περὶ τοῖς σώμασιν, ἢ εἰ τῶν ἐν μέσῳ τεταγμένων· καὶ ἢ τῶν αἰωνίων, ἢ τῶν κατὰ πάντα τὸν χρόνον ὑφισταμένων, ἢ τῶν ἐν μορίῳ τινὶ χρόνου γιγνομένων, καὶ ἢ τῶν ἁπλῶν καὶ πρὸ πάσης συνθέσεως ἱδρυμένων· ἢ τῶν συνθέτων μὲν, ἀεὶ δὲ συντεθειμένων ἐν τοῖς ἀλύτοις δεσμοῖς, ἢ τῶν ἀναλύεσθαι πάλιν εἰς ταῦτα, ἐξ ὧν συνετέθησαν, δυναμένων. Κἂν οὕτω θεωρῶμεν ἕκαστον, δυνησόμεθα καὶ τὸ ἀγαθὸν αὐτῆς κατανοεῖν, ὁποῖον τυγχάνει ὄν.

[β.] Δῆλον μὲν γὰρ αὖ, ὅτι τῶν μὲν ἀμέριστον τὴν οὐσίαν λαχόντων τὸ ἀγαθὸν αἰώνιόν ἐστι, τῶν δὲ μεριστὴν, καὶ τὸ ἀγαθὸν κατὰ χρόνον καὶ ἐν κινήσει πέφυκε, τῶν δὲ μεταξὺ κατὰ τὰ μέτρα τῆς ὑποστάσεως καὶ ἡ τελειότης θεωρεῖται· χρόνου μὲν, ἀλλὰ τοῦ πρώτου, δεομένη, καὶ τὰς ἀσωμάτους περιόδους δυναμένη καταμετρεῖν· ὥστε καὶ φιλοσοφίας ἁπάσης καὶ τῆς τοῦ Πλάτωνος πραγματείας ταύτην ἂν ἀρχὴν κυριωτάτην νομίζοιμεν, ὅπερ εἴπομεν τὴν ἡμῶν αὐτῶν καθαρὰν καὶ ἀκίβδηλον εἴδησιν, ἐν ὅροις ἐπιστημονικοῖς περιγεγραμμένην, καὶ τοῖς τῆς

444. sqq. et Od. σ, 129. Sed ii qui laudantur h. l. Homeri versus sunt Il. ε, 441. sq. — οὔτε μεταξὺ] A. οὔτε τῶν μετ.. D. οὔτε τὸ μ.. — γενῶν] B. γενῶντες. — ἑκάστην ταξ..] A. ἑκάην. — ὑφ' ἧς] A. ἐφ' ἧς. — πρώτως θεωρ..] A. F. et D. πρώτην θεωρ.. Ficin. l. c. p. 79. extr. — εἰ τῶν ἀμ..] A. ἢ τ. α. B. ἐκ τ.. — οὐσιῶν] A. οὐσῶν.. — ἢ εἰ τῶν μερ.... τεταγμ.] his ternis locis F. A. et D. omitt. εἰ. — καὶ ἢ τῶν ἁπλ.] B. et C. καὶ ἡ τ.. — γιγνομ..] D. γινομ.. — ἀεὶ δὲ συντ..] B. ἀεὶ καὶ. — ἐν τοῖς ἀλύτ..] A. σὺν.. Ad vocem θεσμοῖς in marg. Cod. E. a docta manu adscriptum legitur. Procl. in Tim. p. 303. Recte. — εἰς ταῦτα] A. εἰς ταύτας. — συνετέθησαν] A. F. et D. συντέθειται. — θεωρῶμεν] C. et D. θεωροῦμεν. — τὸ ἀγαθὸν αὐτῆς] A. F. B. C. et D... αὐτοῦ. — ὁποῖον τυγχάνει] A. F. B. et D. ὁπ, δὴ τυγχ. E. et C. δήτι τυγχ. Non male.

Γὰρ αὖ ὅτι] A. ὁτί — ἀμέριστον] A. ἀμερίστων. — κινήσει] A. κινύσει. Caeterum h. l. τὸ ἀγαθὸν ἐν κινήσει πέφυκε diversâ plane sententiâ accipiendum atque illa Epicureorum voluptas ἐν κινήσει, quam distinguebant a καταστηματικῇ. Vid. Diog. Laërt. X. 136 ibiq Menag. et Ciceron. de Finib. II. 10 §. 31 sq. qui illam *moventem* voluptatem appellat, hanc *stantem*. — δυναμένη] A. δυναμένου. — ἡμῶν αὐτῶν] B. om. αὐτῶν. — περιγεγραμ..] A. et F. om. περι.. —

αἰτίας λογισμοῖς βεβαίως καταδεθεῖσαν. Καὶ πόθεν γὰρ ἄρχεσθαι ἄλλοθεν προςήκει τῆς ἑαυτῶν καθάρσεως καὶ τελειώσεως, ἢ ὅθεν καὶ ὁ ἐν Δελφοῖς παρεκελεύσατο θεός; Ὡς γὰρ τοῖς εἰς τὸ τῶν Ἐλευσινίων τέμενος εἰςιοῦσιν ἐδηλοῦτο τὸ τῶν πρόγραμμα, μὴ χωρεῖν εἴσω τῶν ἀδύτων ἀμυήτοις οὖσι καὶ ἀτελέστοις· οὕτω δὴ καὶ πρὸ τοῦ νεὼ τοῦ Δελφικοῦ τὸ Γνῶθι σαυτὸν ἀναγεγραμμένον ἐδήλου τὸν τρόπον, οἶμαι, τῆς ἐπὶ τὸ θεῖον ἀναγωγῆς καὶ τῆς εἰς κάθαρσιν ὁδοῦ τῆς ἀνυσιμωτάτης· μονονουχὶ λέγον σαφῶς ξυνιέναι δυναμένοις, ὡς ὁ μὲν γνοὺς ἑαυτὸν ἀφ' ἑστίας ἀρξάμενος, συνάπτεσθαι δύναται θεῷ, τῷ τῆς ὅλης ἀληθείας ἐκφαντικῷ καὶ ἡγεμόνι, καὶ τῆς καθαρτικῆς ζωῆς· ὁ δὲ ἀγνοῶν, ὅςτις ἐστὶν, ἀτέλετος καὶ ἀμύητος ὢν, μετέχειν τῆς τοῦ Ἀπόλλωνος προνοίας ἐστὶν ἀνεπιτήδειος.

[γ.] Αὕτη τοίνυν ἔστω καὶ φιλοσοφίας ἀρχὴ καὶ τῆς Πλάτωνος διδασκαλίας, ἡ ἑαυτῶν γνῶσις· προςήκει γὰρ, οἶμαι, τὸν τοῦ Ἀπόλλωνος ὀαριστὴν ἀπὸ τῶν αὐτῶν ἄρχεσθαι τῆς τῶν ἀτελῶν τελειώσεως, ἀφ' ὧν καὶ αὐτὸς ὁ θεὸς παρακελεύεται. Ἐπεὶ καὶ ὁ Σωκράτης, ὃς τῶν κύκνων ὁμόδουλος εἶναι λέγεται, καὶ οὐχ ἧττον αὐτῶν παρὰ τοῦ θεοῦ τὴν μαντικὴν λαβὼν,

— *ἄρχεσθαι ἄλλοθεν*] Codd. E. et F. *ἄλλ. ἄρχεσθαι.* — *εἰςιοῦσιν*] B. *ἰοῦσι.* — *τὸ πρόγραμμα*] A. F. B. et D. om. *τὸ.* De re videsis Symb. u. Mythol. IV. p. 537. et qui ibi laudantur scriptores veteres. De Delphico illo praecepto v. Plat. in Phaedro pag. 229. e. Bip. T. X. p. 285. Bekk. I, 1. p. 8. ibique Scholiast. p. 55 Ruhnk. et Astii Comment. pag. 230. cum Additamm. ad calc. Platon. Reipubl. pag. 638. Platon. Protagor. p. 343 p. 213 Bekker. Ciceron. de Legg. I. 22. §. 58. Plutarch. de *εἰ* Delph. p. 385. p. 589 Wyttenb. — *τὸν τρόπον*) C. *τὸ τρ..* — *οἶμαι*] B. *ἡμᾶς*, D. *εἶναι.* — *ἀναγωγῆς*] B. *ἀγωγῆς.* Cod. F. h. l. bis *τὴν* pro *τῆς.* — *λέγον σαφῶς*] C. et D. *λέγων.* — *τοῖς ξυνιέναι*] A. *τοῖς συνιέναι* -- D. *τοῖς οὐ συν..* (*οὐ* superinscr.) F. et B. *τοῖς ἐξιέναι* -- C. *ξενιέναι.* — *ἀτέλετος καὶ ἀμ..*) C. et D. *ἀτέλεστος*, et ita legendum. Proxime de Apollinis *προνοίᾳ* vide scriptores, quos excitavit Lennep. ad Phalaridis epist. 40. p. 143 sqq. et quae disputavi in Mythologia Vol. II. p. 790—800 ed. alter.

*Ὀαριστὴν*] B. et C. *ἀριστὴν* et in marg. *ὀαριστὸν.* Hunc locum inde a verbis *Αὕτη τοίνυν* usque ad *ἡγησάμενος* adhibuit Wyttenbachius Platonis Phaedoni p. 225. ubi perperam expressum est *ἀφ' οὗ* pro *ἀφ' ὧν.* — *ὃς τῶν κυκν..*] A. *ὁ τ. κ. ὁ εἶναι λεγόμενος* C. *ὅσον τῶν κυήνων ὁμόδουλον ἑ. λέγεται.* D. F. et B. bene: *ὁ — λέγων.* De voce *ὁμόδουλος* attica pro *σύνδουλος* v. Moeris Atticist. p. 273. et quos laudat Piersonus, quibus adde Phavorin. s. v. *ὁμόδουλος.* Locus autem Platonis, quem expressit Proclus, est in Phaedone p. 85. b. Bip. I. Bekk. II, 3. p. 60. ubi vid. interprr.

ἐντεῦθεν ἄρξασθαι λέγεται τῆς ἐπὶ φιλοσοφίαν ὁρμῆς, τῷ Πυθικῷ γράμματι περιτυχὼν καὶ οἷον αὐτοῦ τοῦ Ἀπόλλωνος ταύτην εἶναι τὴν παρακέλευσιν ἡγησάμενος. Ἐντεῦθεν τοίνυν καὶ ἡμῖν ἀρκτέον ἑπομένους θεῷ, καὶ ζητητέον, ἐν τίνι μάλιστα τῶν διαλόγων ὁ Πλάτων τοῦτον ἔχει σκοπὸν, τὴν θεωρίαν τῆς οὐσίας ἡμῖν, ἵνα ἐκεῖθεν ποιησώμεθα καὶ τὴν τῶν Πλατωνικῶν συγγραμμάτων προτίστην ἀρχήν. Ἆρ' οὖν εἰπεῖν ἄλλον τινὰ ἔχοιμεν πρὸ τοῦ Ἀλκιβιάδου καὶ τῆς ἐν τούτῳ παραδεδομένης τοῦ Σωκράτους συνουσίας; καὶ ποῦ φήσομεν οὕτως ἀλλαχοῦ δείκνυσθαι τὴν οὐσίαν ἡμῶν ἥτις ἐστίν; ποῦ δὲ τὸ γράμμα τὸ Δελφικὸν, ὅ,τί ποτε νοεῖ, τελέως βεβασανίσθαι; ἢ πῶς δ' ἂν πρὸ τούτων ἄλλο τι τῶν ὄντων ζητήσαιμεν εἴτε τῶν ὄντων, εἴτε τῶν γινομένων, αὐτοῦ Σωκράτους ἀκούσαντες λέγοντος· „Γελοῖον δή μοι φαίνεται ἐμαυτὸν ἀγνοοῦντα τὰ τῶν ἄλλων σκοπεῖν·" οὐδὲν γάρ ἡμῖν ἐστὶν ἔγγιον ἡμῶν αὐτῶν· τὸ τοίνυν ἐγγυτάτω μὴ γινώσκοντας τίς μηχανὴ τὰ πορρώτερον γινώσκειν, καὶ ἃ δι' ἡμῶν γιγνώσκεσθαι πέφυκεν; Εἰ δὲ δὴ μὴ ταῦτα μόνον ἐννοιήσειας ἐν τῷ τετάρτῳ διαλόγῳ πολλῆς τυγχάνοντα διαρθρώσεως, ἀλλὰ καὶ ὅτι πρώτην ταύτην ὁ Σωκράτης καταβάλλεται συνουσίαν πρὸς τὸν Ἀλκιβιάδην, καὶ αὐτός ἐστιν ὁ τὰς ἀρχὰς τῆς τελειώσεως ἐκ τῆς ἑαυτῶν θεωρίας ἠρτῆσθαι λέγων, οὐκ ἂν ἔτι διστάσειας, ὡς ἐντεῦθεν καὶ πᾶσι τοῖς τελειωθῆναι σπεύδουσιν ἀρκτέον.

— *τῆς ἐπὶ φιλοσοφίαν*] C. et F. *ἐπὶ φιλοσοφίας*. sed corr. in marg. — *ἑπομένους θεῷ*] A. F. B. et D. *ἑπομένοις*, quod placet. — *τοῦτον ἔχει σκοπ..*] A. *τούτου ἔχει..* — *τῆς οὐσίας ἡμῖν.*] A. F. B. C. et D. *τ. οὐ ἡμῶν*. Ita etiam Cod. E. sequente distinctione majore. Bene. — *ἆρ' οὖν εἰπ. ἀλλ. τ. ἐχ.*] A. F. B. C. E. sic ponunt haec verba: *ἆρ' οὖν ἀλλ. τινὰ ἂν ἔχ. εἰπ*: item D., omisso *ἂν* — et C. pro *τινά*: *τί γάρ*. Cod. E. *ἔχοιμεν* nonnisi ex correctione habet; fuit *ἔχομεν*. — *ἐζητῆσθαι*] A. et B. *ἐξητῆσθαι*, D. *ἐζητεῖσθαι*. — *πρὸ τούτων*] B. *πρὸς τ.* — *ἄλλο τι*] C. *ἀλλότι* (sic) — D. *ἄλλότι*. — *τῶν ὄντων*] B. *τούτων*. Vid. delend. *τῶν ὄντων*. — *τῶν γινομένων*] A. B. et C. *τ. γιγνομ..* — *οὐδὲν γάρ*] C. *οὐδὲ γάρ*. — *ἔγγιον*] B. *ἔγγυον*. — *τὸ τοίνυν*] B. et D. *τῷ τοιν..* — *γινώσκοντας*] A. B. et D. *γινώσκοντι*. — *τὰ πορρώτερον*] A. *τὰ πορρωτέρου*. Utrum voluit *πορροτέρω*, an supra scribendum *ἐγγύτατον*? — Paulo post suspicor scriptum fuisse *μὴ πέφυκεν*. — *εἰ δὲ δὴ*] A. et B. om. *δή*. — *ἐννοιήσ..*] cett. omn. *ἐννοησ*. Recte. — *ἐν τῷ τετάρτῳ διαλ.*] A. B. C et D. *ἐν τῷδε τῷ διαλ.* Haec Cod. E. in marg. ab al. m. — *διαρθρώσεως*] A. *διορθώσεως*. — *ἀλλὰ καὶ*] *καὶ* om. B. — *ἐκ τῆς ἑαυτ..*] A. *καὶ τ..* — *διστάσειας*] A. et B. *διαστήσειας* in marg. A. *διαστάσειας*. — *ἀρκτέον*]

Καὶ γὰρ ἡμῶν ἕκαστος καὶ τῶν ἄλλων ἀνθρώπων ἐναργέστερον ἢ ἀμυδρότερον τοῖς αὐτοῖς ἔνοχος παθήμασιν, οἷσπερ δὴ καὶ ὁ Κλεινίου ἐστίν. Καὶ γὰρ ἀγνοοῦμεν ἑαυτοὺς ὑπὸ τῆς γενεσιουργοῦ λήθης κατεχόμενοι, καὶ ὑπὸ τῆς ταραχῆς τῶν ἀλόγων εἰδῶν τῆς ζωῆς ἐκκρουόμενοι, καὶ οἰόμεθα πολλὰ γινώσκειν, ὧν ἀγνοοῦμεν, διὰ τοὺς κατ' οὐσίαν ἡμῖν ἐνυπάρχοντας λόγους· καὶ τῆς αὐτῆς δεόμεθα βοηθείας, ἵνα τῆς περιττῆς οἰήσεως ἀποστήσωμεν ἡμᾶς αὐτοὺς, καὶ τῆς προσηκούσης ἡμῖν ἐπιμελείας τύχωμεν.

[δ.] Ἀλλ' ὅτι μὲν προηγεῖσθαι δεῖ τὴν ἑαυτῶν γνῶσιν παντὸς ἄλλου σκέμματος, καὶ πάσης, ὡς εἰπεῖν, τῆς φιλοσόφου θεωρίας, εἴρηται. Τάχα δ' ἄν τις ἡμῖν ἐπιτιμήσειεν, οὕτω προχείρως τὸν σκοπὸν τοῦ Ἀλκιβιάδου τοῦτον εἶναι τιθεμένοις, ἐπεὶ καὶ ἄλλων πολλῶν καὶ κλεινῶν ἐξηγητῶν λόγοι προθέσεις οἱ μὲν ἄλλας, οἱ δὲ ἄλλας αὐτοῦ γεγράφασιν. Οὐ μὴν ἀλλ' αἰσχυνθείην ἂν ἐμαυτὸν, εἰ το τελειώτατον ἐν τῷ διαλόγῳ καὶ ἐπιστήμης μείζονος δεόμενον καὶ πάντων περιεκτικὸν τῶν προβλημάτων ὅρον, τοῦτο τὸ τὴν οὐσίαν ἡμῶν ἐκφαῖνον, ἥτις ἐστὶ, καὶ διὰ πάντων τῶν κεφαλαίων διατεῖνον, τὰ δεύτερα καὶ ἀτελέστερα καὶ μερικώτερα σκοποὺς ποιησαίμην τοῦ προκειμένου συγγράμματος. Οὔτε γὰρ ἐπὶ μόνον τὸν Ἀλκιβιάδην ἀναφέρειν προσήκει τὴν τοῦ διαλόγου πρόθεσιν, ὥς τινες ὑπέλαβον· (ἡ γὰρ ἐπιστημονικὴ θεωρία το κοινὸν ὁρᾷ, καὶ τὸ διατεῖνον ἐπὶ πᾶσαν τὴν ὁμοῖαν

C. *ἀρκτόον.* — *καὶ γὰρ* ] A. et F. *οὐ γάρ.* — *Κλεινίου* ] A. B. C. et D. *Κλεινίειος*, eleganter, vid. Platon. Gorgiam p. 482 a. p. 117 Heind. *ὁ μὲν γὰρ Κλεινίειος οὗτος*, ubi alia manus in cod. Meermann. superscripserat *ὁ υἱὸς τοῦ Κλεινίου, Ἀλκιβιάδης*, notante Findeisenio p. 135. Tu cf. Fischerum ad Welleri grammat. II. p. 9. — De *γενεσ. λήθῃ* cf. Porphyr. in Stobaei Eclogg. Tom. II. p. 376. Nostrum in Platon. Tim. p. 345 et quae disputavi in Mytholog. Vol. III. p. 446 sq. p. 466 sq. — Quae sequuntur Ficinus latine vertit l. c. p. 180. med. usque ad *ἐνυπάρχοντας λόγȣς.* — *ἐκκρουόμενοι* ] B. *συγκρινόμενοι.* — *τῆς αὐτῆς δεομ..* ] C. *τ. αὐτοῦ..* — *ἵνα τῆς* ] C. add. *τε.* Non male.

*Οὕτω προχ..*] A. *οὕτως.* — *εἰ τὸ τελειώτ..*] B. *εἰς..* E. *τελεώτατον*, certe vel ita vel *τελειότατον*, scribendum; prius praeferendum, quia in praecedentibus et sequentibus saepius sine lectionis varietate ita legitur. — *ἐν τῷ διαλ..*] *ἐν τῷ* om. B. — *δεόμενον καὶ παντ..*] D. om. *καί.* — *τοῦτο τὸ τὴν*] A. et D. *τοῦτο τε τὴν.* Ante haec verba Cod. E. in contextu habet *ὅρον*, in marg. *ὁρῶν*, quod praeferendum videtur. — *ἐκφαῖνον* ] A. *ἔκφαινον.* — *σκοποὺς ποιησ..*] A. *σκοπεῖν ποι..* — *διαλόγου προθεσ.*.] B. *λόγου προθ.* — *ὁμοῖαν*] cett. omn. *ὁμοίαν.* Recte.

ἕξιν·) οὔτε τὰ ὄργανα τὰ διαλεκτικὰ προτείνειν ὡς σκοποὺς τῆς συνουσίας, οἷον τὴν προτροπὴν ἢ τὴν μαιείαν ἢ τὸν ἔλεγχον· ἀλλ᾽ ὁρᾷν, εἰς τί καὶ ταῦτα τέλος ἀνατείνεται, οὔτε ἀποστάντας τῶν προκειμένων σκεμμάτων ἐπ᾽ ἄλλας οὐσίας οὐδὲν ἡμῖν προςηκούσας, θείας ἢ δαιμονίας, μεταφέρειν τὴν ζήτησιν. Οἰκεῖον γὰρ εἶναι δεῖ τῇ πρώτῃ καταβολῇ τῆς φιλοσόφου θεωρίας τὸν σκοπὸν, ἐπεὶ καὶ ὁ Σωκράτης νυνὶ πρῶτόν φησι τῷ νεανίσκῳ προςελθεῖν· οὔτε ὅλως ἄλλην τινὰ πρόθεσιν ἐπισκευαστὴν μηχανᾶσθαι τοῦ διαλόγου, ταύτην ἀφέντας, ᾗ μαρτυρεῖ, καὶ αὐτὸς ὁ Σωκράτης. Εἰ γὰρ παντὸς ἄλλου σκέμματος δεῖ προηγεῖσθαι τὴν ἡμῶν αὐτῶν γνῶσιν, πῶς ἂν τῆς πρώτης συνουσίας ἄλλο ἄν τι γένοιτο τέλος σκοπιμώτερον τοῦ γνῶναι ἑαυτούς; Προτροπαὶ τοίνυν καὶ ἀποτροπαὶ καὶ ἔλεγχοι καὶ μαιεῖαι καὶ ἔπαινοι καὶ ψόγοι τὸν, ὧν οὐκ ἄνευ, λόγον ἐπέχουσιν· ἄνευ γὰρ τούτων οὐκ ἔστι γνῶναι ἑαυτόν· ἀλλὰ δεῖ προτροπῆς μὲν ἐπὶ τὸ ὄντως ἀγαθὸν, ἀποτροπῆς δὲ τῶν ὄντως κακῶν· καὶ μαιείας μὲν εἰς τὴν προβολὴν τῶν ἀδιαστρόφων λόγων, ἐλέγχου δὲ εἰς τὴν κάθαρσιν τῆς ἀγνοίας τῆς διπλῆς· καὶ ἐπαίνου μὲν εἰς τὴν οἰκείωσιν τῶν τελειουμένων, ψόγου δὲ εἰς τὴν ὠφείλειαν αὐτῶν, καὶ τὴν θεραπείαν ἐν οἷς πράττουσι

— ὡς σκοποὺς] A. ὡς σκοπόν. — μαιείαν] C. μανίαν. — οὔτε ἀποστ..] D. ὥςτε ἀπ.. — οὐδὲν ἡμῖν] A. οὐδέ. — τῇ πρώτῃ κατ..] B. om. τῇ et pro καταβολῇ exhibet μεταβολὴ. A. τῇ πρώτῃ μεταβολῇ. Male. Est prima fundatio et universae rationis (systematis) delineatio. Ac quando vulgata Lexica varios vocis καταβολὴ significatus parum explicant, legant literarum studiosi quae de ea exposuerunt viri docti: Suicerus in Thes. eccles. II. p. 48. Wetsten. ad N. T. II p. 425. Schweighaeus. in Obs. ad Suidam I. 9. p. 173 sqq. et Valckenaer. ad Epist. ad Hebr. IV. 3. in Scholl. II. p. 474 seq. De ἐπιβολῇ, quae vox et ipsa frequentatur hujus familiae philosophis, monuimus ad Plotinum in studiis nostrr. I. p. 95 sq. — τῆς φιλοσόφου θεωρίας] B. τῆς φιλοσοφίας. — νεανίσκῳ] B. νεανικῷ. — οὔτε ὅλως] cett. omn. οὐθ᾽ ὅλως. — ἐπισκευαστὴν] B. ἐπισκευαστικὴν A. ἐπισκευάσειν (sic). Nos lectionem Cod. B. germanam censemus, nisi malis ἐπισκευαςέον. Vocem ἐπισκευαςικὸς non habet Schneideri Lexicon. — ἀφέντας] B. φανέντας. — ᾗ μαρτ..] A. ᾗ καὶ μαρτ.. — προτροπαὶ] A. τροπαί. — μαιεῖαι] D. μανίαι, C. μαῖναι, B. μωρεῖαι. Vid. Pollux Onom. IV. S. 208. ib. Kühn. p. 473. ed. Hemst. Platon. Theaet. p. 150 d. p. 309. Hdf. τῆς μέντοι μαιείας ὁ θεός τε καὶ ἐγὼ αἴτιος. — ἄνευ λογ..] A. ἂν εὐλόγ.. — οὐκ ἔστι γνων..] D. οὐκ ἔσται. — ἀποτροπ..] B. ἐπιτρ.. — ὄντως κακ..] B. et C. ὄντων. — μαιείας μὲν] B. in marg. ἴσως μανίας C. μαίνας. — τῶν ἀδιαστρόφων] D. τ. διαστρ.. — ἐλέγχου] B. ἔλεγχον. — ὠφείλειαν] cett. omn. ὠφέλειαν. Recte. — πραττ. κακῶς]

κακῶς. Ὥςπερ οὖν ἐν ταῖς τελεταῖς καθάρσεις ἡγοῦνται καὶ περιῤῥαντήρια καὶ ἁγνισμοὶ ἃ τῶν ἐν ἀποῤῥήτοις δρωμένων καὶ τῆς τοῦ θείου μετουσίας, οὕτω μοι δοκεῖ καὶ ἡ φιλόσοφος τελεσιουργία καθαίρειν καὶ προπαρασκευάζειν εἰς τὴν ἑαυτῶν γνῶσιν, καὶ τὴν αὐτοφανῆ τῆς οὐσίας ἡμῶν θεωρίαν τοὺς ἐπ' αὐτὴν στελλομένους· ὥςτε σκοπὸς μὲν οὗτός ἐστι τοῦ διαλόγου καὶ οὐκ ἄλλος.

[ε.] Τῶν δὲ ἐν αὐτῷ δεικνυμένων τὰ μὲν προηγεῖται, τὰ δὲ ἐπακολουθεῖ τῇ προθέσει ταύτῃ, καθάπερ συμπεράσματα τῷ τέλει τούτῳ συνηρτημένα. Προηγεῖται μὲν γὰρ ἡ τῆς διπλῆς ἀγνοίας ἀπόθεσις καὶ ἡ προτροπὴ καὶ ὅσα τοιαῦτα· ἕπεται δὲ ἡ τῆς ἀρετῆς καὶ ἡ τῆς εὐδαιμονίας ἐπίδειξις καὶ ἡ τῶν πολλῶν τεχνῶν κατάγνωσις, ὡς ἀγνοοῦσι καὶ ἑαυτὰς καὶ τὰ αὐτῶν, καὶ πάντα ἁπλῶς καὶ ὅσα τούτου τοῦ εἴδους ἐπὶ τέλει τοῦ διαλόγου συγκατασκευάζεται. Τὸ δὲ τεχνώτατον αὐτῷ καὶ σκωπιμώτατόν ἐστι τῆς ὅλης συνουσίας ἡ θεωρία τῆς οὐσίας ἡμῶν. Ἐπεὶ καὶ, εἴ τις λέγοι τέλος εἶναι τὴν ἑαυτῶν ἐπιμέλειαν καὶ τὴν ταύτης γνῶσιν τῷ διαλόγῳ, τίθεται μὲν ὀρθῶς. Ἐννοείτω δὲ, ὅτι τοῦτο μὲν ὡς τέλος καὶ ὡς τὸ ἀγαθὸν ὑπάρχειν ἡμῖν ἐκ τῶν ἀποδεικνυμένων προςήκει, τὸ δὲ ζητούμενόν

A. πρ. κακῶν. — περιῤῥαντήρια] A. περιῤῥαντήριαι. Tum Cod. F. ἁγνίσματα. Quae sequitur vocula ἃ in Cod. E., ut spuria, punctis subscriptis notata est. Merito. — τῆς τοῦ θείου] B. τις τ. θ. — μετουσίας, οὕτω] A. F. B. et D. interponunt his verbis: γυμνάσματά εἰσιν. Post μετουσίας est colon in Cod. E. Locus hic inde a verbis ἐν ταῖς τελ. exstat in titulo libri Anglici: A dissertation on the Eleusinian and Bacchic Mysteries. Amsterd. sine anni nota. Ibi item adduntur voces in nostro libro perperam omissae γυμνάσματά εἰσι. De philosophiâ cum mysteriis comparatâ vid. Wyttenbach. ad Platon. Phaedon p. 134—139 et nostram Praeparat. ad Plotin. de pulcrit. p. CVII—CXI. — καθαίρειν] A. F. C. et D. προκαθαίρειν, B. προκαθαίρει, prius verum videtur, quamquam et nostrum stare potest. θεωρίαν] C. θεωρίας. Vocem αὐτοφανὴς adde Schneideri Lexico. — στελλομένους] A. στελομ.. B. συστελλομένους, D. τελλομένους. — οὐκ ἄλλος] A. οὐ κάλλος.

Ἐν αὐτῷ δεικν..] B. om. ἐν. — τὰ μὲν προηγ..] τὰ μὲν om. B. — προηγ. μὲν γὰρ] γὰρ om. C. — ἀπόθεσις] C. ὑπόθεσις. ὅσα τοιαῦτα. D: ἡσ --. τοναῦτα (sic.) — ἕπεται] C. ἔπεται. Paulo post Cod. E. εὐδαιμονείας habet. — ὡς ἀγνοοῦσι] ὡς omitt. B. et cum A. F. C. et D. leg. ἀγνοουσῶν. Paulo post scripserim αὑτῶν. — τούτου τοῦ εἴδους] B. om. τούτου. — ἐπὶ τέλει] A. ἐπιτέλει. — τεχνώτατον] cett. omn. τελικώτατον, et ita legendum. — αὐτῷ] cett. om. αὐτό. Bene. — συνουσίας] C. οὐσίας. — εἴ τις λέγοι] B. λέγει οἱ. D. λέγει. — ὑπάρχειν ἡμῖν] A. ὑπερέχειν, D. ὑπάρχῃ (sic).

ἐστι πρόβλημα, καὶ οὗ ἕνεκα πάντες οἱ συλλογισμοὶ, τὸ γνῶναι ἑαυτούς. ἄλλο γὰρ ἦν τὸν σκοπὸν γνῶναι τοῦ διαλόγου καὶ τὸ ἀγαθὸν, καὶ ἄλλο τὸ ἐκ τῆς τοιαύτης προθέσεως. Δεῖ γοῦν, ὥςπερ καὶ ἐν ἄλλοις εἴπομεν τῶν διαλόγων ἔχειν ἅπερ καὶ τὸ πᾶν, καὶ εἶναι τὸ μέν τι τῷ ἀγαθῷ τεταγμένον ἀνάλογον ἐν αὐτοῖς, τὸ δέ τι τῷ νῷ, τὸ δὲ τῇ ψυχῇ, τὸ δὲ τῷ εἴδει, τὸ δὲ αὐτῇ τῇ ὑποκειμένῃ φύσει. Λεγέσθω δὴ οὖν καὶ τούτοις, τὸ μὲν τῷ ὁμοιωθῆναι τῷ θείῳ διὰ τῆς ἑαυτῶν ἐπιμελείας ἀναλογεῖν, τῷ δὲ νῷ τὸ γνῶναι ἑαυτοὺς, τῇ δὲ ψυχῇ τὸ πλῆθος τῶν ἀποδείξεων τῶν εἰς τοῦτο ἀγουσῶν ἡμᾶς τὸ συμπέρασμα, καὶ πᾶν, ὡς εἰπεῖν, τὸ συλλογιστικὸν τοῦ διαλόγου· τῷ δὲ εἴδει λοιπὸν ὁ χαρακτὴρ τῆς λέξεως καὶ τῶν σχημάτων καὶ τῶν εἰδῶν ἡ πλοκὴ, καὶ ὅσα ἄλλα τῆς λεκτικῆς ἐστὶ δυνάμεως· τῇ δὲ ὕλῃ τὰ πρόςωπα καὶ ὁ καιρὸς καὶ ἡ καλουμένη παρά τισιν ὑπόθεσις. Ταῦτα μὲν οὖν ἐν παντὶ διαλόγῳ· τὸ δὲ προκείμενον σκοπὸς μέν ἐστι τῷ δὲ τῷ συγγράμματι, τὸ γνῶναι τὴν οὐσίαν ἡμῶν. Ταύτης δὲ τῆς γνώσεως ἐρασταὶ τυγχάνομεν ὄντες, ἵνα τῆς ἑαυτῶν τύχωμεν τελειότητος· καὶ ὅςπερ ἐν τοῖς αἰτίοις αὐτοῖς ὁ νοῦς ἐξήρτηται τοῦ ἀγαθοῦ, οὕτω δὴ καὶ ἐν τούτοις τὸ ζητούμενον ἐν τῷ διαλόγῳ συνέζευκται τῷ τέλει τῆς συνουσίας· τέλος δέ ἐστιν ὅπερ εἴπομεν.

— καὶ τὸ ἀγαθὸν καὶ ἄλλο] cett. omnes: κ. τ. ἀγ. ἄλλο, omisso καὶ, excepto E. ubi est: καὶ τὸ ἀγαθὸν κἄλλο (sic) τὸ ἐκ τῆς τοιαύτης, et in marg. γρ. κἄλλο τὸ ἀγαθὸν τὸ ἐκ τῆς τοιαύτης πρ. quod placet. — τοιαύτης προθέσ. ] B. om. τοιαύτ.. — δεῖ γοῦν] A. F. et B. δεῖ οὖν. — ἐν ἄλλοις εἴπ. τῶν διαλ.] reliqq. ἐν ἀλλ. εἰπ. περὶ τῶν διαλ. Sed E. ut noster, in margine vero ab alia manu, γρ. τὺς διαλόγυς, ἢ ἕκαςον τῶν διαλόγων. Bene. — διαλόγων ἔχειν] Cett. διαλ. ἕκαστον ἔχειν, excepto E. Vid. not. praeced. — ἅπερ καὶ] B. ἥπερ. — ἀνάλογ. ἐν αὐτοῖς] A. ἀναλογ. ἑαυτῆς C. ἑαυτοῖς. — λεγέσθω δὴ] D. λεγέσθαι. — καὶ τούτοις] A. κἂν τ.. E. in marg. καὶ ἐν τ. Bene. — τὸ μὲν τῷ ὁμ. τ. θ.] F. A. et D. τῷ μὲν ἀγαθῷ τὸ ὁμ.. item B. recte. — ἀναλογεῖν] A. ἀναλογοῦ. — τῷ δὲ νῷ] A. τῷ δὴ νῷ. — γνῶναι ἑαυτοὺς] A. γν. ἑαυτὸν. — τὸ συμπέρασμα] D. τὸ σύμπαν. — καὶ πᾶν ὡς εἰπ.] B. καὶ πᾶς.. — τὸ συλλογιστ..] C. om. τὸ. — καὶ τῶν εἰδεῶν] B. εἰδῶν C. D. et E. ἰδεῶν. Hoc praetulerim. — τῆς λεκτικῆς] B. τῆς διαλεκτικῆς. — ἐν παντὶ διαλ..] A. et D. ἐν πάντι δι. — προκείμενον] D. προαιμιον (sic). — τῷ δὲ τῷ συγγρ.] A. τῷδε συγγρ. et utique junctim scribendum τῷδε. — ταύτης δὲ τῆς γνωσ..] A. τ. δὴ τ. γ. — τοῦ ἀγαθοῦ] F. A. et D. τἀγαθοῦ — τέλει τῆς συνουσ..] C. τ. τ. οὐσίας. — τέλος δέ ἐστιν] C. om. δὲ.

[ϛ.] *Ταῦτα δὲ περὶ τῆς προθέσεως ἡμῖν ἀναγεγράφθω, προαποδείξασιν, ὡς ἄρα ἐντεῦθεν ἀρκτέον τῆς ἑαυτῶν τελειώσεως ἀπὸ τῆς ἑαυτῶν καθαρᾶς γνώσεως. Ἀρχὴ δέ ἐστιν οὗτος ὁ διάλογος ἁπάσης φιλοσοφίας, ὥςπερ δὴ* (Cod. F. *δὲ*) *καὶ ἡ ἑαυτῶν γνῶσις· καὶ διὰ τοῦτο πολλῶν μέν ἐστι λογικῶν ἐν αὐτῷ θεωρημάτων κατεσπαρμένη παράδοσις, πολλῶν δὲ ἠθικῶν καὶ τῶν πρὸς ὅλην ἡμῖν τὴν περὶ εὐδαιμονίας ἐπίσκεψιν συντελούντων ἀνακάθαρσις, πολλῶν δὲ εἰς φυσιολογίαν καὶ τὴν περὶ αὐτῶν τῶν θείων ἀλήθειαν ἡμᾶς ποδηγούντων δογμάτων ὑποτύπωσις, ἵν', ὥςπερ ἐν τούτῳ τῷ διαλόγῳ, πάσης φιλοσοφίας ἡ κοινὴ καὶ μία καὶ ὁλοσχερὴς ὑπογραφὴ περιλαμβάνηται, δι' αὐτῆς τῆς πρώτης ἡμῖν εἰς ἑαυτὴν ἐπιστροφῆς ἀναφαινομένη. Καί μοι δοκεῖ καὶ διὰ ταύτην τὴν αἰτίαν ὁ θεῖος Ἰάμβλιχος τὴν πρώτην αὐτῷ διδόναι τάξιν ἐν τοῖς δέκα διαλόγοις, ἐν οἷς οἴεται τὴν ὅλην τοῦ Πλάτωνος περιέχεσθαι φιλοσοφίαν, ὥςπερ ἐν σπέρματι τούτῳ τῆς συμπάσης ἐκείνων διεξόδου προειλημμένης. Οἵτινες δέ εἰσιν οἱ δέκα καὶ ὅπως αὐτοὺς προςήκει τάττειν, καὶ ὅπως ἐν τοῖς* (Cod. F. *τοῖς δύο*) *μετ' αὐτοὺς συνήρτηνται, προηγουμένως ἐν ἄλλοις πεπραγματευσόμεθα. Ἀλλ' ἐπειδὴ καὶ ταῦτα μετρίως ὑπέμνησται, περὶ τῆς τοῦ διαλόγου διαιρέσεως μετὰ ταῦτα λεκτέον. Εἰσὶ δ' οἵ-*

*Ταῦτα δὲ*] cett. omn. *ταῦτα καὶ*, excepto E. — *ἡ ἑαυτῶν γνῶσις*] A. et B. *ἡ αὐτῶν*, D. sic: *αὐτῶν*. Post *μέν ἐςι* sequitur in Cod. E. vox *θεωρημάτων*, omissa posthac, in marg. vero post *ἐςι* adscriptum ab al. m. *λογικῶν ἐν αὐτῇ*, quod a contextu plane alienum est. — *κατεσπαρμένη*] A. *κατεσκαρμένων*, B... *ων* (superscr. *η*) (sic), quod non displicet; vide sequentia: *συντελέντων, ποδηγέντων*. — *πρὸς ὅλην ἡμῖν*] D. *πρὸς ὃ αν ἡμιν* (sic). — *πολλῶν δὲ εἰς φυσ..*] *δὲ* om. B. — *φυσιολ. καὶ*] A. F. B. et D. *φυσ. ἢ καὶ*, item C, omisso *καί*. — *περιλαμβάνηται*] A. et B.. ..*εται*. — *δι' αὐτῆς τῆς πρώτ..*] C. om. *τῆς*. — *εἰς ἑαυτὴν ἐπιστρ..*] A. F. B. et D. *εἰς ἑαυτούς*. — *καί μοι δοκεῖ*] C. *καὶ μὴ δοκ..* — *ἐν τοῖς δέκα διαλόγοις*] C. *ἐ.τ. δεκάδαν λόγοις* (sic). — *ὥςπερ ἐν σπέρματι*] C. *σπάρματι*. *τῆς συμπάσης ἐκείνων διεξόδου*, universae ipsorum continuationis, ihrer ganzen organischen Folge. Cf. quae de hoc vocabulo posui in Mytholog. I p. 23 sq. ed. alter. — *προειλημμένης*] A. et B.. *λημένης*. — *καὶ ὅπως*] A. *καὶ ὅπερ*. — *καὶ ὅπως ἐν τοῖς*] A. *κ. ὅπερ*. D. *ὅπῃ* sic. — *συνήρτηνται*] B. F. C. D. et E. *συνήρηνται*. — *πεπραγματευσόμεθα*] cett. omn. *πεπραγματεύμεθα*. E. *πεπραγματευσάμεθα* unde corrigendum videtur *ἐπραγματευσάμεθα*. — *ὑπέμνησται*] B. *ὑπέμνησθαι*. — *εἰσὶ δ' οἵτινες*] A. *εἰσὶ δέ τινες*, F. B. et D. *δή τινες*.

τινες κατὰ τὸ λεκτικὸν αὐτοῦ ποιούμενοι τὴν τομήν, εἰς ἔπαινον καὶ ἔλεγχον καὶ προτροπὴν καὶ ἀποτροπὴν καὶ μαιείαν αὐτὸν διῃρήκασιν, ἐπαίνου μὲν δεῖσθαι τὸν φιλόσοφον λέγοντες, ἵν' οἰκειώσηται τὸν νέον· ἐλέγχου δὲ, ἵνα καθήρῃ τῆς περιττῆς οἰήσεως· προτροπῆς δὲ, ἵνα ἀνεγείρῃ πρὸς τὴν τῆς ἀρετῆς αὐτὸν μετ' οὐσίαν· ἀποτροπῆς δὲ, ἵνα τῆς πρὸς τοὺς πολλοὺς δημαγωγοὺς ὁμοιώσεως ἀποστήσῃ, καὶ τοῦ ζήλου τοῦ πρὸς ἐν τῇ πόλει μέγα δυναμένου· μαιείας δὲ, ὅπως ἂν αὐτὸν ἐκκαλέσηται πρὸς τὴν θεωρίαν τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς πρεπούσης ἐπιμελείας τῇ τοιαύτῃ φύσει. Καὶ λέγουσι μέντι διαιροῦντες εἰς ταῦτα τὸν διάλογον, οὐ μέντοι ὅσοντε οἱόντε· περὶ γὰρ τὰ τρίτα ἀπὸ τῆς ἀληθείας διατρίβουσι καὶ περὶ τὰ ἔσχατα φιλοπονοῦσι καὶ τῶν ὀργάνων ἅπτονται, τῆς δὲ τῶν πραγμάτων ἀπολείπονται διαρθρώσεως. Ἕτεροι δὲ αὖ τούτων σεμνότεροι, τὸ μὲν λεκτικὸν, ὁπή ποτε διῄρηται, χαίρειν ἐῶσιν, ἀνάγονται δὲ ἐπὶ τὸ συλλογιστικὸν τοῦ διαλόγου καὶ τὸ ἀποδεικτικὸν, κἀκεῖθεν ἀξιοῦσιν αὐτὴν μεταχειρίζεσθαι τὴν τομήν. Καὶ δὴ καὶ ἀπαριθμοῦνται, πρῶτον μὲν εἶναι συλλογισμὸν ἐν ᾧ δείκνυσιν, ὅτι οὐκ οἶδε τὰ δίκαια Ἀλκιβιάδης· δεύτερον δὲ τὸν ἀποφαίνοντα, μὴ εἶναι σπουδαίους διδασκάλους τοῦ δικαίου τοὺς πολλούς· τρίτον δὲ αὖ τὸν συνάγοντα, ὅτι ὁ λέγων ἐστὶν ὁ ἀποκρινόμενος, καὶ οὐχὶ ὁ ἐρωτῶν,

— δ' οἵτινες κατὰ] cett. omn... νες οἱ κατὰ excepto E. — μαιείαν] C. μανείαν. — διῃρήκασιν] B. διειρήκασιν A. διηρείκασιν. — τὸν φιλοσ. λεγ..] cett. λεγ. τὸν φιλοσ. excepto Cod. E. — ἵν' οἰκ..] A. et B. ἵνα οἰκ.. — καθηρῃ] F. B. et C. καθάρῃ, D. καθαίρῃ. — μετ' οὐσίαν] A. B. C. et E. ex corr. μετουσίαν. Recte. — ἵνα τῆς πρὸς.] C. om. τῆς. — ζήλου τοῦ πρὸς] τοῦ om. C. — πρὸς ἐν τῇ] cett. πρὸς τοὺς ἐν τῇ. — δυναμένου] A. F. D. et E. δυναμένους. B. δεομένους. An reliquit Proclus: καὶ τȣ̃ ζηλȣ̃ν τȣ̀ς ἐν τῇ πόλει μέγα δυναμένȣς? Lenius tamen illud: καὶ τοῦ ζήλου πρὸς τοὺς ἐν τῇ πόλει μέγα δυναμένους. — μαιείας] C. μανείας. — ὅπως ἂν αὐτ..] A. ὅπερ. — τῆς ἀνθρωπ..] cett. omn. τῆς τε ἀνθρ. — μέν τι] A. μέντοι, item F. B. et C. ὅσοντε οἱόντε] A. ὅσα γε οἱοντε F. E. et D. ὅσονγε οἱόντε. Τὰ τρίτα τῆς ἀληθείας vid. Plotinum de dialectica ibiq. Ficin. p. 16—21 et de duplici intelligentiâ p. 533 sqq. Vide etiam quae apud Nostrum deinceps leguntur. — διαρθρώσεως] D. διαρθώσεως. — ὁπή ποτε] A. sic: ὁπή ποτε, B. ὅπη ποτὲ. E. et C. ὁποίποτε, D. ὁπήποτε. — τοῦ διαλόγου] F. et A. τὸν διάλογον, B. τῶν διαλόγων. — καὶ τὸ ἀποδεικτικὸν] cett. om. τὸ. — ἀξιοῦσιν αὐτὴν] cett. omn. ἀξ. αὐτοῦ, excepto E. qui cum nostro facit, nobis non probantibus. — τὸν ἀποφαίνοντα] B. om. τόν. Tum F. μὲν pro μή. — καὶ οὐχὶ] A. et F. οὐχ. D. κοὐχ'.

ἐν οἷς ἐρώτησις γίνεται καὶ ἀπόκρισις· τέταρτον, ἐν ᾧ δείκνυται τῆς αὐτῆς ἐπιστήμης ἔργον ὑπάρχειν τὸ πολλοὺς καὶ ἕνα πείθειν· πέμπτον, τὸν συλλογιζόμενον, ὡς ἄρα τὰ δίκαια συμφέροντά ἐστιν· ἕκτον δὲ ἄλλον τούτῳ συνημμένον, ὃς συμπεραίνεται, μόνον εἶναι τὸ καλὸν ἀγαθόν· ἕβδομον δὲ τὸν κατασκευάζοντα, ὅτι κατὰ τὴν διπλῆν ἀμαθίαν ὁ Ἀλκιβιάδης ἀγνοεῖ ἑαυτὸν καὶ τὰ πράγματα· ὄγδοον δὲ τὸν ἐλέγχοντα, ὡς οὐδὲ τοὺς ἀληθινοὺς ἀνταγωνιστάς, οἵ τινές εἰσιν, ἐπέσκεπται· ἔνατόν γε μήν, ὃς ἀποφαίνει παντελῶς αὐτὸν ἀγνοοῦντα τον τῆς ὀρθῆς ἐπιμελείας· δέκατον δὲ ἐπὶ τούτοις, ἐν ᾧ τὴν οὐσίαν ἡμῶν ἀνακαθαίρεται, καὶ τὰς τριπλᾶς αὐτῆς διαγνώσεις, καὶ τὸ εἶδος τῆς ἁρμοττούσης αὐτῇ (F. αὐτῷ) θεραπείας. Οὐκοῦν καὶ τοὺς ταῦτα λέγοντας ἐπαινεσόμεθα μέν, ὡς τῶν πρὸ αὐτῶν ἀστειοτέρους καὶ τῶν πραγμάτων ἐγγυτέρω γεγονότας, οὔπω δὲ οὐδὲ τούτους φήσομεν πραγματειώδη ποιεῖσθαι τὴν διαίρεσιν, ἀλλ' ἐν δευτέρᾳ τάξει τετάχθαι καὶ μὴ παντελῶς ἀφεστάναι τῆς περὶ τὰ ὄργανα διατριβῆς. Ἐκεῖνος δὴ οὖν ὁ τρόπος τῆς τοῦ διαλόγου τομῆς ἔμοιγε δοκεῖ πάντων εἶναι τελεώτατος, ὃν καὶ ὁ φιλόσοφος Ἰάμβλιχος ἐνέκρινεν, ὁ ἀπ' αὐτῶν ὁρμώμενος τῶν πραγμάτων καὶ συνάγων εἰς τρία κεφάλαια τὴν ὅλην οἰκονομίαν τοῦ συγγράμματος, καὶ πρὸς ταῦτα ἀναφέρων τάς τε συλλογιστικὰς μεθόδους καὶ τὰς λεκτικὰς μεταχειρήσεις. Δεῖ γὰρ ἀεὶ τὰ δεύτερα καὶ τὰ ὀργανικὰ τῶν πρώτων καὶ κυρίων μερῶν ἀντέχεσθαι κἀκείνων ἐστοχασμένως παραδίδοσθαι.

— ἐρώτησις] C.. ιν. — ὑπάρχειν] A. F. B. et C. ὑπάρχον. — πείθειν] B. παθεῖν. — τὸν συλλ..] A. et B. τὸ σ. — συνημμένον] cett. omn. συνηρτημένον. Bene. — διπλῆν] cett. sic: διπλὴν, excepto E. qui recte circumflexum exhibet. — ἀμαθίαν] B. et C. ἀμαθείαν. — ἀγνοεῖ] A. et B. ἀγνοεῖν. — ἀγν. ἑαυτ.] D. ἑαυτ. ἀγν. — ὡς οὐδὲ] D. ὡς οὐ δὲ. — τὸν τῆς ὀρθῆς ἐπιμ..] A. F. B. et D. τὸν τρόπον τῆς ὀρθῆς ἐπιστήμης. In Cod. E. item, sed ab alia manu, additum est τρόπον in margine. Bene. Eadem vox additur in C. sed pro ἐπιστ. pon. ἐπιμελείας. — ἐπαινεσόμεθα] A. ἐπαινέσομεν, C. ἐπαινεώμεθα. — ἀστειοτέρους] A. ἀστειοτέρων, C... ρω. — γεγονότας] A. γεγονότων. — ἐκ. δὴ οὖν] B. et D. ἐκ δὲ οὖν. — τομ. ἔμοιγε δοκεῖ] D. τομ. ὅς μοι γε δ. — ὁ ἀπ' αὐτῶν] B. ὁ ἀπ' αὐτῷ. — ὁρμώμενος] D. ὁρμήμενος. — μεταχειρήσεις] F. A. et E. μεταχειρίσεις. — δεῖ γὰρ ἀεὶ τὰ δευτ..] A. om. ἀεὶ τα. — ὀργανικὰ] A. et F. τὰ ὄργανα, it. D, omisso τά. — τῶν πρώτων] B. τ. πρώτως. — ἐστοχασμένως] A. ἐστοχασμένον.

[ζ] **Πῶς οὖν φαμὲν τὸν διάλογον εἰς τα προςεχῆ καὶ κυριώτερα** μέρη διαιρεῖσθαι; Πῶς δὲ ἄλλως, ἢ ἐπειδὴ σκοπὸς μέν ἐστιν αὐτῷ τὴν οὐσίαν ἐκφῆναι τοῦ ἀνθρώπου, καὶ ἐπιστρέψαι πρὸς ἑαυτὸν ἕκαστον ἡμῶν ἀπὸ τῆς εἰς τὰ ἔξω βλεπούσης ὁρμῆς καὶ τῆς ἀλλοτριοπραγμοσύνης. Ταύτην δὲ ἀνάγκη γίγνεσθαι, τὸν μὲν λόγων ἡμῶν καθαιρόντων ἀπὸ τῶν ἐπιπροσθούντων αὐτῷ καὶ τὴν ἐπιστροφὴν διακοπτόντων, τὸ δὲ ἄλογον παιδευόντων καὶ πρὸς τὴν κατὰ τὸν λόγον τελειότητα ἀνακαλουμένων. Προηγεῖται μὲν κεφάλαιον ἕν, τὸ τὴν ἄγνοιαν ἀφαιροῦν τοῦ λόγου καὶ τὰ ἐμπόδια τῆς ἐπιστήμης, τὰ ἐν αὐτῷ δια τὴν γένεσιν ἀναστέλλον πολλοῖς δή τισι καὶ παντοδαποῖς συλλογισμοῖς. Δεύτερον δὲ ἐπὶ τούτῳ τέτακται τοῦ διαλόγου μέρος, τὸ κατασκευάζον, ὡς οὐ χρὴ, τοῖς φυσικοῖς πλεονεκτήμασιν ἀρκούμενον, ἀπολιμπάνεσθαι τῶν κατὰ τὴν τελείωσιν τῆς ἀρετῆς ἐπιτηδευμάτων. Τρίτον δὲ ἐπὶ τούτοις τὸ τὴν ἀνάμνησιν πορίζον τῆς ἀληθινῆς ἡμῶν οὐσίας καὶ τῆς ἐπιμελείας τῆς ὀρθῆς τὴν εὕρεσιν, καὶ τέλος τὸ προςῆκον ἐπάγον τῇ ὅλῃ προθέσει τῶν λόγων. Τρία τοίνυν ταῦτα τοῦ προκειμένου διαλόγου μέρη· τὰ δὲ ἄλλα πάντα τούτων ἕνεκα παραλαμβάνεται καὶ πρὸς ταῦτα συντελεῖ, τά τε ἀποδεικτικὰ καὶ τὰ λεκτικὰ καθήκοντα· καὶ γὰρ τῶν συλλογισμῶν ἕκαστος ὀφθήσεται πρὸς ἓν τοῦτο τέλος ἀνάγων ἡμᾶς, τὴν θεωρίαν τῆς ἡμετέρας ὑποστάσεως καὶ τὴν γνῶσιν τὴν ἑαυτῶν. Εἰ γὰρ βούλει καθ' ἑαυτὸν ἕκαστον σκοπεῖν, καὶ ἣν ἔχει δύναμιν ἐξετάζειν, εἰς μίαν ταύτην ἀρχὴν ἀναφερομένους εὑρήσεις. Οὐ μὲν γὰρ πρῶ-

*Κυριώτερα*] cett. omn. *κυριώτατα.* — *διαιρεῖσθαι*] A. et B. *διαιρῆσθαι.* — *σκοπὸς μὲν*] C. *σκοποὶ μ.* — *αὐτῷ*] B. *αὐτῶν,* — *τοῦ ἀνθρ.*] A. B. et D. *τὴν ἀνθρ..* — *ἐπιστρέψαι*] A. et B. *ἐπιστρέψας.* D. *ἐπιτρέψαι.* — *ἀνάγκη γίγνεσθαι*] B. et D. *ἀν. γίνεσθαι* C. *ἀναγίγνεσθαι.* — *λόγων ἡμ..*] A. *λόγον ἡμ.* item cett. Et ita legendum. — *ἐπιπροσθ. αὐτῷ*] B. *ἐπ. αὐτῶν.* — *κατὰ τὸν λόγον*] A. *κατὰ λόγων*: F. B. et D. *κατὰ λόγον.* — *τελειότητα*] cett. omn. *τελείωσιν.* — *ἀφαιροῦν*] A. *ἀναφαιροῦν.* — *ἐμπόδια*] A. *ἐνυπόδια.* — *ἀναστέλλον*] A. *ἀνεσταλμένον.* — *κατὰ τ. τελείωσιν τ. ἀρ.*] cett. omn. *τελείαν ἀρετὴν*, quod magis placet. — *ἐπάγον*] A. *ἐπάγει.* — *τούτων ἕνεκα*] B. *τ. δὲ ἕν..* — *καὶ τὰ λεκτικὰ*] A. B. et D. *καὶ τὰ τῇ λεκτικῇ καθ..* — *ἀνάγων ἡμᾶς*] A. *ἀν. ἡμῶν.* — *ἕκαστ. σκοπεῖν*] A. *ἕκ. σκοπὸν.* — *ἀρχὴν ἀναφ..*] cett. *ἀρχ. ἅπαντας ἀναφ.* — *ἀναφερομ.*] C. *ἀναφαιρ..* Ante hoc vocabulum Cod. E. in extrema linea habet *ἃ*, sed tribus punctis subscriptis Voluit librarius sine dubio addere illud *ἅπαντας*, quod reliqui libri exhibent. Mox Codd. E. et F. pergunt: *Ὁ μὲν*

**τος, ὁ δεικνὺς τὴν ἄγνοιαν, ἣν ἔχομεν ἅπαντες ἐκ νεότητος, τῶν δικαίων, οὐδὲν ἀλλ' ἢ τὴν ἀνεπιστημοσύνην αἰτιᾶται τὴν ἑαυτῶν· κατ' οὐσίαν γὰρ ἔχοντες αὐτῶν τοὺς λόγους οὐκ ἐπιστρέφομεν εἰς ἑαυτοὺς, οὐδὲ διηρθρωμένην αὐτῶν γνῶσιν ἀνα**λαμβάνομεν· καὶ τοῦτο αἴτιον τῆς οἰήσεως τοῦ εἰδέναι καὶ τῶν ἐλέγχων, οἷς γενόμεθα περιπαθεῖς διὰ τὴν ἄγνοιαν οἴησιν. Ὁ δὲ δεύτερος ἀτιμάζων τὸν πολὺν ὄχλον τῶν ἀνθρώπων, ὡς οὐκ ὄντα τῶν δικαίων ἐπιγνώμονα, τοῦ μὲν πλήθους παντὸς καὶ τῆς εἰς δόξας φερομένης ζωῆς ἀφέστησιν ἡμᾶς, ἀνάγει δὲ ἐπὶ τὸν ἕνα λόγον καὶ τὴν μίαν ἐπιστήμην ἕκαστον ἐν αὐτῇ τῇ ψυχῇ κατ' οὐσίαν ὑφεστηκυῖαν. Ὁ δὲ τρίτος, τὸν ἀποκρινόμενον εἶναι τὸν λέγοντα δεικνὺς, τὴν αὐτοκινησίαν ἐμφανῆ ποιεῖ τῆς ψυχῆς, καὶ τὰς προςβολὰς τῶν λόγων, καὶ τὰς μαθήσεις ἀναμνήσεις οὔσας ἀποφαίνει· καὶ οὐδὲν ἀλλ' ἢ πρὸς ἑαυτὸν ἐπιστρέφει τὸν τελειούμενον. Ὁ δὲ δὴ τέταρτος, ἐν

γὰρ κ. τ. λ., quod unice verum. Caeterum hae decem quaestiones in ipso dialogo ita fere (ut videtur) se excipiunt: I. c. 1—15. II. c. 15—19. III. c. 19—22. IV. c. 22—23. V. 23—24. VI. 24—28. VII. 28—32. VIII. 32—42. IX. 42—50. X. usque ad fin.; vel ad nnmeros edd. Stephan. et Bekk. ita: I. usque ad pag. 110. d. Bekk. p. 315. II. usque ad p. 112. d. Bekk. p. 319. III. usque ad p. 114. b. Bekk. p. 323. IV. usque ad p. 114. d. Bekk. p. 324. V. usque ad p. 115. a. Bekk. p. 325. VI. usque ad p. 117. b. Bekk. p. 331. VII. usque ad p. 119. b. Bekk. p. 335. VIII. usque ad p. 124. b. Bekk. p. 345. IX. usque ad p. 129, a. Bekk. p. 357. X. usque ad fin. — *ἐκ νεότητος*] B. *ἐκ νεοτήτων*. — *οὐδὲν ἀλλ' ἢ*] A. et D. *οὐδὲν ἄλλο ἢ*, bene. B. *οὐδὲν ἄλλως ἤ*. — *τῶν δικαίων*] B. om. *τῶν*. — *διηρθρωμένην*] A. *διορθωμένην* et in marg. *διηρθρωμένην*. C. *διηρθωμένην*. — *τοῦ εἰδέναι*] A. *τοῦ εἰδέων*. — *περιπαθεῖς*] A. *περιπεττεῖς* et in marg. *περιπετὴς*, C *περιπετοῖς*, F. et D. *περιπετεῖς*. Ante hoc vocabulum in Cod. E. est *γινόμεθα*, tum in marg. *περιπετεῖς*, quod germanum videtur, et post aliquot paginas repetitur. Cf. etiam Suidam in voc. Vol. III. p. 93. Kust. et Photii Lex. p. 308. — *ἄγνοιαν οἴησιν*] omitt. cett. *ἄγνοιαν*, pro *διὰ* D. leg. *περὶ*. *Ἄγνοιαν* spurium est. — *πλήθους*] A. *πλήθειν*. — *καὶ τῆς εἰς δόξας*] A. *καὶ τῆς οόξας*, B. *κ. τ. εἰς δόξαν*. — *ἀφιστ. ἡμᾶς*] A. *ἀφ. ἡμῶν*. — *ὑφεστεκυῖαν*] A.... *κυίαν*. F. *κατ' ἐσίας ὑφ.* — *προςβολὰς*] cett. omn. *προβολ.*, quod malim. In loco dialogi nostri, quem tangere videtur Proclus p. 114. a. Bekk. p. 322. c. 21. p. 133. ed. Buttm. est *προδρομὰς τȣ̃ λόγȣ*. Proxime *αὐτοκινησία* addendum vulgatis Lexicis. Stephanus T. II. p. 216. ex Philoponi commentariis in Proclum excitat hanc vocem. Tu vide Suidam in *αὐτοκίνητον* Vol. I. p. 386, ubi in loco scriptoris *τὸ αὐτοκίνητον* opponitur *τῇ πολυμαθείᾳ*, ac proinde nativas felicis ingenii dotes designat. Verba descripsit etiam Zonaras in Lex. p. 346, ac similiter explicat: *τὸ αὐτοφυές*. In sequentibus ad verba: *ψυχικὸν διάκοσμον* — *αὐτοκίνητον* plura dabimus. — *οὐδὲν ἀλλ'*] A. F. B. et D. *οὐδὲν ἄλλο*. Bene. — *ἐπιστρέφει*] D. *ἀντιστρ. ἐφ.*

ᾧ συνήγαγεν, ὡς ἄρα τῆς αὐτῆς ἐστὶν ἐπιστήμης ἕνα καὶ πολλοὺς πείθειν, δείκνυσιν, οἷόν ἐστι τὸ τέλειον καὶ τὸ ἑαυτοῦ μὴ ἐξιστάμενον τῆς ἐνεργείας εἶδος, ἀλλ' εἰς ἑαυτὸ νοερῶς ἀπεστραμμένον· πάντα γὰρ πληροῦν ἀνελάττωτόν ἐστι, καὶ ὡσαύτως, ἑνὶ καὶ πολλοῖς πάρεστιν, οὔτε μεριζόμενον ἐν τοῖς μετέχουσιν, οὔτε ἀλλοιούμενον ὑπ' αὐτῶν, ἀλλ' ἓν καὶ τὸ αὐτὸ μένον ἐν ἑαυτῷ, καὶ ἀφ' ἑαυτοῦ τὰ ἄλλα τελειοῦν. Ὁ δὲ πέμπτος μετὰ τοῦτον, ὁ τὰ δίκαια συμφέροντα ἀποδεικνὺς, ἐν τῇ ψυχῇ τίθεται τὸ ἕκαστον συμφέρον, ἐν ᾗ καὶ τὸ δίκαιον, καὶ πείθει μηδαμοῦ ζητεῖν ἀλλαχοῦ τὴν οὐσίαν ἡμῶν, ἢ ἐν ψυχῇ, ὅπου καὶ τὸ ἀγαθόν ἐστι τῷ δικαίῳ συνυφεστώς· οὐ γὰρ ἀλλαχοῦ μὲν ἡμῶν τὸ συμφέρον, ἀλλαχοῦ δὲ ἡ ὕπαρξις. Ὁ δὲ ἕκτος, ὁ τὸ καλὸν συνάγων εἰς ταὐτὸ καὶ τὸ ἀγαθὸν, ἀφίστησι μὲν φαινομένων καλῶν, ἐπ' αὐτὸ δὲ τὸ νοερὸν καὶ λογικὸν καὶ ἐπιστημονικὸν κάλλος ἀνάγει τὴν ψυχὴν καὶ παρασκευάζει πρὸς ἑαυτὴν ἐπιστρέφεσθαι καὶ ἐν αὐτῇ ταῦτα θεωρεῖν, ἀλλ' οὐκ ἐν τοῖς ἔξω κειμένοις αὐτῆς. Ὁ δὲ ἕβδομος ἀποκαθαίρων

τῆς αὐτῆς ἐστὶν] B. om. αὐτῆς. — καὶ τὸ ἑαυτοῦ μὴ] D. om. τὸ. — — νοερῶς] A. νοερῶν. Tum E. ἐπεστραμμένον, quod placet. Cod. F. εἰς ἑαυτὸν νοερ. ἐπεστρ. Proxime ἀνελάττωτον adde Lexicis. Locorum similium fontes indicavi ad haec Plotini, de pulcritudine: οὐδὲ σχήματι εἰς ἐλάττωσιν περιγραφέν in Annotat p. 375. — ἑνὶ καὶ πολλοῖς] B. ἕνι κ. πολλῆς — μένον ἐν ἑαυτῷ] A. μένει. — πεμπτ. μετὰ τοῦτον] A. κατὰ τοῦτον -- B. μετὰ τούτου, D. μ. τούτων. — ἀποδεικνὺς] A. F. B. et D. ἀποφαίνων. — τὸ ἕκαστον συμφ..] cett. omn. τὸ ἑκάστου. Benc. — συνυφεστὼς] A. συνυφεστῶς (sic). B. συνυφεστὸς. recte. — ὁ δὲ ἕκτος] C. ὁ δ. ἄντις. — ὁ τὸ καλ..] B. ὅτι καλ. — εἰς ταὐτὸ] cett. εἰς ταὐτὸν, excepto E. cf. Thom. Mag. p. 174. ib. Lamb. Bos. p. 39. Maittair. p. 37. A. B. In marg. Codic. C. leguntur haec: εἰ οὐκ ἀλλαχοῦ μὲν ἡμῶν τὸ συμφέρον καὶ ἀγαθὸν ὑδεῖ (sic) ἀλλαχοῦ δὲ τὴν οὐσίαν πῶς ἀπ' ἄλλης μὲν αἰτίας εἴκειν ἡμῶν τὸ εἶναι φῄς, ἀπ' ἄλλης δὲ πρεσβυτέρας καὶ ἁγιωτέρας τὸ ἀγαθόν· πῶς γὰρ ἂν εἴη τὸ αὐτὸ καὶ ἓν διαφόρων ποιητικῶν ἀποτέλεσμα; — μὲν φαινομ..] cett. μὲν τῶν φαιν.. Recte. — παρασκευάζει] C... ζειν. Mox Codd. E. et F. ἐν ἑαυτῇ pro αὐτῇ. — κειμ. αὐτῆς] B. κειμ. αὐτοῖς. — ἀποκαθαιρ. τῆς διπλ] A. B. et D. om. τῆς. Frequentat Proclus in sequentibus τὴν πρὸς (sive εἰς) ἑαυτοὺς ἐπιστροφήν i. e. curam sui; cum ad nos redimus et mentem convertimus. Ad eam pervenitur per προσοχὴν sive per sedulam attentionem reique cujusque considerationem. Utrumque vocabulum familiare Stoicis; vid. Upton. ad Epictet. Vol. III. p. 333. et p. 433 ed. Schweigh. et Gatacker. ad Marc. Antonin. IV. 32. p. 119. ed. Ultraject. 1698. Ex Platonicis laudasse sufficiat Porphyrium in sententt. §. 34. p. 237 et Nostrum ipsum in Platon. Tim. p. 64.

τῆς διπλῆς ἀγνοίας πᾶν τὸ ἐπιπροςθοῦν τῇ ἑαυτῶν γνώσει καὶ ἀφαιρούμενον ἡμᾶς τῆς πρὸς ἑαυτοὺς ἐπιστροφῆς διὰ τοῦ τὴν περιττὴν οἴησιν ἐκβάλλειν, δείκνυσιν τὸ μέγιστον ὑπάρχον τοῦτο τῶν κακῶν τὸ ἀγνοεῖν ἑαυτούς, ᾧ συναναφαίνεται τὸ μέγιστον καὶ τελεώτατον τῶν ἀγαθῶν ἐν τῇ αὐτῶν γνώσει, καὶ ἀφαιρούμενον ἡμᾶς τῆς πρὸς ἑαυτοὺς ἐπιστροφῆς, διὰ τὸ τὴν ὑπόστασιν κεκτημένον. Ὁ δὲ ὄγδοος συλλογισμὸς ἐπιδείκνυσι μὲν αὐτῷ τοὺς ἀληθῶς ἀνταγωνιστάς, συντελεῖ δὲ ἄρα καὶ οὗτος εἰς τὸν ὅλον σκοπόν· ἐπειδήπερ ἀγνοοῦμεν ἑαυτοὺς ἢ κατὰ τὴν ψυχικὴν δύναμιν, ἢ κατὰ τὴν σωματικήν, ἢ κατὰ τὴν αὐτός. Ἵν' οὖν μὴ παντελῶς ἑαυτὸν ἀγνοῶν καί, ὅπως διὰ πάντων ἠλάττωται τῶν ἀνταγωνιστῶν, ἑαυτὸν λάθῃ τοῖς μεγίστοις ἀτυχήμασι περιπετὴς γενόμενος, ἀνάγκη οἶμαι καὶ οὗτός ἐστιν ὁ συλλογισμὸς πρὸς τὴν ὅλην τοῦ διαλόγου πρόθεσιν. Ὁ δὲ ἔννατος, ἐν ᾧ δείκνυσι τὸν τρόπον τῆς ἡμῶν ἐπιμελείας ἀγνοῶν, κυριωτάτην ἀρχὴν ἀποφαίνει καὶ τῆς τούτου γνώσεως τὴν τῆς οὐσίας ἡμῶν διάγνωσιν. ἤρτηται γὰρ ἀπὸ τούτου καὶ ἡ τῆς ἐπιμελείας τῆς ὀρθῆς διάκρισις· μᾶλλον δὲ κατ' αὐτὴν ἀφώρισται τὴν γνῶσιν. πᾶν γὰρ αὐτοκίνητον ἑαυτῇ τελειοῖ πρὸς ἑαυτὸ στρεφόμενον· καὶ

— *ἀφαιρ. ἡμᾶς*] A. *ἡμῶν.* — *διὰ τοῦ τὴν*] D. *διὰ γὰρ.* — *δείκνυσιν*] C. *δεί, δείκνυν* (sic.) Cod. E. *δείκνυσι*, et sic scribendum. — *ὑπάρχον*] A *ὑπάρχειν.* — *τὸ ἀγνοεῖν*] B *ἀγνομονεῖν.* — *ᾧ συναναφ..*] A. *ὧν συν..* — *αὐτῶν γνώσει*] In cett. omn. sequitur: *τὴν ὑπόστασιν κεκτημένον*, omissis *καὶ ἀφαιρ.... τό.* Et abesse debent haec omnia; sunt enim nonnisi repetitio verborum, quae paulo ante justo loco scripta sunt, oculo librarii ad haec priora aberrante, qui, animadverso errore, litura tamen commaculare codicem noluit. Paulo superius scripserim *ἐν τῇ αὐτῶν γνώσει.* Pro *συναναφαίνεται* possis: *συνυφαίνεται, contexitur*; neque tamen necesse. — *συντελεῖ δὲ*] A. et F. om. *δὲ.* D *καὶ συντ..* omisso *δὲ.* — *ἄρα*] B. om. — *τὴν ψυχικ..*] C. om. *τήν.* — *τὴν σωμ..*] C. om. *τήν.* — *τὴν αὐτός*] cett. omn. *τὴν ἐκτός.* In Cod. E. *ἐκτὸς* correctum est, fuit antea *αὐτός*, sine sensu. Scribendum *ἐκτός.* — *ἀγνοῶν*] A. *ἀγνῶν.* — *καὶ ὅπως*] A. *καὶ ὅπερ.* — *ἠλάττωται*] C *ἠλάττωνται.* — *ἀνάγκη οἶμ..*] A. F. B. et C. *ἀναγκαῖος οἶμ.* D. *ἀν...ος* (sic). In Cod. E. *ἀνάγκη*, in marg. *ἀναγκαῖος*, quod placet. — *δείκνυσι*] A. F. B. et D. *δείκνυται.* — *τὸν τρόπον*] A. F. B. et D. *ὁ τὸν τρόπ..* — *ἀγνοῶν*] Cod. E. in marg. *ἀγνοοῦντα.* Alterutrum recipiendum, aut *δείκνυται — ἀγνοῶν*, aut *δείκνυσι — ἀγνοοῦντα.* Post *ἀποφαίνει* delendum videtur *καί.* — *ἀπὸ τούτου*] A. F. B. et D. *ἀπὸ τούτων.* — *μᾶλλον δὲ*] A. F. B. et D. *μᾶλλον δή.* — *αὐτοκίνητον*] A. *αὐτὸ κίνητον* (sic). — *ἑαυτῇ τελειοῖ*] A. F. B. et D. *ἑαυτὸ τελ.* C. *ἑαυτοῦ τελοιοῖ.* Cod. E. *ἑαυτὸ* in marg. habet, et sic legendum.

ὁ μὲν γνοὺς ἑαυτὸν, ὁμοῦ καὶ τὴν ἑαυτοῦ θεραπείαν ἐν ἑαυτῷ συνείληφεν· ὁ δὲ ἀγνοῶν ἑαυτὸν ἀνεπιστήμων ἐστὶ καὶ περὶ τὸν τῆς ἐπιμελείας τρόπον. *Δέκατος* τοίνυν ἐφ' ἅπασιν ὁ τὸν ἄνθρωπον ἐν ψυχῇ τὴν ὑπόστασιν ἔχοντα δεικνὺς, αὐτόθεν ἐκφαίνει τὸ εἶδος τῆς ἡμετέρας οὐσίας καὶ τελεωτάτην ἡμῖν παρέχεται γνῶσιν τῆς αὐτοενεργήτου ζωῆς, ἐν ἑνὶ τήν τε ὕπαρξιν ἡμῶν καὶ τὴν τελείωσιν ἀποδεικτικῶς συλλαμβάνων. Εἰ δὴ λέγοιμεν, ὅτι ἕκαστος τῶν ἐν τῷ διαλόγῳ συλλογισμῶν καὶ πάντες ἅμα πρὸς τὴν ἑαυτῶν γνῶσιν ἡμᾶς περιάγουσι, τάχα ἂν τῆς τοῦ Πλάτωνος τυγχάνοιμεν διανοίας.

[η.] „Ὦ παῖ Κλεινίου, οἶμαι σὲ θαυμάζειν, ὅτι πρῶτος „ἐραστής σου γενόμενος, τῶν ἄλλων πεπαυμένων, μόνος οὐκ „ἀπαλλάττομαι." (p. 103. a. Steph. — Bip. T. V. — Bekk. II, 3. p. 299.)

Τὰ δὲ προοίμια τῶν Πλατωνικῶν διαλόγων συνᾴδει πρὸς τοὺς ὅλους αὐτῶν σκοποὺς, καὶ οὔτε δραματικῶν ἕνεκα ψυχαγωγίας μεμηχάνηται τῷ Πλάτωνι, (πόῤῥω γάρ ἐστιν ὁ τρόπος οὗτος τῆς συγγραφῆς τῆς τοῦ φιλοσόφου μεγαλοφροσύνης·) οὔτε τῆς ἱστορίας στοχάζεται μόνης, ὥςπερ τινες ὑπειλήφασιν· οὔτε γὰρ πιθανά ἐστιν, οὔθ' ὅλως δυνατὸν, ἅπαντα ἑξῆς ἀπὸ τῶν γεγονότων ἢ ῥηθέντων λαμβάνεσθαι προς τὴν μίαν

— *ἑαυτοῦ θερ..*] C. *αὐτοῦ θερ..* — *ἐν ἑαυτῷ*] F. et A. *ἐν αὐτῷ.* — *ὁ δὲ ἀγν... τρόπον*] Ad hanc sententiam referuntur in marg. Cod. C. *τὴν ὕπαρξιν καὶ τὴν οὐσίαν ὑπόστασιν λέγει.* Cod. F. *περιττὸν* pro *περὶ τὸν.* — *ἐκφαίνει*] D. *ἐμφαίνει.* Quod sequitur vocabulum *αὐτοενέργητος*, non est in Schneideri Lexico. Dionysius Areopagita jungit *τῷ αὐτοκινήτῳ*, de quo nos supra diximus. Ita enim ille de divinn. nominib. c. IV. sect. 14. p. 480 Deum definit: *ἐρωτικὴν κίνησιν, ἁπλῆν, αὐτοκίνητον, αὐτενέργητον*, i. e. per se operantem. — *τήν τε*] C. om. *τε.* — *ἀποδεικτικῶς συλλαμβάνων*] A. *ἀποδεικτικῶν λαμβάνειν.* Sequitur distinctio major in Cod. E. Recte. — *λέγοιμεν*] A. et F. *λέγομεν*, C. *λέγοι μὲν.* — *ὅτι ἕκαστος*] A. B. et D. *ὅτι καὶ ἕκ..* — *ἑαυτῶν γνῶσιν*] C. *αὐτῶν γν..* — *ἡμᾶς*] A. et F. *ἡμῶν.*

*Ὦ παῖ*] Praecedunt his in Cod. A. et B. haec: *τοῦ διαλόγου ἀρχὴ*, addito in B. *ή.* De argumento v. Athen, V, 12. p. 187. p. 224. sq. Schw. loco in Platonem contumelioso. — *Ὦ παῖ*] A. et D. omitt. *ὦ.* — *ἐραστής σου*] C. *ἐραστού*, (sic).

*Τὰ δὲ*] om. A. B. et D. *δὲ.* — *δραματικῶν ἕνεκα*] cett. omn. *δραματικῆς ἕνεκα*, duplicato in B. *μ.* Cod. in marg. *δραματικῶς.* Legendum *δραματικῆς.* — *τῆς συγγραφῆς*] om. B *τῆς.* — *στοχάζεται μόνης*] B. *στοχ. μόνον.* — *οὔτε γὰρ πιθαν.*] C. *οὔτε καὶ πιθ.* — *πιθανά*] F. A. et B. *πιθανόν*, quod placet.

τῶν Πλατωνικῶν συγγραμμάτων τελείωσιν. Ἀλλ', ὥςπερ καὶ τοῖς ἡμετέροις δοκεῖ καθηγεμόσι, καὶ ἐν ἄλλοις μετρίως ὑπέμνησται, τῆς ὅλης τῶν διαλόγων ἐξήρτηται καὶ ταῦτα προθέσεως· καὶ τὰ μὲν ἐκ τῶν ὑποκειμένων πραγμάτων ἢ λόγων συναρμόζεται πρὸς τὸν παρόντα σκοπὸν, τὰ δὲ τελειοῦται τῶν ἐλλειπόντων εἰς τὴν τῆς προκειμένης θεωρίας συμπλήρωσιν· ὁμοῦ δὲ πάντα καθάπερ ἐν τῇ τελετῇ πρὸς τὴν ὅλην ἀνάγεται τῶν ζητουμένων τελείωσιν. Τοῦτο δὴ οὖν μοι δοκεῖ καὶ ἐν τούτῳ τῷ διαλόγῳ προτείνειν ἡμῖν ὁ Πλάτων τὸ δόγμα, καὶ καλῶς ἐπιδεικνύναι δι' αὐτῆς τῆς πρωτίστης ἐπιβολῆς τῶν λόγων σύμπαντα τοῦ γράμματος σκοπόν· πρόκειται μὲν γὰρ αὐτῷ, καθάπερ εἴπομεν, τὴν φύσιν ἡμῶν ἐκφῆναι, καὶ τὴν οὐσίαν ὅλην, καθ' ἣν ἕκαστος ἀφώρισται, τοῖς ἐπιστημονικοῖς καὶ ἀνελέγκτοις τῆς θεωρίας λόγοις συμπεριλαβεῖν, καὶ τοῦτο ἐκεῖνο τὸ Δελφικὸν παράγγελμα, τὸ Γνῶθι σαὑτόν, ὅ,τί ποτέ ἐστιν, ἀποκαλύψαι διὰ τῶν ἀποδεικτικῶν μεθόδων. Αὐτὸ δὲ τὸ προοίμιον ἐπιστρέφει μὲν εἰς ἑαυτὸν τὸν νέον καὶ καθίστησιν ἐξεταστὴν τῶν ἐν αὐτῷ προκειμένων διανοημάτων· ἀνάγει δὲ αὐτὸν ὁμοῦ τῇ πρὸς ἑαυτὸν ἐπιστροφῇ καὶ εἰς τὴν τῆς Σωκρατικῆς ἐπιστήμης περιωπήν. Τὸ γὰρ ἐξετάζειν τὴν αἰτίαν, δι' ἣν Σωκράτης μόνος τῶν ἐραστῶν οὐκ ἀπέληξε τοῦ ἔρωτος, ἀλλὰ καὶ ἤρξατο πρὸ τῶν ἄλλων, καὶ πεπαυμένων οὐκ ἀπαλλάττεται, θεατὴν αὐτὸν ἀποφαίνει τῆς ὅλης τοῦ Σωκράτους

— καὶ ἐν ἄλλοις] cett. omn. καὶ ἡμῖν ἐν.. Bene. — συναρμόζεται] D. συναρμόζεσθαι. — τῶν ἐλλειπόντων] B. τ. ἐλλιπόντων, A. τ. ἐνειπόντων. — θεωρίας] A. θεωρίαν. — ἐν τῇ τελετῇ] cett. om. τῇ. — δὴ οὖν μοι] C om. δὴ. — καλῶς ἐπιδεικν..] A. καλῶν ἐπ.. — λόγων σύμπαντα] cett. λογ. τὸν σύμπ.. Bene. — καὶ ἀνελέγκτοις] B. om. καὶ. — συμπεριλαβεῖν] cett. περιλαβεῖν. — ὅ,τί ποτέ] ceteri, exceptis D. et E. ὅτι ποτέ ἐστιν. — εἰς ἑαυτὸν] B. εἰς αὐτὸν. — ἐν αὐτῷ] cett. ἐν αὐτῷ. Recte. Tum Cod. F. προϋποκειμένων. — τῇ... ἐπιστροφῇ] B. τῆς... ἐπιστροφῆς. — Σωκρατικῆς] C. σωματικῆς. -- περιωπὴν i. q. σκοπιὰν, speculam vid. Apollonii Lex. Homer. p. 547 Toll. Zonar. Lex. p. 1534 ibiq. Tittmann. In alium sensum hujus vocis usum convertit Thucydides IV. 86, videlicet περισκέψεως, προνοίας, hoc nomine reprehensus a Dionysio Vol. VI. p. 793. cf. Wass. ad Thucyd. l. l. Caeterum speculae similitudinem frequentant Platonici. — Σωκράτης] A. B. et D. ὁ Σωκρ. — μόνος] C. μόνη. — ἀπέληξε] A. et B. ἀπήλλεξε, D. et F. ἀπήλλαξε. — Σωκράτους] A Σωκράτου C σώματος. Quae sequuntur vertit Ficinus l. c. p. 180. extr.

ζωῆς. Ἔστι μὲν οὖν τὰ εἴδη τῆς ἐπιστροφῆς περιττά· πᾶν γὰρ τὸ ἐπιστρεφόμενον ἢ πρὸς τὸ χεῖρον ἐπιστρέφει ἑαυτοῦ διὰ τὴν ἀπόπτωσιν τῆς οἰκείας τελειότητος, ἢ πρὸς τὸ κρεῖττον ἀνάγεται διὰ τῆς ἑαυτοῦ ζωῆς καὶ τῆς κατὰ φύσιν ἐνεργείας, ἢ πρὸς ἑαυτὸ ἐπιστρέφει κατὰ τὴν σύστοιχον ἑαυτῷ γνῶσιν καὶ τὸ μέσον εἶδος τῆς κινήσεως. Ἀλλ᾽ ἡ μὲν πρὸς τὸ χεῖρον ἐπιστροφὴ ψυχῆς ἐστὶ πάθος πτερορῤῥυησάσης καὶ γενομένης ἐν λήθῃ καὶ ἑαυτῆς ἅμα καὶ τῶν πρὸ αὑτῆς· ἡ δὲ καὶ πρὸς ἑαυτὸ καὶ πρὸς τὸ κρεῖττον οὐκ ἐν ψυχαῖς ἐστὶ μόναις, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς θείοις, ὥςπερ ἡμᾶς ὁ Παρμενίδης ἀναδιδάσκει, διττὰ τῆς ἐπιστροφῆς εἴδει τιθέμενος καὶ δεικνὺς, ὅπως μὲν εἰς ἑαυτὸ τὸ θεῖον ἐπέστραπται καὶ ἐν ἑαυτῷ ἐστὶν, ὅπως δὲ εἰς τὸ πρὸ ἑαυτοῦ, καθ᾽ ὃ δὴ καὶ ἐν ἄλλῳ περιέχεται καὶ συνήνωται πρὸς τὴν κρείττονα φύσιν. Ὅθεν δὴ ὁ Σωκράτης ἐπὶ τέλει τοῦ διαλόγου τὸν εἰς ἑαυτὸν ἐπιστραφέντα καὶ ἑαυτοῦ γενόμενον θεωρὸν ἐντεῦθεν καὶ τὸ θεῖον ἅπαν κατόψεσθαί φησι, καὶ διὰ τῆς πρὸς ἑαυτὸν ἐπιστροφῆς, ὥςπερ βαθμοῦ τινὸς ἀναγωγοῦ,

*περιττά*] A. F. B. et D *τριτὰ* C *τριττὰ* In marg. cod. C *ὅτι τριττὰ τὰ εἴδη τῆς ἐπιστροφῆς.* -- *Τριττὰ* etiam Cod. E. et legit ita Ficinus. Merito. — *ἑαυτοῦ*] A. B. et D *τὸ ἑαυτοῦ* Perperam; neque agnoscit Fic. — *ἀπόπτωσιν*] in marg. cod. A. legitur *ἀπόπτωσις*. Adverterat enim glossatorem vox insolentior, quae nonnisi ex medicorum scriptis laudatur. Vid. Stephani Thes. III. p. 313. et Foesii Oeconom. Hippocr. p. 50 ubi Erotiano auctore explicatur: vinculorum relaxatio. Verbo *ἀποπίπτειν* gemina sententia atque Proclus utuntur philosophi. Vid. v. c. Aristoxen. apud Stob. I p. 208 Heeren et Epictet. III. 25 tit. — *πρὸς ἑαυτὸ*] A. et B. *πρὸς ἑαυτὸν.* — *πτερορῤῥυησάσης*] A. *πτερορῤῥοησάσης* B. *πτερορῤῥυσάσης*. De voce v. Aristoph. Av. 106. ib. Beck. Locutionis fons est in Platonis Phaedro p. 246. c. p. 249 Hndf. de sententiâ vid. Praeparat. ad Plotin. de pulcrit. p. XXXVII. sq. — *γενομένης*] B. *γινομένης*. ita et E. — *καὶ πρὸς ἑαυτὸ*] A. et B.... *ἑαυτὸν.* — *τοῖς θείοις*] B. om. *τοῖς θείοις.* — *ὥςπερ ἡμᾶς*] A..... *ἡμῖν.* — *διττὰ*] C. *διτὰ*. Abrumpitur h. l. Ficini interpretatio. — *τῆς ἐπιστροφῆς εἴδει*] cett. omn. *τὰ. τῆς ἐπίστροφῆς εἴδη*, excepto E, qui habet *εἴδει* cum nostro. Perperam; nam unice verum est *εἴδη*. — *ὅπως*] A *ὅπερ* D *ὅλως*. — *εἰς τὸ πρὸ ἑαυτοῦ*] cett. omnes.... *αὐτοῦ.* — *καθ᾽ ὃ δὴ*] cett. omn. *καθὸ δὴ.* — *συνήνωται*] A. *συνηνύεται*. Male. Tractat hanc quaestionem Damascius in Parmenid. Cod. Monac. C. fol. 190 b. -- 192 a. b. *εἰ εἷς θεὸς ἢ πολλοί*; ubi et alia et vero haec ponuntur: *ἡ δὲ τρίτη τάξις, κόσμος ἤδη ὡς ἀληθῶς εἰς πολλοὺς θεοὺς νοητοὺς διῃρημένος, μετὰ τὸν ἕνα καὶ ἀπὸ τοῦ ἑνὸς προελθόντας.* -- *οὗτος μὲν οὖν εἷς καὶ πολλοὶ τῷ ἑνὶ συνηνωμένος.* — *δὴ ὁ Σωκράτης*] cett. omn. *δὴ καὶ ὁ Σωκρ.* Bene. — *ἐπὶ τέλει τοῦ διαλ.*] A. *ἐπὶ τὴν τοῦ διαλ.* — *τὸν εἰς ἑαυτὸν ἐπιστραφέντα*] D. *καὶ εἰς ἑαυτὸν στραφέντα.* — *βαθμοῦ*] B.

μεταστήσεσθαι πρὸς τὴν τοῦ θείου περιωπὴν, καὶ εἰς τὴν πρὸς τὸ κρεῖττον ἑαυτὸν ἐπανάξειν στροφήν. Ταῦτα τοίνυν ἐκ προοιμίων δεικνύμενος ὁ λόγος, ἀπὸ μὲν τῆς ἔξω φερομένης ζωῆς εἰς τὴν ἐπίσκεψιν τὴν ἑαυτοῦ περιάγει τὸν Ἀλκιβιάδην· ἀπὸ δὲ τῆς αὐτοῦ κατανοήσεως εἰς τὸν ἔρωτα τῆς Σωκρατικῆς ἐπιστήμης ἀνακαλεῖται. Τὸ γὰρ τὴν αἰτίαν ποθῆσαι μαθεῖν, ὧν πράττει Σωκράτης, ἐραστήν ἐστι γενέσθαι τῆς ἐν αὐτῷ προυπαρχούσης ἐπιστήμης. Τοῦτο τοίνυν ἐκ τοῦ προοιμίου πρῶτον δοκεῖ μοι τοῖς κατακούειν αὐτοῦ δυναμένοις ὁ Πλάτων ἐνδείκνυσθαι. Δεύτερον δὲ ἕτερον ἐπὶ τούτῳ τοιόνδε· τὸν σπουδαῖον πανταχοῦ τοῖς ὑποκειμένοις γνωστοῖς καὶ τὰς γνώσεις συστοίχους προβάλλειν, καὶ μήτε περὶ τῶν ἐνδεχομένων καὶ ἄλλοτε ἄλλως φερομένων τὴν ἑστῶσαν καὶ ὡρισμένην καὶ ἄτρεπτον προειληφέναι γνῶσιν· μήτε περὶ τῶν ἀναγκαίων καὶ ἀεὶ ὡσαύτως ἐχόντων ἀμφίβολον καὶ ἀόριστον καὶ ἄστατον ἔχειν ὑπόληψιν, ἀλλ' ὥσπερ αὐτὸς ὁ Σωκράτης ἐν Πολιτείᾳ διέκρινε, τῇ μὲν ἁπλῇ καὶ μονοειδεῖ καὶ νοερᾷ γνώσει τὰ νοητὰ πάντα συζύγως θεωρεῖν· τῇ δὲ ἐπιστημονικῇ καὶ διανοητικῇ τῶν εἰδῶν ἀνελίξεων καὶ συνθέσει, τοὺς μέσους τῶν ὄντων λόγους ἐπισκοπεῖσθαι· τρίτη δὲ ἀπὸ τῆς ἀληθείας τῇ αἰσθήσει δι' ὀργάνων ἐφαπτομένη

βαθμῷ. Hujusmodi βαθμοὺς ex Platonis Timaeo in sua monumenta transtulerunt recentiores Platonici. Cf. Hermetis fragmentum apud Stob. Eclogg. I. 52. p. 938 Heeren. Ex Phaedro sumserunt βάθρον, de quo Wyttenbachius monuit ad Julian. p. 250 ed. Lips. et ad Plotin. de pulcr. p. 372 ed. Heidelberg. — ἑαυτὸν] A. et B ἑαυτοῦ D ἑαυτ... — ἐπιτάξειν] C. ἐπιτάξει. — δεικνύμενος] A. F. et B ἐκδεικνύμενος, E. C. et D ἐνδεικνύμενος. Bene. — λόγος, ἀπὸ] B. λόγος, καὶ ἀπὸ. — ἐπίσκεψιν] A. ἐπίσκηψιν. — τῆς αὐτοῦ] A. B. et D. τῆς ἑαυτοῦ. Bene. — αὐτῷ προυπαρχούσης] C. αὐτῷ κατακούειν προυπαρχ... Cod. E. προύπαρχούσης, ad antiquam pronunciandi normam; quam si revocare nolis, certe scribendum προϋπαρχούσης. — τοῦτο τοίνυν] A. B. et D τοῦτο μὲν τοίνυν. Ficin. p. 181. med. — τοῖς κατακούειν] C. om. κατακούειν. — γνωστοῖς] A. γνωστὴν. — προβάλλειν] B. προςβάλλειν. — μήτε περὶ τῶν] A. B. et D. μήτε τὰς τῶν. — ὡρισμένην] C ὡρισμένην. F ὡρισμένων. — ἄτρεπτον] B ἄτρωτον in marg. ἄτρεπτον. — ἀναγκαίων] cod. D- lacunam habet loco ἀναγκαίων. — καὶ ἀεὶ ὡς..] B καὶ ἀεὶ καὶ ὡς. — ἄστατον] F. A. B. et D. ἄτακτον. — ἔχειν] D. ἔχει. — διέκρινε] A. B. et C. διέκρινεν. — μονοειδεῖ] A. et B. μονοειδῆ. Quod sequitur adverbium συζύγως non habet Schneiderus in Lexico. — τῇ δὲ ἐπιστ.] B. om. δὲ. — ἀναλίξεων] A. F. B. et D. ἀναλίξει C ἀναλίξεον E ἀνελιξέων, in marg. ἀνελίξει, et ita legendum, prout etiam Fic. legisse videtur. — τῶν ὄντων λόγους] D. τῶν ὄντων λογ.

τῶν οἰκείων γνωστῶν τὰ αἰσθητὰ πάντα διακρίνειν δεόντως· τῇ δὲ εἰκαστικῇ τὸ λοιπὸν δυνάμει τὰ εἰκαστὰ τῶν αἰσθητῶν εἴδωλα τυγχάνοντα γιγνώσκειν. Καὶ μὴν καὶ ὁ Τίμαιος, ἀνάλογον τοῖς οὖσι τὰς γνώσεις διελόμενος, νοήσει μὲν ἡμᾶς καὶ λόγῳ παρακελεύεται τὰ ὄντα κρίνειν, δόξῃ δὲ καὶ αἰσθήσει τὰ μὴ ὄντα μὲν, γινόμενα δὲ καὶ ἀπολλύμενα. καὶ τῶν μὲν ὄντως ὄντων ἀνελέγκτους καὶ ἀραρότους εἶναι τοὺς λόγους, τῶν δὲ φύσιν οὐ τοιαύτην λαχόντων, ἀλλὰ γενέσει φερομένων εἰκαστικοὺς καὶ τοῦ προςτυχόντος (ὡς αὐτός που λέγει) μετεληχότας. πανταχοῦ γὰρ οἱ λόγοι μιμηταὶ τῶν πραγμάτων εἰσὶν, ὧν ὑπάρχουσιν ἐξηγηταί. Τὸ δὴ τρίτον, ὅτι καὶ ὁ ἐν τῷ Κρατύλῳ Σωκράτης τὰ μὲν ἐπὶ τῶν ἀϊδίων εἶναί φησιν ὀνόματα τῆς τῶν πραγμάτων φύσεως μᾶλλον ἐφαπτόμενα, τὰ δὲ ἐπὶ τῶν γινομένων καὶ φθειρομένων πολυειδῶς ἐξαλλαττόμενα, καὶ πολυ τοῦ θέσει μετέχοντα διὰ τὴν τῶν ὑποκειμένων αὐτοῖς ἄστατον φοράν. Εἰ τοίνυν καὶ αἱ γνώσεις διαφέρουσιν τῶν τε ἀεὶ καὶ ὡςαύτως ἐχόντων καὶ τῶν ἐνδεχομένων, καὶ οἱ λόγοι παμπόλλην ἔλαχον ἐξαλλαγήν· 1 καὶ τὰ ὀνόματα τοῖς μὲν ἄλλα προςήκει, τοῖς δὲ ἄλλα· καὶ τί θαυμαστὸν, εἰ καὶ ὁ Σωκράτης ἐνταῦθα περὶ φύσεως ἀστάτου διαλεγόμενος καὶ μεταβολὴν

— *γνωστῶν*] A. *γνωσέων*. — *τὸ λοιπὸν*] D. *τὺχοντὸν* (sic.). — *γιγνώσκειν*] cett. omn. *γινώσκειν*. — *μὲν ἡμᾶς καὶ*] C. om. *ἡμᾶς*. — *δόξῃ*] D. *δόξα*. — *τὰ μὴ ὄντα μὲν*] C om. *μὲν* F *τὰ μὲν ὄντα μέν*. — *ὄντως ὄντων*] B *οὕτως ὄντων* C om. *ὄντως* — *ἀνελέγκτους*] C *ἀναλέγκτους*. Mox corrigendum *ἀραρότας*. Ficinus in interpretatione reddidit *inconjunctas*, voluit fortasse *conjunctas*. cf. Hesych. I. p. 511 Albert. ibiq. interprr.

In Cod. F. abest *καὶ* post *ἀνελ.* — *τοιαύτην*] B. *τοιαύ* (sic.) — *ἀλλὰ γενέσει*] F. A. B. et D. *ἀλλ' ἐν γενέσ.* — *εἰκαστικοὺς*] D. *εἰκαστούς*. — *τοῦ προςτυχόντος*] B. et D *τοὺς προςτυχόντος* A *τοὺς προςτυχόντας* (sic). Fic. vertit *contingentes*, minus accurate. — *μετειληχότας*] F. A. B. et D. *μετειληφότας*. — *ἐν τῷ Κρατύλῳ*] F. A. et B. *ἐν Κρατύλῳ*. — *τῆς τῶν πραγμάτων*] D. *τῆς δὲ τῶν πραγμ.* — *μετέχοντα*] C *μετέχοντος*. *Θέσει* corruptum videtur; neque vero certum quidpiam ejus loco poni potest, libris consentientibus et deficiente h. l. Ficini interpretatione. Obtulit se *θέντος* v. *θεμένου* (ejus, qui nomen imposuit.) Vel lacuna subest, quae ita expleatur, ut scribas: *τοῦ θέσει καλοῦντος*. Sed tamen vulgata lectio explicari potest. Locus Platonis est Cratyl. p. 397. b. Bip. T. IV. Bekk. II, 2. p. 32. Ad quem quae Proclus in Commentario disputat exhibui in Commentatt. Herodott. I p. 227. — *διαφέρουσιν*] cett. omn. *διαφέρουσι*, recte. — *τῶν τε ἀεὶ*] D. *τῶν περὶ ἀεί*. — *παμπόλλην*] A *παμπόλλων*. — *καὶ τί θαυμαστόν*] A. B. et D *καὶ* omittunt, quod omitti meretur: incipit enim a voce *τί* ἡ ἀπόδοσις. Mox pro *ἀστάτου* Cod. F. *ἑκάστου*.

ἐπιδεχομένης, τῷ οἶμαι καταχρήσατο, σημαίνοντι τὴν τοῦ γνωστοῦ φύσιν εὔτρεπτον ὑπάρχουσαν, ἀλλ' οὐ τὴν τοῦ Σωκράτους γνῶσιν ὡς ἀόριστον καὶ ἀγνοίας συμμιγῆ καὶ ἀμφισβητήσιμον διελέγχοντι; Δεῖ γάρ, ὡς προείπομεν, ἐν μὲν τοῖς δοξαστοῖς τῶν πραγμάτων καὶ εἰκαστοῖς ὡς εἰκάζοντας λέγειν τὰς ἑαυτῶν ἐννοίας· ἐν δὲ τοῖς νοητοῖς καὶ ἐπιστημονικοῖς ὡς εἰδότας τὸ ἀληθές, ἀνελέγκτοις δή τισι χρῆσθαι τοῖς λόγοις· οὐ θέμις γὰρ ἂν ἀποδέξαιτο, φησὶν Ἀριστοτέλης, ἢ γεωμέτρου πιθανῶς λέγοντος ἢ ῥήτορος ἀποδεικνύναι φάσκοντος· ὥςτε οὔτε ὁ περὶ τῶν ἀναγκαίων εἰκαστικῶς λέγων οὔτε ὁ περὶ τῶν εἰκαστικῶν ἀκροατὴς ἔμφρων ἂν εἴη ποτὲ τῶν πραγμάτων ἐξηγητής. Ἔχει μὲν οὖν καὶ διὰ ταῦτα τῷ Σωκράτει, τὸ οἶμαι τὴν προςθήκην ἀναγκαίαν. Λόγος δ' ἄν, ὅτι καὶ τὸ εἶδος ὑφορᾶται τοῦ νεανίσκου φιλότιμον ὄν· ἅπαν γὰρ τὸ τοιοῦτον ἐνστατικόν ἐστι καὶ φιλόνεικον. Ἵν' οὖν μὴ διατεινόμενος εὐθὺς ἐξ ἀρχῆς εἰς τὴν πρὸς ἑαυτὸν ἐκκαλέσηται φιλονεικίαν τὸ νεαροπρεπὲς εἶδος τῆς ζωῆς, μετ' εὐλαβείας αὐτῷ πρόςεισιν, ὑποστελλόμενός πως ἐν οἷς περὶ αὐτοῦ διαλέγεται, καὶ ὡς εἰκάζων, ἀλλ' οὐ δισχυριζόμενος προάγει τοὺς λόγους. Δεῖ γὰρ οὕτως αὐτῷ τὴν πρώτην προβάλλειν, ὥςθ' ὑποσχεῖν ἐκεῖνον τὴν ἀκοὴν καὶ τὸ φιλότιμον κοιμήσαντα τῆς ψυχῆς μετασχεῖν τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος προϊόντων λόγων.

— τῷ οἶμαι] C τὸ οἶμαι — καταχρήσατο] Cett. omn. κατεχρήσατο, et ita scribendum. — εὔτρεπτον] C εὔτρεπον D ἄτρεπτον. — Σωκράτους] C Σωκράτου. — ὡς ἀόριστ.] C om. ὡς. — ἀγνοίας] F. A. B. et D. ἀγνοία, voluerunt ἀγνοίᾳ. — διελέγχοντι] D διελεγχου^το (sic). — εἰκάζοντας] B εἰκάζοντες. — ἐννοίας] A εὐνοίας. — ἀποδέξαιτο] A. C. et D ἀποδέξαι τὸ Cod. E ἀποδέξαι. Locus huic consimilis est apud Aristot. Rhetorr. III, 1. — γεωμέτρου] B γεωμετρία. — φάσκοντος] B. φάσκοντες. — εἰκαστικῶς] A. εἰκαστικῶν — εἰκαστικῶν] A. et C εἰκαστῶν. — ἀκροατὴς] cett. omn. ἀραρότως. Cod. E illud in contextu, hoc in marg. exhibet. — ἂν εἴη ποτὲ] A. B. et D recte ἄν ποτε εἴη. — τὴν προςθήκην] C om. τὴν. — λόγος] cett. omn. λέγοις. Cod. E λόγοις, sed correctum est λέγοις. Merito. — ὅτι καὶ τὸ εἶδος] A ὅτι τὸ ἦθος B ὅτι ἦθος E. C. et D ὅτι καὶ τὸ ἦθος. Placet ἦθος. — ἐνστατικόν ἐστι καὶ φιλόνεικον] haec omisit cod. C. — ἐστι] A. et B ἐστιν. — μὴ διατεινόμενος] B. et C καὶ διατεινόμ. — εὐθὺς] C μιᾶς. — ἐξ ἀρχῆς] cett. omn. ἐξαρχῆς. — αὐτῷ πρόςεισιν] B αὐτῶν πρό εἰσιν. — πως] A περ. — οὕτως αὐτῷ] B οὕτως αὐτῶν. — προβάλλειν] F. A. et B προςβάλλειν. — ὥσθ' ὑποσχ.] A. B. et D ὥστε ὑποσχ. — κοιμήσαντα] D κοιμίσαντα etiam C. — ἀπὸ τοῦ σωφρ.] C ὑπὸ τοῦ σωφρ.

Τάχα δ' ἂν ῥηθεὶς καὶ τοῦτό πρὸς τοῖς εἰρημένοις, ὅτι δὴ Σωκρατικόν ἐστι τὸ μέτριον ἦθος καὶ κοινὸν, καὶ τὸ πόῤῥω τῆς ἀλαζονείας τεταγμένον. Ἐπειδὴ τοίνυν αὐτὸς ὑπὲρ ἑαυτοῦ πεποίηται λέγων ὁ Σωκράτης, ὅτι δοκοίη θαυμαστὸς εἶναι τῷ νεανίσκῳ καὶ τοῦ ἔρωτος ἕνεκα καὶ τῆς ἐν ἅπαντι τῷ πρόσθεν χρόνῳ σιωπῆς, τὸ οἶμαι κατὰ καιρὸν αὐτῷ παρεμβέβληται, καὶ οὔτε χάριτος ἕνεκα μόνης καὶ τῆς περὶ τὴν λέξιν εὐπρεπείας, οὔτε τῆς περὶ τὴν Σωκρατικὴν γνῶσιν ἀμφιβόλου ῥοπῆς· προσήκει γὰρ τῷ καθ' ἑαυτοῦ τοιαῦτα λέγοντι μεθ' ὑποστολῆς μᾶλλον ἢ διατεταγμένως λέγειν.

[θ] Καὶ μὴν καὶ ἡ πρώτη τῶν λόγων ἀρχὴ πατρόθεν ἀνακαλοῦσα τὸν νεανίσκον τῷ τε προσώπῳ καὶ τοῖς πράγμασιν οἰκείως παρείληπται· τὸ μὲν γὰρ πρόσωπον, ἅτε φιλότιμον ὂν, ἡ ἀπὸ τοῦ πατρὸς κλῆσις οἰκεῖον αὐτῷ μᾶλλον καθίστησιν· ἔνδοξος γὰρ ὁ Κλεινίας ἐν τῇ περὶ Κορώνειαν ἐγεγόνει μάχην (sic). Φιλοῦσι δὲ οἱ πατέρων ἐνδόξων γεγονότες ἐκεῖθεν μᾶλλον ἢ ἀφ' ἑαυτῶν ὀνομάζεσθαι· το μέν γε κοινόν ἐστι καὶ τῶν πολλῶν ἀνθρώπων, τὸ δὲ ἐξαίρετον αὐτῶν ἀγαθόν. Ἔχει δὲ καὶ προτροπὴν ἱκανὴν εἰς τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν ἡ μνήμη τοῦ πατρός· οὐ γὰρ ἄξιον καταισχύνειν τὴν τῶν πατέ-

— τάχα δ' ἂν ῥηθεὶς καὶ] A. et F τάχ' ἂν καὶ (sic.) B. et D ταχ' ἂν ῥηθείη καὶ C. et E τάχα δ' ἂν ῥηθείη καί. Ita legendum. — πρὸς τοῖς] A. et B. πρὸ τοῖς. — τὸ μέτριον ἦθος] A om. ἦθος. — τεταγμένον] A τεταγμένων. — αὐτὸς] B. αὐτοὺς. — τοῦ ἔρωτος] C om. τοῦ — παρεμβέβληται] B. D. et F παραβέβληται A παραβεβληται. (sic). [σθ supra lineam] — μόνης] B μόνον. — ῥοπῆς. Non describam quae de hujus vocis vario usu docte congessit Suicerus in Thes. eccles. II. p. 910 seq. addam aliquot locos: vid. Suidam III p. 265 Zonar. Lex. p. 1619. Porphyr. de vita Plotini cap. VII p. 105 Fabric., et qui ad eum illustrandum facit Polyb. XII. 15. 8. — ἢ διατεταγμένως] A καὶ διατεταμένης B. et D καὶ διατεταγμένως F διατεταμένως. Hoc verum.

Μὴν καὶ ἡ] C om. καί. — τῷ τε] A. et B τώ τε (sic). — οἰκείως παρείληπται] A οἰκεῖον παρήλειπται F. B. et D οἰκεῖον παρείληπται. — ἡ ἀπὸ] A. et B καὶ ἡ ἀπὸ. — οἰκεῖον] A. et B οἰκεῖν. — αὐτῷ] B αὐτῶν D αὐτὸ. — μάχην] cett. omn. μάχῃ, et ita scribendum. Ad rem consule Wesselingium ad Diod. Sic XII, 7. p. 482. Wess. conf. Fabri notam ad Alcib. I. p. 13. Ed. Etwall. — τὸ μέν γε] A. B. et D τὸ μὲν γάρ. [Quod legendum esse videtur; γάρ enim, quo γ' et γέ, eodem fere compendio scriptum saepissime cum ea particula confunditur. (v. Bast. p. 877 in Ed. Greg. C. Schaef.) Cum praesertim μέν, compendio Ϫ scriptum (l. l. p. 295,) antecedat; quare non raro μέν γε pro μὲν γάρ. v. c. Demosth. c. Aristocr. p. 657. 6.] — ἔχει δὲ καὶ] B. om. καί.

ρων δόξαν, οὐδὲ τοῦ μὲν ὀνόματος αὐτῶν ἀντέχεσθαι καὶ τῆς ἀπ' αὐτῶν προσρήσεως, τῆς δὲ κατὰ τὴν ἀρετὴν ὁμοιότητος ἀμελεῖν. ἔτι τοίνυν ἡ πρὸς τὸν πατέρα τὸν τοῦ φαινομένου καὶ ἔξωθεν προστεθέντος ἀνθρώπου γεννητὴ ἀναφορὰ σύμβολόν ἐστι τῆς ἐπὶ τὸν ἀληθινὸν πατέρα τῶν ψυχῶν ἀνακλήσεως. Χρῆται δὲ καὶ τούτοις ὁ Σωκράτης κατὰ τὸ Πυθαγόρειον ἔθος, καὶ ταῦτα πρὸς τὴν τῆς ψυχῆς σωτηρίαν συντελεῖν οἰόμενος, ἐπεὶ καὶ οἱ ἄνδρες ἐκεῖνον τά τε ἐν ἀποῤῥήτοις δηλούμενα διὰ τῶν συμβόλων ἐπετήδευον, καὶ τὸ φαινόμενον αὐτῶν ὡς ἐκείνων τὴν δύναμιν ἀπεικονιζομένων παρεφύλαττον. Τοῦτο δὴ οὖν καὶ ὁ Σωκράτης κατὰ τὰ αὐτὰ τοῖς Πυθαγορείοις εἰδὼς πατρόθεν ἀνακαλεῖται τὸν νεανίσκον, σύνθημα τὴν τοιαύτην κλῆσιν οἰόμενος εἶναι τῆς ἐπὶ τὰς ἀφανεῖς αἰτίας τῶν ψυχῶν περιαγωγῆς. Εἰ δὲ καὶ Ὁμηρικός ἐστιν ὁ ζῆλος οὗτος τῆς προσρήσεως, ἔχοι ἂν καὶ ταύτῃ τὸ πρέπον ἄνωθεν κατὰ τὴν κοινὴν τῶν Ἑλλήνων συνήθειαν προαγόμενος· πατρόθεν γάρ φησι καὶ ἐκεῖνος ὀνομάζων, πάντας κυδαίνων· οἰκειωτικὸν γὰρ καὶ θεραπευτικὸν καὶ φιλοφροσύνης ἐνδεικτικόν ἐστι τοῦτο τῆς συνουσίας τὸ εἶδος. Ἔτι δὲ λέγομεν, ὅτι καὶ τοῖς περὶ τοῦ ἔρωτος λόγοις ἐστὶ τοῦτο διαφερόντως προσῆκον. Ὥσπερ δή φησι καὶ ὁ θεῖος Ἰάμβλιχος· τὸ γὰρ ἀῤῥενωπὸν τῆς ἀληθοῦς ἐρωτικῆς καὶ τὸ ἐγηγερμένον ἀπὸ τῆς ὕλης, καὶ το δραστήριον ἡ ἀπὸ τοῦ πατρὸς ἐνδείκνυται

— τοῦ μὲν ὀνόματος......... προσρήσεως, τῆς δὲ] haec omnia omisit Cod. A. — τοίνυν ἡ πρὸς] A τοίνυν παρὰ F. et B τοίνυν πρὸς. — προστεθέντος] B. et D προτεθέντος. — χρῆται δὲ] cett. omn. χρῆται δή. — Πυθαγόρειον] C πιθαγόρειον. Ad rem consule Iamblich. de Vita Pythag. 103 sqq. p. 86. Kust. Porphyr. de Vita Pythag. 42. p. 42. Kust. Symbolorum Pythagoricorum interpretationem vide apud Lilium Gyraldum Opp. T. II. p. 637—680. Conf. Symbolik und Mythol. T. I. p. 103—106. Ed. 2. — ἐκεῖνον] cett. omn. ἐκεῖνοι. bene. — ἐπετήδευον] C ἐπιτήδευον. — ἐκείνων] B ἐκείνῳ. — ἀπεικονιζομένων] A. C. E (ex correctione) et D ἀπεικονιζόμενον. bene. — καὶ ὁ Σωκρ.] C om. καὶ. — κατὰ τὰ αὐτὰ] C τὰ αὐτοῦ omisso κατὰ. — τοιαύτην κλῆσιν] A om. κλῆσιν. — οἰόμενος] D οἰόμενον. — ἀφανεῖς] B ἀσφαλείας et in marg. cod. γρ. ἀσφαλεῖς. — ἐστιν ὁ ζῆλος] A. et B ἐστι ζῆλος. — ἔχοι] C ἔχει. — ταύτῃ] B ταύτην. — ὀνομάζων πάντας] cett. omn. ὀνομάζων ἄνδρα ἕκαστον πάντας. Vid. Iliad. κ, 68 sq. Cod. E. ut noster, omissis vocabulis Homericis ἄνδρα ἕκαστον. — γὰρ καὶ θεραπ.] A om. καὶ. — Ἔτι δὲ λέγομεν] cett. omn. ἔτι δὴ λεγ., quod placet. — ὅτι καὶ τοῖς] C ὅτι καὶ τῆς. — ἀῤῥενωπὸν] B ἀῤῥενοπὸν. Mox Cod. F ἐγηγελμένον. — ἀπὸ τῆς ὕλης] A. et B om. ἀπὸ.

κλῆσις· καὶ ὅλως ἐπειδὴ πᾶσα ἡ ἐρωτικὴ τάξις ἀπὸ τοῦ πατρὸς τοῦ νοητοῦ πρόεισι. (πᾶσι γάρ, ὥς τὰ λόγιά φησιν, ἐνέπειρεν ὁ πατὴρ δεσμὸν πυριβριθῆ ἔρωτος, ἵνα συνέχηται τὰ πάντα τοῖς ἀλύτοις τῆς φιλίας δεσμοῖς, ὥς φησι καὶ ὁ παρὰ τῷ Πλάτωνι Τίμαιος·) διὰ δὴ τοῦτο καὶ ἡ ἐρωτικὴ συνουσία ταύτην ἀρχὴν προΐσταται τῆς οἰκειώσεως τὴν ἀπὸ τοῦ πατρὸς ἐγειρομένην ἐν τῷ ἐρωμένῳ φιλοφροσύνην· κινεῖ μὲν γὰρ ἡ τοῦ πατρὸς μνήμη τὴν ἐν τῷ νεανίσκῳ πρὸς αὐτὸν οἰκείωσιν, αὕτη δὲ τὴν πρὸς τὸν Σωκράτην κοινωνίαν, ὃ δὴ προκείμενον ἦν τῷ Σωκράτει, καὶ δι' ὃ τὴν παροῦσαν καταβάλλεται συνουσίαν. Δοκεῖ δέ μοι καὶ τὸ εἶδος τῶν λόγων πρεπωδέστατον εἶναι τῇ περὶ τοῦ ἔρωτος πραγματείᾳ· τὸ γὰρ εἰς ἑαυτὸν ἐπιστρέφειν τὸν ἐρώμενον καὶ ἀνακαλεῖσθαι καὶ συλλέγειν, οἰκεῖόν ἐστιν τοῖς ἐν θεοῖς ἐρασταῖς· μέσην γὰρ οὗτοι τάξιν ἀτεχνῶς ἐνστησάμενοι τοῦ τε θείου κάλλους καὶ τῶν δεομένων τῆς παρ' αὐτῶν προνοίας, ἅτε δὴ τὸν ἔρωτα τὸν θεῖον ἀποτυπούμενοι, συνάγουσι μὲν εἰς ἑαυτοὺς τὴν τῶν ἐρωμένων ζωὴν καὶ συνάπτουσιν ἑαυτοῖς· ἀνάγουσι δὲ μεθ' ἑαυτῶν ἐπὶ τὸ νοητὸν κάλλος, ἐπαντλοῦντες, ὥς φησιν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης, εἰς τὴν τούτων ψυχὴν, ὅσα ἂν ἐκεῖθεν

— *πᾶσα ἡ ἐρωτικὴ*] A. F. et B om. *ἡ*. — *πρόεισι*] A. B. et C *πρόεισιν*. — *πᾶσι γὰρ*] A *ἄμμιν γάρ*. B *ἄμ...* (sequente parva lacuna) *γάρ*. C *πᾶσιν γάρ*. D *ἄμμι γάρ*. — *φησιν*] A. B. et D *φασιν*. Placet. Tum Codd. E. et F *ἐνέσπειρεν*. — *δεσμὸν*] A. B. et C *θεσμόν*. — *πυριβριθῆ*] A. et B *περιβριθῆ*. Continuum versum cum tribus aliis exhibet Proclus in Platonis Timaeum p. 155. 48: *πᾶσιν ἐνέσπειρεν δεσμὸν πυριβριθῆ ἔρωτος*. Unde inter Zoroastris Oracula transtulit Jo. Clericus in Opp. Philosoph. Tom. II. p. 306; quod M. Gesnerum fugit, qui eosdem versus nescio qua ductus ratione fragmentis Orphicis interposuit. Utrobique enim Proclus laudat *τὰ λόγια*, *oracula*. Quod Gesnerus edidit *περιβριθῆ*, binis codicibus nostris firmatur; sed recte *πυριβριθῆ* dudum dederat Clericus, ac Procli quoque auctoritate commotus itidem Hermannus. Hac voce augenda sunt Lexica. — *τῆς φιλίας*] A. et B *τῆς φιλοσοφίας*. Platonis est in Timaeo p. 32. c. Bip. T. IX. Bekk. III, 2. p. 29. — *κινεῖ μὲν γὰρ*] cett. omn. om. *μὲν*, praeter Cod. E. — *ἡ τοῦ πατρ.*] cett. omn. *ἡ μὲν τοῦ πατρ.*, neque vero E. In Cod. F est *κινεῖ γὰρ ἡ μὲν τ. π. μ.* — *αὕτη*] A. et B *αὐτὴ*. — *Σωκράτην*] C *Σωκράτη*. — *καὶ δι' ὃ*] A. C. et D *καὶ διό*. B *διὰ* omisso *καί*. F *καὶ διὰ τήν*. — *καταβάλλεται*] A *προκαταβάλλεται*. — *τὸ γὰρ εἰς*] A. et F *τὸν γὰρ εἰς*. — *ἐν θεοῖς*] in marg. codicis Leidensis: *ἴσ. ἐνθέοις*. A. B. et C *ἐνθέοις*, D *ἐνθεοῖς*. E *ἐνθέοις* conjunctim; Recte, ut A. B. et C. — *μέσην*] C *μέση*. — *συνάγουσι μὲν*] D om. *μέν*. — *τὴν τῶν ἐρωμέν.*] C om. *τὴν* — *τούτων ψυχὴν, ὅσα*] cod. D om. *ψυχὴν ὅσα* lacuna

ἀρύσωνται. Εἰ τοίνυν ὁ ἐρωτικὸς τῷ ἔρωτι κάτοχός ἐστιν, ἐπιστρεπτικός τις ἂν εἴη τῶν εὖ πεφυκότων εἰς τὸ ἀγαθὸν, ὥςπερ δὴ (F. non habet δή) καὶ ὁ ἔρως καὶ ἀνακλητικόν. Ὁ (scrib. ὃ ex Cod. F.) δὴ καὶ ὁ Σωκράτης ἐνδεικνύμενος διὰ τῆς πρώτης ταύτης κλήσεως ἐγείρει μὲν τὸ φρόνημα τοῦ ἐρωμένου πρὸς τὴν τοῦ ἀληθοῦς κάλλους ἀντοχὴν, ἀνακινεῖ δὲ τὸ ἐν αὐτῷ θαῦμα τῆς φιλοσόφου ζωῆς, περιάγει δὲ αὐτὸν εἰς τὴν τῆς ἀληθοῦς ἐρωτικῆς ἀποπλήρωσιν. Τοῦτο γὰρ δὴ τὸ εἶδος τῆς ζωῆς ἐν τούτῳ τῷ διαλόγῳ διαφερόντως ὁ Σωκράτης ἐπιδείκνυται. καὶ γὰρ τὴν ἀρχὴν ἐντεῦθεν πεποίηται καὶ μέχρι τοσούτου προελήλυθε τὸν νεανίσκον τελειῶν, ἕως ἐραστὴν αὐτὸν ἀπέφηνε τῆς ἑαυτοῦ προνοίας· ὃ δὴ τῆς ἐρωτικῆς ἐστιν (scr. ἐστι. Abest haec vox a Cod. F.) προηγούμενον ἀγαθὸν, καὶ διὰ πάντων, ὡς εἰπεῖν, τῶν κεφαλαίων τὸ προςῆκον ἀεὶ διαφυλάττει τῇ ἐρωτικῇ ζωῇ.

[ι.] Τριττῶν τοίνυν οὐσῶν τούτων ἐπιστημῶν, ἃς ὁ Σωκράτης ἑαυτῷ φαίνεται μαρτυρῶν, τῆς διαλεκτικῆς, τῆς μαιευτικῆς, τῆς ἐρωτικῆς, εὕροις μὲν ἂν καὶ τῆς διαλεκτικῆς ἐν τῷδε τῷ διαλόγῳ τὸ εἶδος δι' αὐτῶν τῶν ἔργων ἐπιδεικνύμενον, καὶ τῆς μαιευτικῆς πολλαχοῦ λάβοις ἂν τὴν ἰδιότητα τοῖς τοῦ Σωκράτους λόγοις ἐμφερομένην. Διαφερόντως δὲ ἐν ἅπαντι

insequente post τούτων. — ὅσα] B ὅσω. — ἀρύσωνται] cett. omn. ἀρύτωνται, excepto E.; sed illud probum. v. Moer. Attic. p. 37. ed. Pierson. Locus Platonis est in Phaedro p. 253. a. Bip. T. X. Bekk. T. I. 1. p. 53. Huc faciunt etiam duo libri Plotiniani *περὶ του καλοῦ* et *περὶ τοῦ νοητοῦ κάλλους*, cf. Praeparationem nostram ad illum p. CXII sq. — *εὖ πεφυκότων*] A. et B *ἐςπεφυκότων*. — *ἀνακλητικόν*] cett. omn. *ἀνακλητικός*, quod est in Cod. E ex correctione. Bene. — *τῆς πρώτης*] D *τῆς πρ̃...* (sequente parva lacuna). — *τοῦ ἀληθοῦς*] A. B. et D *τοῦ ἀληθινοῦ*. *ἀντοχὴ* vox rarior. h. l. est *retentio*, alibi *comprehensio*, *cohaerentia*. Alexander Aphrodisiens. Probl. lib. II. p. 324 Sylb. *τὰ δὲ ὁμιλεῖ ἑαυτοῖς κατ' ἀντοχὴν ἑαυτῶν καὶ περιπλοκὴν, ὡς κρίκος κρίκῳ*. Rem illustrat Cic. de N. D. II. 32. p. 338 ed. nostr. ubi vid. interprr. et cf. ibid. II. 62 ubi „ad mundi cohaerentiam pertinet." Possis in Proclo etiam explicare per *περιπλοκὴν* ut sit comprehensio, *das sich Anhängen*, *das feste Anschlieſsen*, *Ergreifen*. — *τοσούτου*] C *τοιούτου*. — *ἀεὶ διαφυλάττει*] A. *ἂν διαφυλ.*

*Οὐσῶν τούτων*] D *τούτων οὐσῶν*. Ab aliis enumerantur hae ternae disciplinae: *ἡ μουσική*, *ἡ ἐρωτική*, *ἡ διαλεκτική*. vid. Plotin. p. 19—21 et cf. Praeparat. ad Plotin. de pulcrit. p. CIV sq. — *εὕροις μὲν*] A *εὕροι μὲν*. — *λάβοις ἂν*] D *λάβῃς ἂν*. — *ἐμφερομένην*] A. et B *ἐμφαινομένην*.

τῷ συγγράμματι κρατεῖ τὰ τῆς ἐρωτικῆς ἐπιστήμης ἔργα· καὶ γὰρ μαιευόμενος φυλάττει τὸ τῷ ἐρωτικῷ προςῆκον, καὶ τῇ διαλεκτικῇ χρώμενος οὐκ ἀφίσταται τῆς ἰδιότητος τῶν ἐρωτικῶν λόγων, ὥςπερ καὶ ἐν Θεαιτήτῳ μαιευτικός ἐστι καὶ κατὰ τοῦτο μάλιστα χαρακτερίζεται (leg. χαρακτηρίζεται, ut est in Cod. F.) Διὸ καὶ μέχρι τῆς καθάρσεως πρόεισι τῶν ψευδῶν δοξασμάτων τοῦ Θεαιτήτου· τὸ δὲ ἐντεῦθεν ἀφίησιν αὐτὸν, ὡς πάρ' ἑαυτοῦ τὸ ἀληθὲς ἤδη διαγνῶναι δυνάμενον, ὃ δὴ τῆς μαιευτικῆς ἐστὶν ἔργον, ὡς αὐτὸς ἐν ἐκείνοις φησίν. Οὕτω δὴ τὴν ἐρωτικὴν ἐπιστήμην ἐν τούτῳ πρώτως ἐπιδείκνυσι, καὶ τό,τε διαλεκτικὸν ὁμοῦ καὶ τὸ μαιευτικὸν ἐρωτικῶς μεταχειρίζεται. Πανταχοῦ γὰρ ὁ Σωκράτης τοῖς ὑποκειμένοις προςώποις οἰκείως προςάγει τοὺς λόγους· καὶ ὥςπερ, ἐν τῷ θείῳ πάντων ἑνοειδῶς προϋπαρχόντων ἀγαθῶν, ἄλλος ἄλλων ἀπολαύει, καθ' ὅσον ἕκαστος πέφυκεν, οὕτω δὴ καὶ ὁ Σωκράτης, ἁπάσας ἐν ἑαυτῷ τὰς ἐπιστήμας περιέχων, ἄλλοτε ἄλλῃ χρῆται πρὸς τὴν τῶν ὑποδεχομένων ἐπιτηδειότητα τὴν οἰκείαν ἐνέργειαν παραμετρῶν, καὶ τὸν μὲν διὰ τῆς ἐρωτικῆς ἀνάγει, τὸν δὲ διὰ τῆς μαιευτικῆς εἰς ἀνάμνησιν ἀνακινεῖ τῶν ἀϊδίων λόγων τῆς ψυχῆς, τὸν δὲ κατὰ τὴν διαλεκτικὴν μέθοδον εἰς τὴν τῶν ὄντων περιάγει θεωρίαν. Συνάπτει δὲ ἄλλους ἄλλοις, τοὺς μὲν τῷ αὐτοκάλῳ, τοὺς δὲ τῇ πρωτίστῃ σοφίᾳ, τοὺς δὲ

μαιευτικός] μανευτικός, Codex C et hoc loco et sequentibus in ejusmodi vocabulo *μαν* pro *μαι* scriptum habet. — κατὰ τοῦτο] A. F. et D κατὰ τοῦτον. B κατὰ τούτου. — διὸ καὶ μέχρι] F. A. B. et D. om. διὸ. — ἀφίησιν αὐτὸν] B. ἀφ. αὐτός. — ὡς παρ' ἑαυτοῦ] A. et C. ὥςπερ ἑαυτοῦ. — ὃ δὴ] B ὁδὲ. F τοῖς μαιευτικῆς. — ἐν ἐκείνοις] D. ἐνἐκείνῳ. v. Plat. Theaet. pag. 187. sqq. T. II. Bip., Heind. p. 439. sqq. Bekk. II, 1. p. 270. sqq. de falsis opinionibus. — πρώτως] A. πρῶτον. — ἐπιδείκνυσι] A. B. et C ἐπιδείκνυσιν. — ἐρωτικῶς] A. ἐρωτικῆς. — προςάγει] C. προςάγειν. — ἑνοειδῶς] A. et C ἐνοειδῶς. F προυπαρχόντων τῶν ἀγ. — ἄλλος ἄλλων] B. om. ἄλλος. — ἀπολαύει] D. ἀπολαύοι. — ἕκαστος] B. ἕκαστον. — ἐν ἑαυτῷ] D. om. ἐν. A. F. et B ἐν αὐτῷ. — ἄλλοτε] B ἄλλωτε. C ἄλλοτι. — ὑποδεχομένων] F. A. B. et D. δεχομένων, — ἐνέργειαν] D. ἐ..... sequente parva lacuna. — παραμετρῶν] D περιμετρῶν Cod. E παριστῶν, sed corr. in παραμετρῶν — εἰς ἀνάμνησιν] C. om. εἰς. — κατὰ τὴν] C. om. τήν. — περιάγει] B. et C. περιάγειν. — ἄλλους ἄλλοις] D. ἄλλα ἄλλοις. — τῷ αὐτοκάλῳ] B: τῷ αὐτὸ καλῷ C: τὸ αὐτὸ καλῷ. — Cf. annot. ad Plotin. de pulcrit. p. 285 et p. 318, ubi τὸ αὐτόκαλλος a Lexicis abesse monui.

τῷ ἀγαθῷ. Διὰ μὲν γὰρ τῆς ἐρωτικῆς πρὸς τὸ καλὸν ἀναγόμεθα· διὰ δὲ τῆς μαιευτικῆς σοφὸς ἕκαστος ἡμῶν ἀναφαίνεται περὶ ὧν ἐστὶν ἀμαθὴς, τοὺς ἐν αὐτῷ προβάλλων περὶ τῶν ὄντων λόγους· διὰ δὲ τῆς διαλεκτικῆς καὶ μέχρι τοῦ ἀγαθοῦ τὴν ἄνοδον εἶναί φησιν ὁ ἐν τῇ Πολιτείᾳ Σωκράτης τοῖς φιλοθεάμοσι τῆς ἀληθείας. Ὡς οὖν ἕκαστος ἐπιτηδειότητος ἔλαχεν, οὕτω δὴ καὶ τελειοῦται παρὰ τοῦ Σωκράτους, καὶ ἀνάγεται πρὸς τὸ θεῖον κατὰ τὴν ἑαυτοῦ τάξιν. Τὸ θεῖον ἅπαν καλὸν, σοφὸν, ἀγαθὸν, ὡς ἐν τῷ Φαίδρῳ λέγεται. Πρὸς ταῦτα τοίνυν ἡ ἀναγωγὴ καὶ διὰ τούτων ἡ σωτηρία ταῖς ψυχαῖς· τρέφεται γὰρ τούτοις καὶ ἄρδεται τὸ τῆς ψυχῆς πτερόν· αἰσχρῷ δὲ καὶ κακῷ καὶ τοῖς ἐναντίοις φθίνει τε καὶ διόλλυται, καθάπερ ὁ Σωκράτης αὐτός φησιν ἐν ἐκείνοις. Οὐκοῦν δι' ἔρωτος μὲν ἡ τελείωσις ἐν τῷ προκειμένῳ συγγράμματι τοῖς ταύτην ἔχουσι τὴν φύσιν, ἣν δὴ καὶ ὁ Ἀλκιβιάδης ἀξιέραστος εἶναι ἔδοξε τῷ Σωκράτει, ἡ δὲ συναφὴ πρὸς τὸ θεῖον κάλλος καὶ δι' ἐκείνης πρὸς τὸ θεῖον ἅπαν οἰκειότητα. Καὶ δὴ καὶ ἡ μαιεία τοῦ Σωκράτους καὶ τὰ τοῦ διαλεκτικοῦ ἔργα πρὸς τοῦτο περιάγει τὸ τέλος τὴν τοῦ νεανίσκου ψυχήν· προβέβληται γὰρ, ὡς εἴπομεν, ἐνταῦθα τὸ ἐρωτικόν· συνεργεῖ δὲ τὰ λοιπὰ τῶν ἐπιστημῶν εἴδη τῷ τοιούτῳ τέλει. Διὸ καὶ προοίμια τῆς συ-

— ἀμαθὴς] B. ἀληθής. Tum scrib. ἐν αὑτῷ. — λόγους] A. λόγου. In hac dialecticae praestantia explicanda elaborat Plato in Reipubl. lib. VII versus finem, cap. 12 sqq. p. 532 sqq. p. 217 sqq. Ast. p 358 sqq. Bekker. — ἐπιτηδειότητος] D. ἐπιτηδειότητα. — τὴν ἑαυτοῦ] A. τὴν ἑαυτοὺς. — καλὸν σοφὸν] B. σοφὸν, καλὸν. Locus est in Platonis Phaedro p. 250 Heindf. p. 23 Astii p. 246. d. e. Bip. T. X. Bekk. T. I, 1. p. 41. sed ibi scribitur: τὸ δὲ θεῖον, καλὸν, σοφὸν, ἀγαθὸν, καὶ πᾶν ὅ,τι τοιοῦτο. κτλ. — ὡς ἐν τῷ] F. A. B. et C. om. ὡς. — πρὸς ταῦτα...... ταῖς ψυχαῖς] haec omnia omisit cod. C. — ἡ ἀναγωγὴ] F. A. et B. om. ἡ. — διὰ τούτων] F. A. B. et D. διὰ τοῦτο. — ἡ σωτηρία] F. A. et B. om. — ἄρδεται] D. αὔξεται. Atque ita in Platone legitur. Vide tamen Wyttenbach. ad Plutarch. de S. N. V. p. 117 seq. — πτερόν] F. A. B. et D. πτέρωμα, ut Plato. — καὶ κακῷ] B. om. καί. — ἐκείνοις] D. ἐκείν.... (sequente parva lacuna). — οὐκοῦν δι'] B. οὐκοῦν δεῖ δι'. — ἔχουσι] A. B. et C. ἔχουσιν. — Ἀλκιβιάδης ἀξιέραστος] cett. omn. Ἀλκιβ. λαχὼν ἀξιέραστος, excepto E; sed necessario addendum est λαχών. — εἶναι ἔδοξε] cett. omn. ἔδοξεν εἶναι, si excipias Cod. E. Sed praeferenda videtur caeterorum librorum lectio. In Cod. F. non est ἔδοξε. Mox idem ἐκείνου pro ἐκείνης. — οἰκειότητα] cett. omn. excepto E. οἰκειότης, quod placet. — τοῦ διαλεκτικοῦ] F. A. B. et D. τῆς διαλεκτικῆς. Paulo inferius Cod. F. ὡς ἐνταῦθα.

νουσίας καὶ τὸ συμπέρασμα τῆς ἐρωτικῆς ἐστὶν ἐπιστήμης ἀνάμεστα· καὶ πάντα τὰ μεταξὺ παμπόλλην ἔνδειξιν παρέχεται τῆς κατὰ τοῦτο τὸ εἶδος ἱσταμένης τοῦ Σωκράτους ἐνεργείας.

[ια.] Ταῦτα μὲν οὖν τῆς περὶ τὴν λέξιν θεωρίας ἀντεχόμενα μέχρι τούτων ἐξητάσθω. τὸ δὲ ἐντεῦθεν ἐπ' αὐτὴν τὴν τῶν πραγμάτων τραπόμενοι ζήτησιν περὶ ἔρωτος, ὅσα προσήκει τοῖς παροῦσι λόγοις, θεωρήσωμεν. Ὥσπερ τοίνυν ἄλλων θεῶν ἰδιότητες ἄλλας πεφήνασιν, αἱ μὲν δημιουργικαὶ τῶν ὅλων καὶ τοῦ εἴδους ὑποστατικαὶ τῶν ὄντων καὶ τῆς ἐν αὐτοῖς διακοσμήσεως, αἱ δὲ τῆς ζωῆς χορηταὶ καὶ γεννητικαὶ τῶν ποικίλων τῆς ζωῆς γενῶν, αἱ δὲ φρουρητικαὶ τὴν ἄτρεπτον τάξιν τῶν πραγμάτων, καὶ τὴν ἄλυτον συνοχὴν ἀχράντως διαφυλάττουσαι, αἱ δὲ ἄλλης τινὸς ἐξηγούμεναι δυνάμεως καὶ σώζουσαι τὰ πάντα διὰ τῆς ἑαυτῶν μεταδόσεως· οὕτω δὴ καὶ ἡ ἐρωτικὴ πᾶσα τάξις ἐπιστροφῆς ἐστὶν αἰτία τοῖς οὖσιν ἅπασι πρὸς τὸ θεῖον κάλλος, ἀνάγουσαι μὲν τὰ δεύτερα πάντα πρὸς ἐκεῖνο, καὶ συνάπτουσα αὐτῷ καὶ ἐνιδρύουσα, πληροῦσα δὲ ἀπ' ἐκείνου τὰ μεθ' ἑαυτὴν καὶ ἐπιλάμπουσα τὰς προϊούσας ἐκεῖθεν τοῦ θείου φωτὸς μεταδόσεις. Καὶ διὰ τοῦτο δήπου καὶ ὁ ἐν τῷ Συμποσίῳ λόγος δαίμονα μέγαν ἐκάλει τὸν ἔρωτα, τὴν τῆς μεσότητος ταύτης δύναμιν ἐν ἑαυτῷ πρώτως ἐπιδεικνύμενον· παντὸς γὰρ τοῦ ἐπιστρεφομένου καὶ τοῦ ἐπιστροφὴν

— συμπέρασμα] D. σύμπαν. — ἀνάμεστα] C. ἀνάμεστον. — μεταξὺ] C. μετὰ τάξιν. — ἱσταμένης] A ἑσταμένης B ἑσταμένης. — τοῦ Σωκράτους] D. om. C τοῦ σώματος.

Θεωρίας] A. θεωρίαν. — τὸ δὲ] A. et B. ὃ δὲ. — θεωρήσωμεν] D. θεωρήσομεν. — ἰδιότητες] A. ἰδιότητος. D ἰδιότητ... Tum Codd. E. et F ἄλλαι, recte. — πεφήνασιν] D. πεφήνασι. in marg. cod. Leidens.: ἴσ. πεφύκασιν. — ἐν αὐτοῖς] ἐν αὐτοῦ cod. C. — χορηταὶ] cett. omn. χορηγοί. Cod. E χορηγαί. Unice verum est χορηγοί. — ἐξηγουμ. δυνάμεως] F. A. et B ordine inverso. — τὰ πάντα] A. et B. πάντων F: πάντα, omisso τά. — ἀνάγουσαι] cett. omn. ἀνάγουσα. Bene. — καὶ ἐπιλάμπ.] C καὶ τὴν ἐπιλαμπ. — ἐν ἑαυτῷ πρώτως] A. ἐν ἑαυτῷ πρῶτος. Vid. Platon. Conviv. p. 202. Tom. X. Bip. cap. XXIII. p. 74 Wolf. cap. 28 p. 62 Ast. Vol. II. 2. p. 428 Bekker. Ab Orpheo sumsisse Platonem dixit Noster in seqq. vid. Lectt. Platonn. ad calc. Plotini de pulcr. p. 528. Inde ab hoc loco Ficini versio exstat p. 182. Neque vero accurata et plena est: multae enim et voces et elocutiones quas dicunt, omittuntur. — ἐπιδεικνύμενον] B. ἐπιδεικνύμενος. — γὰρ τοῦ] F. A. et B. om. γὰρ, in Cod. E voculae γὰρ lineolae sunt subscriptae. Nimirum delendum est γάρ. -- τοῦ ἐπιστροφὴν

αὐτοῦ καὶ ὀρεκτοῦ τοῖς δευτέροις ὑπάρχοντος μέσου. Ἡ τοίνυν ἐρωτικὴ πᾶσα σειρὰ τῆς τοῦ κάλλους αἰτία προβεβλημένη συνάγει πάντα πρὸς ἑαυτὴν καὶ ἀνακαλεῖται πρὸς τὴν μέθεξιν αὐτῆς, καὶ μέσην ἐποιήσατο πρόοδον τοῦ τε ἐραστοῦ καὶ τῶν δι' ἔρωτος ἀναγομένων. καὶ διὰ τοῦτο τῆς ὅλης τῶν δαιμόνων τάξεως ἐν ἑαυτῇ τὸ παράδειγμα προεστήσατο, ταύτην ἐν τοῖς θεοῖς ἔχουσα τὴν μεσότητα, ἣν οἱ δαίμονες τῶν τε θείων μεταξὺ καὶ τῶν θνητῶν ἐκληρώσαντο πραγμάτων. Κατὰ δὴ τὴν ἰδιότητα ταύτην, ἁπάσης τῆς ἐρωτικῆς σειρᾶς ἐν τοῖς θεοῖς ὑφισταμένης, τὴν μὲν ἑνοειδῆ καὶ κρύφιον αὐτῆς ἀκρότητα νοήσομεν ἐν αὐτοῖς τοῖς πρωτίστοις διακόσμοις τῶν θεῶν ἀῤῥήτως ἱδρομένην, καὶ τῷ πρωτίστῳ καὶ νοητῷ κάλλει συνηνωμένην χωριστῶς ἀφ' ὅλων τῶν ὄντων· τὴν δὲ μέσην πρόοδον αὐτῆς ἐν τοῖς πρὸ τοῦ κόσμου θεοῖς προλάμπουσαν τελέως θεωρήσωμεν, νοερῶς μὲν τὴν πρώτην ἐκφαίνουσαν ἑαυτὴν, ἡγεμονικὸν δὲ εἶδος εἰ δευτέρα τάξει λαχοῦσαν, πρὸς δὲ τῷ τέλει τῆς ὅλης διακοσμήσεως ἀπολύτως τῶν ἐγκοσμίων πάντων ὑπεριδρυμένην. τὴν δὲ αὖ τρίτην ὑπόβασιν ταύτης περὶ τὸν κόσμον πολυειδῶς μεριζομένην καὶ πολλὰς τάξεις καὶ δυνάμεις ἀφ' ἑαυτῆς προβάλλουσαν, καὶ ταῖς διαφόροις μερίσι τοῦ παντὸς διανέμουσαν κατίδωμεν· μετὰ γὰρ τὴν ἑνιαίαν καὶ

αὐτοῦ] A. B. D. et F. τοῦ τῆς ἐπιστροφῆς αἰτίου. Cod. E. a prima manu ἐπιστροφὴν, ex corr. ἐπιςροφῆς, tum αὐτοῦ, sed in marg. αἰτίου, et ita legendum est. — δευτέροις] D. δευτέρ.... seq. parva lac. — αἰτία] F. A. B. et D. αἰτίας, ita et E. bene. — πάντα] A. πάντων. Mox scripserim: μέθεξιν αὐτῆς, siquidem ἑαυτὴν sanum est; Ficinus vero legisse videtur αὐτὴν, vertens: ad illam omnia convocat. — καὶ διὰ τοῦτο] B. μὴ διὰ τοῦτο. — ἐκληρώσαντο] A. et B. ἐκληρώσατο. — κατὰ δὴ] B. et D κατὰ δὲ. — ἁπάσης τῆς] τῆς om. codd. B. et F. — ὑφισταμένης] C. ἐφισταμένης. — ἑνοειδῆ] cett. omn. praeter E. ἑνοειδῆ, bene. — ἀκρότητα] D ἑνότητα. — νοήσομεν] A. et B. νοήσωμεν, et ita scribendum, sequuntur enim mox θεωρήσωμεν, κατίδωμεν. Cod. F. νοησ(ω)αμεν (sic). — ἐν αὐτοῖς] C. ἐν τοῖς. — ἱδρυμένην] A. et D. ἱδρυμένων. — συνηνωμένην] A. et B συνηνωμένων F: συνηνωμένων. — χωριστῶς] A. χωριστῶν. — προλάμπουσαν] προλάμπουσα cod. A. — νοερῶς] A. νοερῶν. — ἐκφαίνουσαν] ἐκφαίνουσα. Mox Codd. E. et F ἐν pro εἰ et δευτέρᾳ pro δευτέρα, bene. — ἀπολύτως] A. et B. ἀπολύτων. — ὑπεριδρυμένην] A. et C. ὑπεριδρυμένων. — τὴν δὲ αὖ] A. τὴν δ' αὐ. — προβάλλουσαν] A. προβαλοῦσα. — μερίσι] A. μερία. C μέρισι. — τοῦ παντὸς] A. τοῦ πάντος. — ἑνιαίαν] B. et E. ἐνιαίαν D: ἑρμιαίαν, Ficin. unicam, bene; ergo I. ἑνιαίαν.

πρωτουργὸν τοῦ ἔρωτος αρχὴν, καὶ τὴν τριπλασιαζομένην καὶ τελειουμένην ταύτης ἀφ' ἑαυτῆς ὑπόστασιν, τὸ παντοδαπὸν τῶν ἐρώτων πλῆθος ἀναφαίνεται. Ὅθεν δὴ πληροῦνται μὲν οἱ τῶν ἀγγέλων χοροὶ τῆς τοῦ ἔρωτος μετουσίας, αἱ δὲ τῶν δαιμόνων ἀγέλαι διὰ τὴν τοῦ θεοῦ τούτου πλήρωσιν συνέπονται τοῖς θεοῖς ἐπὶ τὸ νοητὸν κάλλος ἀναγομένοις, αἱ δὲ τῶν ἡρώων στρατηγίαι συμβακχεύουσι τοῖς δαίμοσι καὶ τοῖς ἀγγέλοις περὶ τὴν μέθεξιν τοῦ καλοῦ· πάντα δὲ, ὡς εἰπεῖν, ἐγείρεται καὶ ἀναζωπυρεῖται καὶ ἀναθάλπεται περὶ τὴν ἀποῤῥοὴν τοῦ κάλλους. Καὶ δὴ καὶ ἀνθρώπων ψυχαὶ μεταλαγχάνουσι τῆς τοιαύτης ἐπιπνοίας, καὶ διὰ τὴν πρὸς τὸν θεὸν οἰκειότητα κινοῦνται περὶ τὸ καλὸν, καὶ κατιᾶσιν εἰς τον τῆς γενέσεως τόπον ἐπ' εὐεργεσίᾳ μετὰ τῶν ἀτελεστέρων ψυχῶν, προνοίᾳ δὲ τῶν σωτηρίας δεομένων. Θεοὶ μὲν γὰρ καὶ οἱ τῶν θεῶν ὀπαδοὶ, μένοντες ἐν τοῖς ἑαυτῶν ἤθεσιν, εὐεργετοῦσι δὲ τὰ δεύτερα πάντα καὶ πρὸς ἑαυτοὺς ἐπιστρέφουσι· ψυχαὶ δὲ ἀνθρώπων κατιοῦσαι καὶ γενέσεως ἐφαπτόμεναι τὴν ἀγαθοειδῆ πρόνοιαν ἀποτυποῦνται τῶν θεῶν. Ὥςπερ ἄλλαι ψυχαὶ κατ' ἄλλον ἱστάμεναι θεὸν, ἀχράντως ἐπιφοιτῶσι τῷ θνητῷ τόπῳ

— τοῦ ἔρωτος] A. B. et C. τοῦ om. — τοῦ θεοῦ τούτου] D τοῦ θ. τοῦ δε. — ἡρώων] B. δαιμόνων (sic). Ficinus vertit: *Exercitus heroum*, videtur igitur legisse ἡρώων στρατοί v. στρατιαί, quod placet. Cod. F. δαιμονίων. pro δαιμόνων. — δὲ ὡς] A. et B. δ' ὡς. — ἀναθάλπεται] A. et B. θάλπεται. — ψυχαὶ] A. F. et B. om. ψυχαί. Mox E πρό. — κατιᾶσιν] A. B. et D κατίασιν. In Cod. E. est κατιᾶσιν (sic). Scribendum autem κατίασιν, descendunt, delabuntur (Fic.), neque vero κατιᾶσιν, demittunt. De re cf. Wyttenb. ad Plutarch. de S. N. V. p. 118 et Praeparat. ad Plotin. de pulcr. p. XXXIV sqq. — γενέσεως] A. γεννήσεως et in marg. γρ. γενέσεως. — μετὰ τῶν] F. A. B. et D μὲν τῶν. Idem Cod. E. in margine; et ita legendum est, et legit Fic. — σωτηρίας] A. σωτηριῶν. — ὀπαδοὶ] A. B. et C. ὀπαδοὶ. Bene; cf. Etymol. M. p. 627. 33. Heidelb. p. 569. Lips. v. Ὄπατρος de Aspiratione. De vi vocis vid. ibid. p. 627. 10. p. 568. adde Etymolog. Gudian. p. 27 lin. 56 sqq. Herodian. de Antonino philosopho vitâ functo I. 5. 17. p. 163 Irmisch. ita: ὁ μὲν γὰρ πατὴρ, εἰς οὐρανὸν ἀναπτὰς, ὀπαδὸς ἤδη καὶ σύνεδρός ἐστι θεῶν. cf. Irmisch. et ab eo laudatum Arnoldum de diis paredris VI. 14. p. 203. 206. Suidas II. p. 703 locum scriptoris protulit, qui tralato sensu veritatem temporis ὀπαδὸν (comitem) dixerat. — ἤθεσιν] A. B. et D ἔθεσιν. De hac confusione vid. Bekker. Spec. Philostr. p. 31. — δὲ τὰ δεύτερα] cett. omn. δὲ omittunt. excepto E. Sed aut ejicienda est vocula δὲ, aut scribendum τε. — ὥςπερ ἄλλαι ψυχαὶ] A. B. F. et D. ὥςπερ οὖν ἄλλ. ψυχ. Ita etiam Fic.; bene. C ὥσπερ οὖν ἄλλων ψυχῶν.

καὶ ταῖς ἐν τούτῳ στρεφομέναις ψυχαῖς· καὶ αἱ μὲν διὰ μαντικῆς ὠφελοῦσι τὰς ἀτελεστέρας, αἱ δὲ διὰ τελεστικῆς, ἄλλαι δὲ διὰ τῆς θείας ἰατρικῆς· οὕτω δὴ καὶ αἱ τὸν ἐρωτικὸν βίον ἑλόμεναι ψυχαὶ κινοῦνται μὲν ὑπὸ τοῦ θεοῦ τοῦ τῶν καλῶν παίδων ἐφόρου πρὸς τὴν ἐπιμέλειαν τῶν εὖ πεφυκότων· ἀπὸ δὲ τοῦ φαινομένου κάλλους ἀνάγονται πρὸς τὸ θεῖον κάλλος καὶ μεθ' ἑαυτῶν ἀνάγουσι τὰ παιδικὰ καὶ ἐπιστρέφουσιν ἑαυτούς τε καὶ τοὺς ἐρωμένους ἐπ' αὐτὸ τὸ καλόν· ὃ δὴ καὶ ὁ θεῖος ἔρως ἐκεῖ πρώτως ἀπεργάζεται, καὶ ἑαυτὸν ἐνίζων τῷ ἐραστῷ καὶ τὰ μετέχοντα τῆς ἀπ' αὐτοῦ προϊούσης δυνάμεως ἀνατείνων ἐπ' ἐκεῖνο καὶ πᾶσιν ἕνα δεσμὸν καὶ μίαν ἀδιάλυτον ἐμποιῶν πρός τε ἄλληλα καὶ πρὸς αὐτὸ τὸ καλόν. Αἱ μὲν οὖν κάτοχοι τῷ ἔρωτι ψυχαὶ καὶ μετέχουσι τῆς ἐκεῖθεν ἐπιπνοίας, ἀχράντῳ ὀχήματι χρώμεναι τῷ φαινομένῳ κάλλει, περιάγονται πρὸς τὸ νοητὸν κάλλος, καὶ τέλος ἐκεῖνο περιΐστανται τῆς ἑαυτῶν ἐνεργείας, καὶ φῶς ἀνάψασαι ταῖς ἀτελεστέραις ψυχαῖς, ἀνάγουσι καὶ ταύτας ἐπὶ τὸ θεῖον καὶ συγχορεύουσιν αὐταῖς περὶ μίαν τοῦ παντὸς κάλλους πηγήν. Αἱ δὲ τῆς ἐκεῖθεν δήσεως ἀποπεσοῦσαι διὰ μοχθηρὰν τρυφήν, φύσιν δὲ ἐρωτικὴν λαχοῦσαι καὶ τοῖς εἰδώλοις τῶν καλῶν προςπίπτουσαι διὰ τὴν τῶν ἀληθινῶν ἄγνοιαν, φιλοφρονοῦνται μὲν τὰ ἔνυλα καὶ μεριστὰ κάλλη, καὶ ταῦτα ἐκπλήττονται, τὸ ἑαυτῶν

— ἀτελεστέρας] C τελεστέρας. — τελεστικῆς] A τελετῆς. — τοῦ τῶν καλ.] A τούτων καλ. — εὖ πεφυκότων] A et B ἐς πεφυκότων. — ἑαυτούς τε] B om. τε. — αὐτὸ τὸ καλὸν] B αὐτὸ τὸ κάλλος. Quae inde ab his verbis usque ad κάλλους πηγήν sequuntur, omisit Fic. — τῆς ἀπ' αὐτοῦ] C τῆς ἐπ' αὐτοῦ. — προϊούσης] A προϊούσας. — δεσμὸν] in marg. cod. Leid. ἴσ. δῆσιν. — μίαν ἀδιάλυτον] cett. omn. μίαν φιλίαν ἀδιαλ. Ita Cod. E. in marg.; neque abesse potest vox φιλίαν, nisi forte δέσιν inferendum ex marg. Cod. Leid. ubi δῆσιν. — ἐμποιῶν] C ἐμπιῶν. — τῷ ἔρωτι] B om. τῷ. — μετέχουσι] cett. omn. praeter Cod. E. μετέχουσαι, quod probum est. — χρώμεναι] C χρώμενα. — Ὄχημα Platonicis philosophis frequentatum. Vid. Nostrum infra et in Tim. p. 311. 321. 326. Plura dedit Wyttenb. ad Plutarch. de S. N. V. p. 97. itemque ad Platon. Phaedon. p. 317. cf. Annot. ad Plotin. de pulcrit. p. 340 sq. et ad Appendic. p. 421. — τῷ φαινομένῳ] C τῶν φαιν. — ἀνάψασαι] A et B ἀνάψαι. — ἀτελεστέραις] C. ἀποτελεστέραις. — περὶ μίαν] cett. omn. περὶ τὴν μίαν. Bene. — τῆς ἐκεῖθεν δήσεως] A et B αὐτῆς ἐκεῖθεν δόσεως. C τῆς ἐκεῖθ. δήσιως. F et D αὖ τῆς ἐκεῖθεν δόσεως. — φύσιν δὲ] B om. δὲ. — — τῶν ἀληθινῶν] C ἀληθῶν.

αγνοοῦσαι πάθος, ὃ πεπόνθασιν. Ἀφίστανται δὲ τοῦ θείου παντὸς, καὶ εἰς τὸ ἄθεον ὑποφέρονται καὶ σκοτεινὸν τῆς ὕλης· καὶ δοκοῦσι μὲν εἰς ἕνωσιν τὴν πρὸς τὸ καλὸν σπεύδειν, ὥςπερ αἱ τελέως ἐρωτικαὶ ψυχαί. Λανθάνουσι δὲ ἑαυτὰς ἀντὶ μὲν τῆς ἑνώσεως ἐπὶ τὸν σκεδασμὸν φερόμεναι τῆς ζωῆς καὶ τὸν τῆς ἀνομοιότητος πόντον, ἀντὶ δὲ τοῦ ἀληθοῦς καὶ ὄντως ὄντος καλοῦ, πρὸς τὸ αἶσχος αὐτὸ καὶ τὴν ὑλικὴν ἀμορφίαν συζευγνύμεναι· ποῦ γὰρ ἢ τὰ ἔνυλα δι' ἀλλήλων χωρῆσαι δυνατὸν, ἢ τὸ φαινόμενον κάλλος καθαρόν ἐστι καὶ εἰλικρινὲς, ὕλῃ συμμιγὲς ὂν, καὶ τῆς ὑποκειμένης ἀμορφίας ἀναπεπλησμένον;

[ιβ] Ἐπειδὴ τοίνυν ἀπ' ἀλλήλων διεστήσαμεν τάς τε τάξεις τοῦ ἔρωτος τὰς πολυειδεῖς καὶ τὰς ψυχὰς, τάς τε γνησίως αὐτοῦ μετεχούσας καὶ τὰς παρατρεπούσας τὴν ἐκεῖθεν δόσιν· (καὶ γὰρ νοῦ ἀπόῤῥοιαν πανουργίαν ποιεῖ, φησὶν ὁ Πλωτῖνος, καὶ σοφίας μέθεξις ἡμαρτημένη τὴν ἐνταῦθα σοφιστικὴν ὑφίστησιν· ὥςτε καὶ ἡ τοῦ ἔρωτος ἔλλαμψις, τῆς ὑποδοχῆς μοχθηρᾶς τυχοῦσα, τὴν τυραννικὴν καὶ ἀκόλαστον ἀποτελεῖ ζωήν.) ἐπειδὴ οὖν ταῦτα διεστησάμεθα, φέρε καὶ δι' αὐτῶν χωροῦν-

— ὃ πεπόνθ.] B ἃ πεπόνθ. Post has voces usque ad *τὴν ἐκεῖθεν δόσιν* Fic. omisit omnia; tum pergit usque ad *τὴν ζωήν*, tum tribus paginis omissis transit ad *ὅτι τὰ παραδειγματικώτερα κτλ.* — *δοκοῦσι μὲν*] A om. *μὲν*. — *εἰς ἕνωσιν*] C om. *εἰς*. — *σπεύδειν*] B *σπουδὴν*. — *ἐρωτικαὶ*] B *ἔρωτι καί*. — *δὲ ἑαυτὰς*] A et B *δὲ αὐτὰς*. D *δ' ἑαυτὰς* — *ἀνομ. πόντον*. Non dicam h. l. de contemtu, in quo mare apud Pythagoram Platonemque est (vid. Wyttenbach. ad Phaedon. p. 303.) admonebo Timaei p. 43. p. 329 Bip. p. 46 Bekker: — *τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα καὶ ἀπόῤῥυτον*. Quid quaeris? quidquid cum corpore materiaque et hac terrena vita conjunctum est, cum fluctuoso mari componebant Platonici. Qua de re plura posui ad Plotin. de pulcrit. p. LXXXVI sqq. et p. 231. — *ἀντὶ*] B *ἄν τι*. — *ὄντως ὄντος*] D *ὄντος ὄντως*. — *ποῦ γὰρ*] A *τοῦ γὰρ*. An forte leg. *οὐ*?

*Διεστήσαμεν*] A *διϊστησάμεθα*. B D et F *διεστησάμεθα*. C *διαστησάμεθα*. — *γνησίως*] B *γνησίας*. — *αὐτοῦ*] C *αὐτῷ*. — *μετεχούσας*] B *μετέχουσαι*. — *ἀπόῤῥοιαν*] F A B et D *ἀπόῤῥοια*, ita et E ex correctione. Bene. Ita quoque Fic. legit et editum est ad calcem libri Plotiniani de Pulcritudine p. 98. not. 60. ubi et harum sententiarum fontes indicati sunt: Plato Phaedr. cap. 28. p. 248 p. 25 Ast. p. 45 Bekker. cf. Hermiam ad eum locum p. 151. et Porphyr. ap. Proclum in Platon. Tim. p. 21. — *ποιεῖ*] C *ποιεῖν*. — *ὁ Πλωτῖνος*] in marg. cod. D *ἡ τοῦ Πλοτίνου*. — *σοφιστικὴν*] B *σοφιστήν*. — *ἐπειδὴ οὖν*] F A B et D *ἐπειδὴ δ' οὖν*. — *διεστησάμεθα*] A *διανεστησάμεθα*. B *διαναστησάμεθα*. Illud non incommode.

τες τῶν Πλατωνικῶν ῥημάτων, κατίδωμεν τὰς τῶν ἐραστῶν πρὸς ἀλλήλους διαφορότητας, ἃς ὁ Σωκράτης ἡμῖν ὑπογράφει δι' αὐτῶν τῶν πρώτων λέξεων, καὶ θεωρήσωμεν, τίς μὲν ὁ θεῖος, καὶ οἷα παρέχει τῷ ἐρωμένῳ; τίς δὲ ὁ πάνδημος καὶ ὁ τῷ πλήθει τῆς ψυχῆς ἐφεπόμενος; Ὁ μὲν τοίνυν δημώδης καὶ φορτικὸς ἐραστὴς θαυμάζει τὸν ἐρώμενον καὶ ἐπιδιώκει καὶ ἐπτόηται περὶ αὐτόν· ὁ δὲ ἀληθινὸς ἐραστὴς θαῦμα παρέχει τῷ ἐρωμένῳ, καὶ εἰς ἔκπληξιν αὐτὸν ἀνακινεῖ παντοδαπῶς τῆς ἐν αὐτῷ ζωῆς· καὶ τοῦτο εἰκότως. Ὁ μὲν γὰρ χείρων ὁμολογεῖ τῶν παιδικῶν ὑπάρχειν καὶ δεῖσθαί φησιν αὐτῶν· ὁ δὲ αὐτάρκης ἐστὶ καὶ δυνάμεως πλήρης, καὶ μετάδοσιν ἐπαγγέλλεται τῶν οἰκείων ἀγαθῶν εἰς τὰς τῶν ἐρωμένων ψυχάς. Δεύτερον τοίνυν, ὁ μὲν ἔνθεος ἐραστὴς ἐκ σπαργάνων τὸν ἐρώμενον ἐπισκοπεῖ, καὶ μετὰ τὴν λῆξιν τῆς ὥρας πρόςεισιν αὐτῷ τῶν σωματικῶν παυσαμένῳ θορύβων· οὐ γάρ ἐστι τοῦ σώματος ἐραστὴς, ἀλλὰ τῆς ψυχῆς· τοῦ δὲ σώματος παυσαμένου τῆς ἄνθης τὸ τῆς ψυχῆς ἀναλάμπει κάλλος. Ὁ δέ γε πάνδημος, ὥςπερ ὀπώρας, ὀρέγεται τῆς ἀκμῆς τοῦ ἐρωμένου, καὶ οὔτε πρότερον οὔτε ὕστερον ἑαυτὸν περιεργάζεται· ἀλλ' ἅμα τῇ ὥρᾳ παυσαμένῃ καὶ τῶν παιδικῶν ἀπαλλάττεται καὶ πέπονθε το εἰκὸς ταῖς οἰκείαις ἀρχαῖς. τοῦ σώματος γὰρ ὢν ἐραστὴς τῇ τοῦ φαινομένου κάλλους ἀκμῇ παραμετρεῖ τὸν ἔρωτα. Τὸ τρίτον τοίνυν, ὁ μὲν μόνιμός ἐστι καὶ ἀεὶ ὁ αὐτὸς, ἅτε δὴ μονίμῳ πράγματι συντακεὶς, ὁ δὲ εὐμετάβολος καὶ παρῶν

— *διαφορότητας*] F A C et D *διαφερότ.* De hoc vocabulo Platonico v. Thom. Mag. v. *διαφορά*, et Pierson ad Moer. Att. v. *διαφορότητος*. p. 128. — *τῶν πρώτων*] B *τῶν προτέρων*. — *θεωρήσωμεν*] A et B *θεωρήσομεν*. — *οἷα*] A *οἷος*. — *τοίνυν δημώδης*] B *νῦν δῆμος* et in marg. cod. *γρ. δημώδης*. — *θαυμάζει τὸν ἐρώμενον..... ἀληθινὸς ἐραστὴς*] haec omnia omisit Cod. D. — *ἔκπληξιν*] A et B *ἔκληψιν*. — *παντοδαπῶς*] A *παντοδαπῶν*. — *μετάδοσιν*] C *μετάδοσις*. Quae deinceps sequitur descriptio utriusque amatoris est ferculum e Platonico Convivio desumptum. vid. Sympos. p. 183 pag. 33 sq. Wolf. p. 24 sq. Ast. p. 391 sq. Bekker. — *πρόςεισιν*] A B et D *πρόεισιν*. — *τοῦ δὲ σώματος*] D lacun. habet loco *δὲ*. — *ὁ δέ γε*] D lacunam habet loco *γε*. — *ὀρέγεται*] B *ὀρέγηται*. — *τῆς ἀκμῆς*] D *τῆς... μῆς* (sic). — *ἑαυτὸν*] A B et C *αὐτὸν*; ita E ex corr. Recte. — *ἅμα τῇ ὥρ. παυσ.*] D lacunam h. l. habet. — *τὸ εἰκὸς ταῖς οἰκείας*] D lacunâ omisit haec. B habet.... *τας* [*αῖς*] (sic) *οἰκ.* — *ἀκμῇ*] D lacunam habet h. l. — *ὁ αὐτὸς*] B. om. *ὁ*.

μὲν φορτικὸς, ὀξύῤῥοπος δὲ καὶ ῥαδίως ἀπολείπων τὰ παιδικά· διὰ γὰρ τὴν περὶ τὸ ἔνυλον φιλίαν ὁμοιούμενος τῷ ἐραστῷ γίνεται δήπου καὶ αὐτὸς ἄστατος καὶ ῥαδίως μεταβάλλων τὴν πρὸς τὰ παιδικὰ συνήθειαν. Τέταρτον στοιχεῖον τῆς τῶν ἀνδρῶν λεγέσθω διαφορᾶς, ὅτι ὁ μὲν καὶ παρὼν τῷ ἐρωμένῳ κεχώρισται αὐτῷ τρόπον τινὰ, μήτε ἁπτόμενος αὐτοῦ μήτε προςομιλῶν μήθ' ὅλως διαλεγόμενος, ὅταν μὴ καιρος ᾖ τῆς ψυχικῆς ὠφελείας· ὁ δὲ ταῖς αἰσθήσεσιν αὐτῷ φιλεῖ συνάπτεσθαι, καὶ δι' ὄχλου γίνεται ποικιλλόμενος καὶ παντοδαπὰς ἀφορμὰς τῶν πρὸς αὐτῶν λόγων ἐπινοῶν. Πέμπτον ἀπ' αὐτῶν τῶν ῥημάτων λάβοις ἂν, τὸ τὸν μὲν θεῖον ἐραστὴν ἕνα λέγεσθαι καὶ πρῶτον καὶ μόνον, ἅτε οἰκεῖον ὄντα τῷ ἑνὶ καὶ τῷ ἀγαθῷ καὶ πρὸς τὸ ἁπλοῦν καὶ ἑνοειδὲς παράδειγμα τῶν καλῶν ἀνατεινόμενον, τὸν δὲ φορτικὸν πολὺν καὶ εἰκῇ συμπεφορημένον. Τὸ γὰρ ἄλλους μὲν προςειπεῖν τοὺς τῶν εἰδώλων ἐραστὰς, πρῶτον δὲ καὶ μόνον τὸν ἔνθεον φίλον, ἐκείνων μὲν τὴν ἀόριστον καὶ μεριστὴν καὶ πάντῃ διεσκεδασμένην ἀπελέγχει ζωήν· τούτου δὲ τὴν θεοπρεπῆ καὶ πόῤῥω τοῦ ἐνύλου πλήθους οὖσαν καὶ πάντων τῶν γενεσιουργῶν παθῶν ἐξῃρημένως ἀρετὴν ἀποσεμνύνει. Πολλὰ δ' ἂν καὶ ἄλλα τις ἔχει λέγειν ἐκ τούτων ἀνακινούμενος τὰ χωρίζοντα τοὺς ἐραστὰς τούτους ἀπ' ἀλλήλων· ἐραστὰς γὰρ οὐκ ἀποδοκιμάζει καὶ τοὺς πολλοὺς

— ῥαδίως] B ῥαδία — τὰ παιδικά] B. τὰ παιδία. — περὶ τὸ ἔνυλ.] B περὶ τὴν. A περὶ τὸν. — γένεται] C γὶ (sic). — τέταρτον] A τετάρτον. D τ....... sic et in marg. cod. D ὡραιότατον. — αὐτῷ τρόπον τινὰ] A F et B τρόπον τινὰ αὐτῷ. — ἁπτόμ. αὐτοῦ] B ἁπτ. αὐτὸν. — προςομιλῶν] C. προςομιλὼν. D προ: μιλῶν (sic.) — μήθ' ὅλως] B μηδόλως. — καιρὸς] B καλὸς. — ψυχικῆς] B ψυχῆς. — ὠφελείας] A ἀφελείας. — συνάπτεσθαι] B συνάπτεται. — πρὸς αὐτῶν] A πρ. αὐτῶ. D et E πρ. αὐτὸν, quod unice verum est. — τὸ τὸν μὲν θεῖον] C τὸ τῶν μὲν θεῖον. D τὸν τῶν μὲν θείων. — παράδειγμα] A et B om. — ἀνατεινόμενον] B ἀνατεινομένων. — τὸν δὲ φορτ.] C τὸ δ. φ. — εἰκῇ] A et B om. — συμπεφορημ.] A et B πεφορημ. Εἰκῇ συμπεφορημένον ex Platonis Phaedro p. 253. p. 273 Heindf. cujus annotationem conferas velim. Plura de his formis posui ad Plotin. de pulcrit. p. 245—247. — ἐκείνων μὲν] A om. μὲν. F ἐκ μή. — μεριστὴν] B μερικὴν. — διεσκεδασμένην] A et B διασκεδασμένων. — ἀπελέγχει] B ....χειν. — ἐξῃρημένως] A C D et F. .....ην. B ....ων. Cod. E in marg. ita: —νων, ἴσως —νην, quod placet. Tum Cod. F ἀποσεμνύει. — ἔχει] F B et E ἔχοι D. ἔχοι (sic). Bene. — ἀνακινούμενος τὰ] B ........νός τε. — ἐραστὰς] C ἐραστὴς. — ἀποδοκιμάζει] A .......ζων.

ὁ Σωκράτης ἔτι καλεῖν, διότι μήπω διακέκριται, τίς ὁ ἀληθινός ἐστιν ἄνθρωπος καὶ ποῦ τὸν Ἀλκιβιάδην αὐτὸν ὑποθετέον; τότε γὰρ ἂν δεόντως ὀφθείη μόνος ἐραστὴς Ἀλκιβιάδου ὁ Σωκράτης, οἱ δὲ ἄλλοι τῶν Ἀλκιβιάδου μὲν ἐρῶντες, καὶ ἅτε εἰδωλικὸν ἔρωτα περιφέροντες, περὶ τὰ εἴδωλα στρεφόμενοι καὶ τῶν ψυχῶν ἠμεληκότες, καὶ τὸν ὄντως Ἀλκιβιάδην ἀγνοοῦντες· τότε τοίνυν καὶ τὴν ὑπόκρισιν αὐτῶν τὴν περὶ τὸν ἔρωτα διελέγξει, καὶ ὅτι τῆς ἀληθινῆς ἐπιπνοίας διημαρτηκότες τὸ εἴδωλον προβέβληνται τοῦ ἔρωτος καὶ κατὰ τοῦτο τῷ εἰδώλῳ τοῦ κάλλους συμπλέκονται. Πᾶσα γὰρ ἐρωτικὴ τάξις συστοίχῳ τινὶ κάλλει συντέτακται· καὶ ὥςπερ ὁ θεῖος ἔρως ἐπὶ τὸ θεῖον κάλλος ἀνάγεται, οὕτω δὴ καὶ ὁ εἰδωλικὸς τοῦ τοιούτου κάλλους ἀντιλαμβάνεσθαι σπεύδει· τοῦτο γὰρ δὴ καὶ ὁρᾷν δύναται μόνον, πρὸς δὲ τὸ θεῖον ἐσκοτωμένῳ παντάπασιν ἔοικε. Τὰ γὰρ τῶν πολλῶν τῆς ψυχῆς ὄμματα καρτερεῖν πρὸς τὸ ἀληθὲς ἀφορῶντα ἀδύνατα, φησὶν ὁ Ἐλεάτης ξένος.

[ιγ.] Ταῦτα μὲν οὖν περὶ τούτων. Εἰ δὲ καὶ ἄρχεται πρὸ τῶν ἄλλων ὁ Σωκράτης, καὶ συνεκτείνει τοῖς ἄλλοις τὴν ἑαυτοῦ περὶ τὸν νεανίσκον πρόνοιαν, καὶ πεπαυμένων τῶν ἄλλων

— *καλεῖν*] A *καλεῖ*. — *διακέκριται τίς*] A *διακέκριταί τις*. F *διακέκελται*. — *αὐτὸν*] A B et D *αὐτοῦ*. — *ὑποθετέον*] A ......*έων*. — *Ἀλκιβιάδου*] C ......*δει*. — *ὁ Σωκρ.*] cett. omn. om. *ὁ*. — *τῶν Ἀλκ.*] B *τὸν Ἀλκ.* — *ἠμεληκότες*] C *ἀμελ..* Cod. E *ἠμεληκραται*, in marg. ..*κότες*. — *ὄντως*] A *οὕτως*. — *ἀγνοοῦντες*] F A B et D add. *παντάπασιν*, non male. — *τὴν περὶ τὸν.*] A *τῶν π. τ.* — *ἐπιπνοίας*] cett. *τοῦ ἔρωτος ἐπιπνοίας*, excepto E. Sed placet ceterorum librorum lectio. — *διημαρτηκότες*] D *ἡμαρτηκότες*. — *τοιούτου*] A *τοσούτου*. De voce *σύστοιχος* dicemus infra. — *τοῦτο γὰρ*] A et B *τὸ γάρ*. — *μόνον*] D lacunam habet h. l. — *πρὸς δε*] B om. *δὲ*. — *καρτερεῖν*] A *καρτερεῖ*. — *ἀφορῶντα*] D *ἀφορώμενα* (sic). Est locus Platonis Sophist. p. 254. a. Bip. T. II. Bekk. II, 2. p. 208. ibi autem scribitur: *τὰ γὰρ τῆς τῶν πολλῶν ψυχῆς ὄμματα καρτερεῖν πρὸς τὸ θεῖον ἀφορῶντα ἀδύνατα*. De locutione *ὄμμα ψυχῆς*, *ὄψις τῆς διανοίας* et similibus dixi ad Plotinum de pulcrit. p. 361. Hic alium locum adscribam, qui nec minus a Platonico colorem traxit: Eustath. ad Odyss. XX. 360. p. 738. 50 Basil. de procis illis, ad suae cladis auguria caecutientibus, ita: *εἰ δὲ οἱ μνηστῆρες θαυμάζουσιν ἀποροῦντες, διά τι μὴ καὶ αὐτοὶ ὁμοίως διορῶσιν, ἔχουσιν ἀκοῦσαι καὶ αὐτοὶ, ὅτι ὀφθαλμοὺς μὲν οἷς ὁρῶσι τὰ αἰσθητὰ ἔχουσιν, ᾧ δὲ διορῶνται τὰ νοερὰ οὐκ ἔχουσι*. Appulejus Florid. I p. 340 Elmenh. „Etenim arbitrabatur (Socrates) homines non oculorum, sed mentis acie et animi obtutu considerandos."

*Εἰ δὲ*] A et B *εἰ δή*. — *ἄρχεται*] D lacunam habet loco huj. voc. — *ἑαυτοῦ περὶ τὸν νεανίκ.*] D *ἑαυτ*........*νεανίσκον*. (sic). — *πεπαυμένων*] B *περιμένων*.

*αὐτὸς οὐκ ἀπαλλάττεται, δηλοῖ μὲν διὰ τῆς, ὡς οἶμαι, ζωῆς, καὶ ὅτι τὰ παραδειγματικώτερα πανταχοῦ καὶ τελειότερα πάντη περιλαμβάνει τὰς τῶν εἰκόνων ἐνεργείας, καὶ ὡς οὐδενὶ τὰ καταδεέστερα πάρεστιν, ὡς μὴ πολλῷ πρότερον καὶ τὰ τελειότερα μεταδίδωσιν ἑαυτῶν. δηλοῖ δὲ, ὅτι καὶ κατὰ πᾶσαν τάξιν τῶν ὄντων τὸ ἓν τὰ ἄλλα παρείληφε καὶ πρὸ αὐτῶν ἐνεργοῦν, καὶ μετ' αὐτῶν καὶ ἐπ' αὐτοῖς. Ἄντικρυς οὖν τὴν μὲν τῶν ἑνὶ προςήκουσαν ὑπεροχὴν ἀπένειμεν ὁ λόγος τῷ ἐνθείῳ φίλῳ, καὶ μόνον αὐτὸν καὶ πρῶτον εἰς τὴν πρόνοιαν τῶν ἀτελεστέρων ἀποκαλῶν· τὴν δὲ τοῦ πλήθους, τοῦ πάντη μεριστοῦ, τάξιν τοῖς πολλοῖς ἐρασταῖς ἀποδέδωκε· καὶ ὥςπερ ἐκεῖ καὶ πρὸ τῶν ἄλλων ἐνεργεῖ καὶ μετὰ τῶν ἄλλων καὶ ἐπὶ τοῖς ἄλλοις, εἰ θέμις εἰπεῖν, οὕτω δὴ καὶ ὁ θεῖος ἐραστὴς καὶ πρὸ τῶν φορτικῶν τὸν ἐρώμενον περιεργάζεται, καὶ μετ' αὐτὸν οὐκ ἀφίσταται τῆς περὶ αὐτὸν προνοίας. Ὅτε δὴ καὶ διαφερόντως τὴν φροντίδα καταβάλλεται, μὴ λάθῃ τῷ ἐνύλῳ καὶ πανδήμῳ τοῦ ἔρωτος εἰδώλῳ παραδοὺς ἑαυτὸν, καὶ ἐκείνων ἀποκαμόντων διὰ τὴν τῆς ὕλης ἐπὶ τὴν εἰς αὐτοὺς δυομένην διάθεσιν, πάρεστιν αὐτὸς ἐν γαλήνῃ τῷ ἐρωμένῳ γεγονότι καὶ τὸ πλῆθος ἀπο-*

— *ἀπαλλάττεται*] C *ἀταλλάττεται*. D habet *ἀπ*.... sequente lacuna, omiss. quoque *δηλοῖ μὲν*. — *καὶ ὅτι*] B *καὶ οὕτω* et in marg. *γρ. ὅτι*. Inde ab hoc vocabulo usque ad *καὶ ἐπ' αὐτοῖς* Ficini versio exstat l. c. p. 185. — *περιλαμβάνει*] A F et B *παραλαμβ*. — *οὐδενὶ τὰ καταδ.*] D *οὐ*........ *καταδ*. (sic). — *ὡς μὴ*] F A C et D *ᾧ μή*. B *ᾧ μὲν*. Cod. E in marg., ut illi *ᾧ μὴ*, uti legendum est et legit *Fic*. — *ὅτι καὶ κατὰ*] F A B et D *καὶ ὅτι κ*. — *καὶ πρὸ*] C *καὶ πρὸς*. Ante haec Cod. E *περιείληφε*, ut *Fic*. quoque legisse videtur, vertens *comprehendit*. — *καὶ ἐπ' αὐτοῖς*] A et B *καὶ μετ' αὐτοῖς*. — *τῶν ἑνὶ προςήκ.*] cett. *τῷ ἑνὶ προςήκ*. Sed E nonnisi ex correctione; *τῶν* locum non habet. — *τῷ ἐνθείῳ*] cett. *τῷ ἐνθέῳ*. Bene. — *πρῶτον*] C *πρώτην* (sic). — *τοῦ πάντῃ*] *τ*... *πάντα* (sic). — *εἰ θέμις*] C *οὐ θέμις*. — *περιεργάζεται*] A et B *ἀπεργάζ*. — *μετ' αὐτὸν*] A B et D *μετ' αὐτῶν* Ita quoque Cod. E. ex correctione. Bene. — *περὶ αὐτὸν*] B et D *περὶ αὐτῶν*. — *ἀποκαμόντων*] C *ἀποταμόντ*. — *ἐπὶ τὴν*] cett. *ἐπίπονον*. Ita E in margine. Bene. — *δυομένην*] B D et F *εἰςδυομένην*. Idem Cod. E in margine. Placet. A *εἰςδ*....*ων*. — *καὶ τὸ πλῆθος*] D *καὶ τὸ εἶδος*. — *ἀποσκευάσαντι*] cett. *ἀποσκεδάσαντι*, excepto Cod. E. Praestat *ἀποσκ*. V. Herodian. IV, 13, 9. *ἀποσκευάσασθαι τὸ ἐνοχλούμενον*. cf. Pollux Onom. V, 91. p. 527. Hemst. et infra apud Nostrum: *ἀποσκευάσασθαι τὸ πλῆθος τῆς ζωῆς*. Verbum proprie de projiciendis e navi instrumentis deponendisque vasis usurpari solitum, docente Suidâ Tom. I p. 256. 293 Kust. In fragmento rhetorico

σκευάσαντι τὸ φορτικὸν καὶ πάσας ἐκτεμόντι τὰς πρὸς τὸ καταγωγὸν καὶ ἔνυλον τῆς ζωῆς εἶδος κοινωνίας. Τότε γαρ δὴ καὶ ἐπιτήδειός ἐστι πρὸς τὴν τοῦ ἐνθέου φίλου μετουσίαν καὶ τὴν κοινὴν πρὸς αὐτὸν καὶ ὁμονοητικὴν ἐνέργειαν· ἐκείνων δὲ παρόντων ἀνεπιτηδειότητος ἀναπέπλησται. καὶ εἴ γε δεῖ τοὐμὸν λέγειν, εἰκόνα μὲν δοκεῖ, καὶ ταῦτα θαυμαστὴν, φέρειν τῶν ἐν ταῖς τελεταῖς δρωμένων· πανταχοῦ γὰρ τὸ τελειότερον ὑποδύεταί τι τῶν ἀτελεστέρων, καὶ περισπᾷ τὰς μὴ κατορθωμένας ψυχὰς εἰς ἑαυτὸ, καὶ τῶν βελτιόνων ἀφίστησιν. Ὥςπερ οὖν ἐν τοῖς τῆς φιλοσοφίας νοεροῖς θεωρήμασιν ἐμπόδιόν ἐστιν ἡ σοφιστικὴ ζωὴ καὶ ἡ πρὸς ἐκείνην σύνταξις ἐφέλκουσα τοὺς ἀτελεστέρους ἀπὸ τῆς τῶν ὄντων θεωρίας εἰς τὴν σύστοιχον τοῖς γινομένοις καὶ φθειρομένοις φαντασίαν· οὕτω δὴ καὶ ἐν τῇ πρὸς τὸν θεῖον ἔρωτα ἀναγωγῇ φορτικῶν ἐραστῶν πλῆθος ἐμποδὼν γίνεται, τὸν ἀληθινὸν ἐραστὴν ὑποδυόμενον καὶ τὴν τοῦ νέου ψυχὴν ἄνωθεν ἀπὸ τῶν ὀλυμπίων ἀγαθῶν εἰς τα γήϊνα καθέλκον καὶ σκοτεινά. Κατὰ τὰ αὐτα δὴ καὶ ἐν ταῖς αγιωτάταις τῶν τελετῶν πρὸ τῆς τοῦ θεοῦ παρουσίας δαιμόνων χθονίων τινῶν σύμβολα προφαίνονται καὶ ὄψεις ἐκταράτ-

cod. Darmst. haec leguntur: *τὴν — ἡμᾶς περιστᾶσαν ἀδοξίαν ἀποσκευάσασθαι.* Delectatur autem eo verbo Proclus; cf. v. c. eundem in Tim. p. 327. Institut. theolog. §. 208 p. 501 ed. Fabric. — *τὰς πρὸς*] A *καὶ πρός.* — *ἀναπέπλησται*] C ......*ηται.* — *εἴ γε*] F A C et D *εἴ με.* B *οἶμαι.* — *μὲν δοκεῖ*] A C et D *μοὶ δοκεῖ*, quod placet. B om. *μὲν.* — *θαυμαστὴν*] B *θαυμαστὸν.* Pergit h. l. Fic. p. 185. — *φέρειν*] A *διαφέρειν.* — *ἐν ταῖς τελ.*] A et B om. *ταῖς.* — *περισπᾷ*] B *περισπᾶται* omisso *τὰς.* Tum Cod. E *μήπω* pro *μή.* — *τῆς φιλοσοφίας*] A et D om. *τῆς.* — *θεωρήμασιν*] cett. *θεάμασιν.* Illud praestat. Ficinus vertit: in contemplatione *physica.* — *φαντασίαν*] B *φαντασίας.* — *πρὸς τὸν θεῖον*] A *πρὸς τὸ θεῖον.* — *ἀναγωγῇ φορτικῶν*] A et F *ἀναγωγῆς τὸ τῶν φορτ.* D *ἀναγωγῇ* (sic.) *τὸ τῶν φορτ.* Legendum *ἀναγωγῇ τὸ τῶν φ. ἐρ. πλ.* — *καθέλκον*] D *καθέλκοντα.* Qui sequitur locus inde ab *ἐν ταῖς* usque ad *ἐκκαλούμεναι* citatur ab anonymo scriptore libelli: A Dissertation on the Eleusinian and Bacchic Mysteries. Amst. sine anni nota p. 25. Ibi abest *τοῦ* ante *θεοῦ* ut in nostris Codd. A et B; abest item *τινῶν* et pro *σύμβολα* legitur *ἐκβολαὶ* ut in nostris Codd. A. et B. Denique post *προφαίνονται* pergit ita: *καὶ ἀπὸ τῶν ἀχράντων ἀγαθῶν εἰς τὴν ὕλην προκαλούμεναι.* Ficini versio nostram lectionem exprimit, nisi quod F. legisse videtur *ἐμβολαί*, quod placet. Procli locum attigi, ejusque fontes indicavi ad Plotin. de pulcrit. p. 265. — *τοῦ θεοῦ*] A et B om. *τοῦ.* — *σύμβολα*] A et B *ἐκβολαί.* C *σύμβολον.* F et D *ἐμβολαί*, ita Fic. *impetus.* Bene.

τουσαι τοὺς τελουμένους καὶ ἀποσπῶσαι τῶν ἀχράντων ἀγαθῶν καὶ εἰς τὴν ὕλην ἐκκαλούμεναι. Διὸ καὶ οἱ θεοὶ παρακελεύονται μὴ πρότερον εἰς ἐκείνους βλέπειν, πρὶν ταῖς ἀπὸ τῶν τελετῶν φραχθῶμεν δυνάμεσι· οὐ γὰρ χρὴ ἐκείνους βλέπειν, πρὶν τὸ σῶμα τελεσθῇς· καὶ διατί τὰ λόγια προτίθησιν, ὅτι τὰς ψυχὰς θέλγοντες ἀεὶ τῶν τελετῶν ἀπάγουσιν. Ἀνάλογον τοίνυν τοῖς χθονίοις δαίμοσιν οἱ φορτικοὶ τῶν ἐραστῶν, οἱ περιῤῥέοντες τὸν νέον ἀπάγουσιν αὐτὸν ἀπὸ τῆς πρὸς τὸ θεῖον ἀναγωγῆς καὶ ἀνεπιτήδειον αὐτὸν ἀποτελοῦσι πρὸς τὴν τοῦ ἐνθέου φίλου συνουσίαν. Ὥςπερ οὖν ἐκεῖ τὸ θεῖον ἐκφαίνεται μετὰ τὴν ἀποκάθαρσιν τοῦ τοιούτου παντὸς δαιμονίου τοῦ κατάγοντος ἐπὶ τὴν ὕλην τὰς ψυχὰς, οὕτω δὴ καὶ ὁ ἔνθεος ἐραστὴς μετὰ τὴν τῶν πολλῶν καὶ γενεσιουργῶν ἐραστῶν φυγὴν ἀναφαίνεται καὶ μεταδίδωσι τῷ ἐρωμένῳ τῆς ἑαυτοῦ συνουσίας. Ἀτεχνῶς οὖν μοι δοκεῖ δαίμονος ἀγαθοῦ χώραν ὁ Σωκράτης ἐπέχειν πρὸς τὸν Ἀλκιβάδην καὶ κατοπτεύειν αὐτὸν ἐκ νεότητος, ὥςπερ ἐκεῖνος, καὶ φρουρεῖν καὶ τὰς ἐνεργείας αὐτοῦ πάσας ἐπισκοπεῖν, καὶ τοὺς λόγους καὶ τὰς πράξεις ἐφορᾷν· καὶ ὥςπερ ὁ δαίμων καὶ πρὸ τῶν πατέρων ἄρχεται τῆς πρὸς ἡμᾶς προνοίας, καὶ μετὰ τῶν πατέρων ἐφέστηκεν ἡμῖν, οἷον κυβερνήτης ἡμῶν τῆς ὅλης ζωῆς, καὶ μετὰ

— ἀποσπῶσαι] B ἀποσπᾶσαι. — ἐκκαλούμεναι] A B et D προκαλούμεναι. Mox Cod. F εἰκόνους pro ἐκείνους. — τῶν τελετῶν] A et B om. τῶν. Cod. E a prima manu τελεστῶν. — φραχθῶμεν] B παραχθῶμεν. male. — δυνάμεσι] cett. δυνάμεσιν. Bene. — ἐκείνους] cett. add. σε excepto Cod. E. Legendum χρὴ κείνους σε. A C et D κείνους pro ἐκείνους. — τὸ σῶμα] cett. τὸ om., sed E cum nostro illud tuetur; frustra. Est enim versus hexameter:

οὐ γὰρ χρὴ κείνους σε βλέπειν, πρὶν σῶμα τελεσθῇς.

— διατί] A F B et D διὰ τοῦτο, quod placet. — προτίθησιν] A F B et D προςτίθησιν, quod unice verum est. Qui sequitur versus ita scribendus:

τὰς ψυχὰς θέλγοντες ἀεὶ τελεῶν ἀπάγουσιν.

Sunt hi versus editi in τοῖς τοῦ Ζωροάστρου λογίοις. V. Clerici Opp. Philos. p. 328. T. II., ubi scribitur in versu priore τελεσθῇ, minus bene. Quae sequuntur inde ab Ἀνάλογον usque ad συνουσίαν, omisit Fic. Priorem versum integrum exhibet Cod. F. — οἱ περιῤῥέοντες] A B F et D om. οἱ. E οἳ, bene. — ἀπάγ. αὐτὸν] D ἀπάγ. αὐτῶν. — γενεσιουργ. ἐραστῶν] C om. ἐραστῶν. Ceterum harum sententiarum fons est in Platonis Convivio cap. 11. 12 p. 183. 184 Steph. p. 390 sqq. Bekker. p. 23 sqq. Ast. — πρὸς ἡμᾶς] A F B et D εἰς ἡμᾶς. — τῶν πατέρων] A et F τὴν πατέρων. — κυβερν. ἡμῶν] A F et B om. ἡμῶν.

τὴν ἐντεῦθεν ἀπαλλαγὴν προμηθεῖται τῆς πρὸς τοὺς δικαστὰς ἡμῶν πορείας· (ἄγει γάρ, φησίν, ἕκαστον, ὥςπερ ζῶντα εἰλήχει.) κατὰ τὸν αὐτὸν τρόπον ὁ Σωκράτης καὶ τοὺς ἄλλως ἅπαντας οἰκείους καὶ φίλους τοῦ νεανίσκου φθάνει τῇ περὶ αὐτὸν προνοίᾳ καὶ μετὰ πολλῶν ἐραστῶν προτίθησι τὴν ἀφ' ἑαυτοῦ κηδεμονίαν, καὶ πεπαυμένων τῶν ἄλλων αὐτὸς ἐπιφοιτᾷ καὶ σύνεστιν, καὶ ἀνακαλεῖται τὸν ἐρώμενον ἐπὶ τὴν ὅλην δικαιοσύνην καὶ τὰ ὄντως ἀγαθὰ τῆς ψυχῆς. Ἔτι δὲ ὥςπερ ὁ δαίμων ὁ ἀγαθὸς τὰ πολλὰ σύνεστιν ἡμῖν, ἀφανῶς ἐξ ἀπρούπτου τὴν ἑαυτοῦ πρόνοιαν εἰς ἡμᾶς καταβαλλόμενος καὶ σιγῇ παρὼν καὶ ἀποῤῥήτως ἀνορθῶν τοὺς βίους ἡμῶν, οὕτω δὴ καὶ ὁ Σωκράτης σιωπῶν παρέπεται τοῖς παιδικοῖς, καὶ προνοεῖ μὲν αὐτῶν, οὐδέπω δὲ τῆς ἑαυτῶν συνουσίας ἑαυτοῖς μεταδίδωσι. Καὶ ὥςπερ ἐκεῖνος τοῖς τὴν ἄκραν ἐπιτηδειότητα λαβοῦσιν ἑαυτὸν ἐκφαίνει καὶ φθέγγεταί τι πρὸς αὐτοὺς καὶ κοινωνεῖ λόγων, εἴπερ, οἶμαι, καὶ αὐτὸς ὁ Σωκράτης τῆς τοῦ δαιμονίου παρουσίας ἀπολαύων καὶ φωνῆς ἐδόκει τινὸς ἐπήκοος γίνεσθαι, οὕτω δὴ καὶ ὁ θεῖος ἐραστὴς τότε τῆς ἑαυτοῦ διαλέξεως τῷ ἐρωμένῳ μεταδίδωσι καὶ πρὸς τὴν διὰ λόγων αὐτὸν ἐκκαλεῖται συνουσίαν, ὅτε μάλιστα τὴν ἐν αὐτῷ ζωὴν ἐθεάσατο, χολάσαντες μὲν ἀπὸ τῶν ἀγκτήρων τῆς ὕλης, ἀποσκευα-

recte. Similitudo eidem Platoni debetur in Sympos. cap. 23. p. 197. Steph. p. 418 Bekker p. 52 Ast. — *πορείας*] C *πορνείας*. Quae sequuntur usque ad *τῆς ψυχῆς* omisit Fic. — *ὥςπερ*] C et D *ὅςπερ*. Bene. — *εἰλήχει*] Solemnis locutio in hac re. Et est Plotini liber: *περὶ τοῦ εἰληχότος ἡμᾶς δαίμονος*, *de genio nos sortito*. vid. Praeparat. ad Plotin. de pulcr. p. XXXVII et Annot. p. 316 et 405. Cf. quoque Porphyr. de vita Plotini cap. IV. et cap. XI. p. 100 et p. 111 ed. Fabricii. — *ὁ Σωκράτ..*] cett. *καὶ ὁ Σωκρ.* — *τοὺς ἄλλως*] cett. *τ. ἄλλους*, et Cod. E ex correctione. Bene. — *τὴν .... κηδεμονίαν*] C *τῆς ... κηδαιμονίαν*. In Cod. E quod mox sequitur *σύνεστιν* bene correctum est in *σύνεστι*. — *τὰ πολλὰ*] A *ταπολλά*. — *ἀπρούπτου*] A B et E *ἀπροόπτου*, D *ἀπροώπτου*. — *παρέπεται*] C *παρόνταυ* (sic.) Quae sequuntur paginae tres non sunt apud Fic. — *ἑαυτῶν συνουσ.*] A et B *ἑαυτοῦ συνουσ.* Illud Cod. E in margine. Bene. — *ἑαυτοῖς*] A B et D *αὐτοῖς*. C *ἑαυτούς*. Illud Cod. E ex correctione, quod placet. — *εἴπερ*] A F B et D *ἤπερ*. — *παρουσίας*] A B et F *συνουσίας*. — *ἀπολαύων*] C *ἀπολάβων*. male. — *γίνεσθαι*] A *γενέσθαι*. E *γίγνεσθαι*. — *διὰ λόγων*] cett. *διαλόγων*. Perperam. — *ὅτε μάλιστα*] A et B *ὅτι μαλ.* — *χολάσαντες*] A B F et D *χαλάσασαν*. C *χαλάσαντες*. Ita fuit in Cod. E et correctum est in *χαλάσασαν*. recte. Est enim saepiuscule neutrum. Tu vid. Suidam III. p. 648 *χαλάσαι· ἐκλυθῆναι, χαυνωθῆναι*. Cui loco

σμένην δὲ τὸν πολὺν ὄχλον τῶν ἐραστῶν, κρατήσασαν δὲ τῶν γηγενῶν καὶ χθονίων ἐπιτηδευμάτων. Ταῦτα γὰρ δὴ τῆς ἐν αὐτῷ πρὸς τὸ καλόν ἐστι συμπαθείας τεκμήρια.

[ιδ.] Πρόςεισιν οὖν ὁ Σωκράτης ἐν τούτῳ τῷ καιρῷ, καθ' ὃν διαφερόντως εἰς ὑποδοχὴν τῆς ἑαυτοῦ συνουσίας ἑώρα τὸν ἐρώμενον ἐγηγερμένον. Καὶ τοῦτο δήπου καὶ αὐτὸς δηλοῖ· *θαυμάζεις γάρ* φησιν, *ὅ,τί ποτέ ἐστι τοὐμὸν πρᾶγμα, καὶ ὅπως ὑπομένω τῶν ἄλλων ἐραστῶν πεφευγότων.* τὸ δὲ θαυμάζειν τοῦτο φιλοσοφίας ἐστὶν ἀρχή, καθάπερ αὐτὸς ἐν Θεαιτήτῳ λέγει, καὶ διὰ τοῦτο τὴν Ἶριν Θαύματος ἡγεῖσθαι θυγατέρα κατὰ τὴν παλαιὰν φήμην. Εἰ τοίνυν τηνικαῦτα τῷ νεανίσκῳ πρόςεισιν, ἡνίκα ἐκεῖνος θαυμάζει τὴν τοῦ φιλοσόφου ζωὴν καὶ τὰς αἰτήσεις ἐπιζητεῖ τῶν κατ' αὐτὸν πραγμάτων, ἀρχὴν ἂν ἔχοι τῆς εἰς φιλοσοφίαν

infelicem manum intulisse Kusterum vel sequentia in *χαλάσω* docent, et vero etiam Xenophontea, quae collegit Sturz. in Lexico IV. p. 522. De verbo consule Bielii Thes. V. T. item Schleusnerum V. C. in Lex. N. T. in voce. et Wyttenb. ad Plutarch. de S. N. V. p. 118 sq. Adde Eustath. in Odyss. III. p. 132 Basil. et Philemonis Lexicon technol. §. 276. p. 116. Ceterum idem mendum, quod h. l. Cod. Leidensem foedat, etiamnum in Porphyrio deprehendimus. Bis enim in vitâ Plotini cap. VIII et cap. IX. *ἐσχόλασεν* edidit Fabricius in Bibl. gr. lib. IV. 2. p. 108. sq. ubi ego ex codicibus meis praestabo utrobique *ἐχάλασεν.* — *ἀγκτήρων*] B *ἀγητόρων.* C *ἀγητήρων*, et in marg. cod. D: *ἀγκτήρων τῆς ὕλης.* — *ἀποσκευασμένην*] A et B ...... *ων.* C ...... *ας.* E *ἀποσκευασαμένην.* Scr. *ἀπεσκευασμένην.*

*Καθ' ὃν*] D *καθ' ἣν.* — *ἐγηγερμένον*] A *ἐγηγερμένων.* — *τοὐμὸν*] A B et D *τὸ ἐμόν.* — *ὑπομένω*] C *ὑπομένων.* Haec omnia paulo aliter effatur Socrates in dialogo nostro p. 104. c. Bekk. p. 300. Etwallus edidit *θαυμάξοις.* — *καὶ διὰ τοῦτο*] B om. *καί.* — *θαύματος*] C *θάματος.* E *Θαύμαντος*, recte, sed ex correctione; fuit enim *θάμαντος.* Hesiod. *θ.* 780. Locus Platonis in Theaeteto est p. 155. d. Bip. T. II. Bekk. II, 1. p. 203. cf. Heindorf. ad h. l. p. 327. — *ἡγεῖσθαι*] F A B et D *εἰρῆσθαι.* Bene. — *θυγατέρα*] B *θυγατρί* et in marg. cod. D: *τὴν ἶριν θαύματος θῦγα* (τρ supra). — *θαυμάζει*] A et D *θαυμάζῃ.* C *θαυμάζει* (η supra) (sic.) — *τὰς αἰτήσεις*] cett. omn. *τὰς αἰτίας.* Bene. — *ἐπιζητεῖ*] B ..... *εῖν.* — *κατ' αὐτὸν*] B *κατ' αὐτήν.* etiam D. In Cod. F est *αὐτήν* (όν supra) (sic.) — *ἂν ἔχοι*] B *ἀνέχοι.* — Proxime pro *πτοία* alii maluerint *πτόα* vel *πτοιὰ* e ratione accentuum his in formis variantium, de qua disputarunt Henr. Steph. Thes. Vol. V. pag. 1739. Reiz. de Accent. inclin. p. 121 et Bast. Schaeferusque Append. ad Epist. crit. p. 31. itemque ad Gregor. Corinth. p 221. Sed tamen Lexicographi veteres et illam formam agnoscunt. De vocibus *πτοίησις πτοεῖσθαι κτλ.* diximus ad Plotin. de Pulcrit. pag. 205. 211 sq. Adde nunc Corajum ad Plutarchi Syllam p. 378 et in Supplem. annot. ad. Ser-

ὁρμῆς· καὶ συντρέχει πως ἀλλήλοις ἥ τε τῶν φορτικῶν ἀπαλλαγὴ καὶ ἡ περὶ φιλοσοφίαν πτοία· καθαρθεῖσαι γὰρ αἱ ψυχαὶ τῶν περικεχυμένων αὐτὰς ἐκ τῆς γενέσεως κακῶν, ἑαυτὰς ἑτοίμους ἀποτελοῦσι πρὸς τὴν μετουσίαν τῶν θείων ἀγαθῶν. Σκόπει δὴ καὶ κατὰ τὴν ἀναλογίαν ταύτην, οἵαν μὲν ἔχει τάξιν ὁ Ἀλκιβιάδης πρὸς τοὺς ἐραστάς, ὅπως δὲ εἰς τὴν τῶν προκειμένων θεωρίαν καὶ ταῦτα συντελεῖ. Σωκράτης μὲν γάρ, ἅτε ἔνθεος ὢν ἐραστὴς καὶ πρὸς αὐτὸ τὸ νοητὸν κάλλος ἀναγόμενος, τῷ νῷ τῆς ψυχῆς ἀνάλογον ἵδρυσεν ἑαυτόν. Τί γὰρ ἄλλο ἐστὶ τὸ τῷ νοητῷ συναπτόμενον, ἢ νοῦς καὶ πᾶν τὸ νοερὰν ἔχον ζωήν; τὸ δὲ ποικίλον καὶ πάνδημον τῶν ἐραστῶν φυγεῖν, αἰσθήσει καὶ φαντασίᾳ συμφερόμενον καὶ τῷ πολυκεφάλῳ θηρίῳ τῆς ψυχῆς ἐκδεδομένον, τὴν ἀνάλογον ἀποτυποῦται ζωήν· πᾶσα γὰρ ψυχὴ τοῦτό ἐστι τὸ μόριον, ὃ ζῇ καὶ κατὰ τοῦτο ἀφώρισεν ἑαυτήν. Μεταξὺ δέ πώς ἐστι τούτων ὁ Ἀλκιβιάδης σπαραττόμενος μὲν κάτωθεν ὑπὸ τῶν ἐμπαθῶν ἐραστῶν καὶ κατασπώμενος ἐπὶ τὴν χείρονα μοῖραν· ἄνωθεν δὲ ὑπὸ τοῦ Σωκράτους, ἑνὸς ὄντος, βοηθούμενος καὶ σωζόμενος ὑπ' αὐτοῦ καὶ προνοούμενος, μή τι πάθῃ πρὸς τῶν περιῤῥεόντων αὐτὸν ἐραστῶν. Ἀνάγκη τοίνυν κατὰ τὴν τῶν ἄκρων ἀναλογίαν καὶ τὸν Ἀλκιβιάδην ἐν ψυχῇ λογικῇ τάττειν, ἧς ἐξήρτητο μὲν ἔτι τὰ πάθη καὶ αἱ ἄλογοι δυνάμεις, οἷον ἐπιβουλεύουσαι τῇ λογικῇ ζωῇ, καὶ τιτανικῶς αὐτὴν ἐπιχειροῦσαι σπαράττειν· ὑπερίδρυται δὲ ὁ νοῦς ἀθηναϊκῶς ἀνέχων τὴν ἀπὸ

torium p. 502. — καθαρθεῖσαι] A καταθεῖσαι — σκόπει] B σκόπτει. — οἵαν] C οἶαν. — τὸ τῷ νοητῷ] B om. τό. — ἔχον ζωὴν] A ἔχων ζωήν. — ποικίλον] B et D ποικίλλον. — φυγεῖν] cett. omn. bene φῦλον, sed E nonnisi ex correctione. — συμφερόμενον καὶ] D συμφερομένων, omisso καί. — ἐκδεδομένον] B ἐκδεδομένου. De πολυκεφάλῳ θηρίῳ dicemus infra, ubi haec eadem similitudo explicatior invenitur. — ἀποτυποῦται ζωὴν] A F B et D addunt: καθ' ἣν καὶ χαρακτηρίζει τὴν ἑαυτοῦ ζωήν. — ὃ ζῇ] A B ᾧ ζῇ. D ᾧ (sic) ζῇ. — ὀφώρισεν] A add. μέν. — σπαρατ. μὲν] A et F om. μέν. — ὑπὸ τῶν ἐμπ.] B ἐπὶ τῶν ἐμπ. — κατασπώμενος] B κατασπόμενος. — ἑνὸς ὄντος] B ἐν. οὕτως. — ὑπ' αὐτοῦ] B ἐπ' αὐτῶν. — μή τι πάθῃ ...... ἐραστῶν] haec omissa sunt in cod. B. — πρὸς τῶν περιῤῥ.] D πρὸς τὸν περιῤῥ. — ἀνάγκη τοίνυν] C ἀνατοίνυν. — ἄκρων] A ἄλλων. — ἐξήρτητο] cett. ἐξήρτηται, sed E ut noster. — σπαράττειν] B .....ττει. Quid sit τιτανικῶς et Τιτανικὸν πλῆθος in Platonicorum scriptis, exposui in Praeparat ad Plotin. de pulcritud. p. XLIII sq. — ἀνέχων τὴν ἀπὸ

τῆς ῥοπῆς καὶ τῆς εἰς τὸ ἔνυλον φορᾶς. Ἀθηναϊκὸν γαρ τὸ σώζειν ἀμέριστον τὴν ζωήν· ἐξ οὗπερ Σώτειρα ἐπεκλήθη Παλλὰς Ἀθήνη· τιτανικὸν δὲ τὸ μερίζειν αὐτὴν καὶ προκαλεῖσθαι περὶ τὴν γένεσιν. Ὥςπερ τοίνυν ὁ νοῦς οὐκ ἀεὶ ταῖς ψυχαῖς ἑαυτὸν δείκνυσιν, ἀλλ' ὅταν ἀποσκευάσωνται τὸν πολὺν ὄχλον τὸν ἐκ τῆς γενέσεως προςφύντα, καθάπερ φησὶν ὁ Τίμαιος, οὕτω δὴ καὶ ὁ Σωκράτης τότε μεταδίδωσι τῷ νεανίσκῳ τῆς ἑαυτοῦ συνουσίας, ὅτε τῶν πολλῶν ἐραστῶν καὶ ὕστερον αὐτῶν περιστοιχισαμένων ἐλεύθερος γενόμενος, σχολὴν ἄγει φιλοσοφίας πέρι καὶ τῶν εἰς ταύτην ἄγειν δυναμένων. Καὶ καθάπερ ὁ νοῦς ἀεὶ μὲν ἐνεργεῖ περὶ ἡμᾶς καὶ δίδωσιν ἀεὶ τὸ τῆς νοήσεως φῶς, καὶ πρὶν εἰς ἀλογίαν ῥέψομεν καὶ ὅτε συζῶμεν τοῖς πάθεσι, καὶ κοιμισθέντων ἡμῖν ἤδη τῶν παθῶν· οὐκ ἀεὶ δὲ αὐτοῦ συναισθανόμεθα, ἀλλ' ὅταν τοῦ πολλοῦ κλύδωνος τοῦ γενεσιουργοῦ καθαροὶ γενώμεθα, καὶ ἐν γαλήνῃ τινὶ τὴν ἑαυτῶν ὁρμίσωμεν ζωήν· (τότε γὰρ ἡμῖν ὁ νοῦς ἐκφαίνεται καὶ οἷον φθέγγεται πρὸς ἡμᾶς, τότε καὶ μεταδίδωσι τῆς ἑαυτοῦ φωνῆς πρότερον σιγῶν καὶ ἡσυχῇ παρών.) οὕτω δὴ καὶ ὁ θεῖος ἐραστὴς καὶ πρὸ τῶν πολλῶν ἐραστῶν τῷ ἐρωμένῳ πάρεστι καὶ μετ' αὐτῶν καὶ ἐπ' αὐτοῖς, ἀλλὰ

. . . . . *ἀθηναϊκὸν*] haec omissa sunt in Cod. A. — cod. B habet *ἂν ἔχων* pro *ἀνέχων*. Cod. E *αὐτὴν* pro *τήν*. Bene. Lexica neque habent *Ἀθηναϊκὸς* neque adverbium — *κῶς*. Delectatur autem hac formâ inprimis Proclus. Sic, ut hoc utar, in Theolog. Platonicâ lib. V. cap. 35. p. 323. Fabric. unâ eâdemque paginâ ter offendas haec: *τοῖς Ἀθηναϊκοῖς συμβόλοις, τῆς Ἀθηναϊκῆς μονάδος, τὴν Ἀθηναϊκὴν μονάδα*. Nolo enim plura congerere. — *σώτειρα*] A *σώτηρ*. B et D *σώτειρ'*. C *σωτείραις*. Ad rem vid. Hesych. v. *Σώτειρα*. Pausan. Arcad. (VII.) 44, 4. p. 488. ed. Fac. T. II. coll. Mytholog. nostr. Vol. II. p. 740 sq., 770 seq. ibiq. laudatos, in his Proclum nostrum in hymn. in Minerv. vs. 33 seq. et Olympiodorum in Platonis Phaedon. qui ita: *Συναίρει δὲ (ἑαυτὴν ἡ ψυχὴ) δι' Ἀπόλλωνος καὶ τῆς Σωτείρας Ἀθηνᾶς καθαρτικῶς τῷ ὄντι φιλοσοφοῦσα*. — *προκαλεῖσθαι*] A et B *προςκαλ.* — *γενέσεως*] A B F et D add. *ὕστερον*. Locus Platonis est in Timaeo p. 42. c. Bip. T. IX. Bekk. III, 2. p. 45. — *εἰς ταύτην*] B *ἐκ ταύτης*. F *ἐκ ταύτην*. De verbo *περιστοιχίζειν* infra monebimus. — *ὁ νοῦς ἀεὶ μὲν*] F A B et D *ἀεὶ μὲν ὁ νοῦς*. Pergit h. l. Fic. p. 187. usque ad *ἡσυχῇ παρών*. — *τὸ τῆς νοήσ.*] B *τὶ τῆς νοήσ.*] — *συζῶμεν*] B *ζῶμεν*. — *συναισθανόμεθα*] C *συνεσθαν*. B *συνησθαν*. — *ἀλλ' ὅταν*] A *ἀλλ' ὅτε*. — *κλύδωνος*] B *κλήδωνος*. — *γαλήνῃ τινὶ*] C om. *τινί*. Mox Cod. E *ὁρμήσωμεν*, sed in marg. *ὁρμίσωμεν*. — *τῆς ἑαυτοῦ φων.*] *τῆς αὐτοῦ φων.* — *πρότερον*] B et D *κότερον*.

σιωπῶν καὶ ἠρεμῶν καὶ προνοῶν μόνον· ἐκείνων δὲ πεπαυμένων καὶ λόγου τῷ ἐρωμένῳ μεταδίδωσί καὶ συνουσίαν κοινὴν αὐτῷ προτείνει καὶ δείκνυσιν ἑαυτὸν, ὅςτις ἐστὶ καὶ ὅτι ὁ ἔρως αὐτῷ προνοητικός ἐστι καὶ ἀγαθοειδὴς καὶ ἀναγωγὸς, ἀλλ' οὐχ ὡς ὁ τῶν πολλῶν ἐκείνων μεριστὸς ἐραστῶν καὶ ἐνδεὴς καὶ ἔνυλος καὶ εἰδωλικός. Ἔστι μὲν οὖν καὶ διὰ ταύτης ὁδεύειν τῆς ἀναλογίας τὸν φιλοθεάμονα τῶν τοιούτων θεωρημάτων. ἔστι δὲ αὖ καὶ δι' ἧς ἔμπροσθεν εἴπομεν, δαίμονι μὲν ἀγαθῷ τὸν Σωκράτην προςεικάζοντα, τοῖς δὲ χθονίοις δαίμοσι καὶ ὑλαίοις τους πανδήμους ἐραστάς· τῷ δὲ τελουμένῳ τὸν νεανίσκον ἀποδιδράσκοντα μὲν τὸ καταγωγὸν ἔθνος τῶν δαιμόνων, προςάγοντα δὲ ἑαυτὸν τῷ ἀγαθῷ δαίμονι, κἀκείνῳ παραδιδόντα τὴν ὅλην διακυβέρνησιν τῆς ἑαυτοῦ ζωῆς. Εἰ δὲ δεῖ συνάπτειν τὰς ἐπιβολὰς ἀμφοτέρας, διττόν μοι νόει τὸν Ἀλκιβιάδην, καὶ ὡς ψυχὴν ἁπλῶς, καὶ ὡς ψυχὴν σώματι χρωμένην. Οὐ γάρ ἐστι ταὐτὸν τούτων ἑκάτερον· ὥςπερ οὐδὲ ὁ κυβερνήτης καὶ ὁ ἄνθρωπος καθ' αὑτὸ, οὐδὲ ὁ ἡνίοχος καὶ τὸ ὑποκείμενον· καὶ ὅλως τὸ ἀμέθεκτον ἕτερόν ἐστι τοῦ μεθεκτοῦ, καὶ τὸ καθ' αὑτὸ τοῦ μετ' ἄλλου συνθεωρουμένου, καὶ τὸ ἐξῃμμένον τοῦ πρὸς ἕτερόν τινα σύνταξιν λαχόντος. Ἐπειδὴ τοίνυν ὁ Ἀλκιβιάδης νοεῖται διχῶς· καὶ ὡς ψυχὴ, καθόσον μέν ἐστι ψυχὴ, τὴν τοῦ νοῦ σώζει πρὸς αὐτὸν ἀναλογίαν ὁ Σωκράτης, καθόσον δὲ σώματι χρωμένη ψυχὴ, τὴν τοῦ ἀγαθοῦ δαίμονος· καὶ ἔστιν ὁ αὐτὸς δαίμων μὲν ὡς πρὸς ἄνθρωπον, νοῦς δὲ

— ἑαυτὸν, ὅςτις ἐστὶ] B ἑαυτὸ, ὅτις ἐστι (sic). — ὅτι ὁ ἔρως] B ὅςτις ὁ ἔρως. — ἀγαθοειδὴς] D ἀγαθός. — μεριστὸς ἐραστῶν] cett. ἐραστῶν μεριστὸς, quod placet, necquidquam adversante Cod. E. Fortasse etiam ἐραστῶν glossatoris est, ab illis justo, ab hoc incommodo loco in contextum receptum. — ἐνδεὴς] B ἀνενδεής. — ὁδεύειν] A ὁδεύων. — ἔστι δὲ αὖ] cett. ἔστι δ' αὖ. Pergit Fic. p. 188. — Σωκράτην] C Σωκράτῃ. — τελουμένῳ] A τελειουμένῳ. — καταγωγὸν] τὼ ἀναγωγον (sic) cod. D. — δαιμόνων] A δαιμονίων. D δαιμονϊων (sic). — δὲ ἑαυτὸν] A B et D δὲ αὐτὸν. Τὴν διακυβέρνησιν adde Lexicis. — συνάπτειν] A et B καὶ συνάπτειν. — διττόν μοι] A διττὸν μόνον. — καθ' αὑτὸ] A B et D καθ' αὑτὸν. Bene. — ἡνίοχος] B τοῖχ. sic cum lacuna. — ἀμέθεκτον] C ἀναμέθεκτον. — καὶ τὸ καθ'] D καὶ τοῦ καθ'. — συνθεωρουμένου] A συνθεωρημένου. — καθόσον] A et D καθ' ὅσον. B καθόλως. C καθό. — σώζει] A et B σώζειν. — καθόσον δέ] cett. καθ' ὅσον δὲ, sed Cod. F καθόσον καί. — σώματι] B σώματα.

ὡς πρὸς ψυχήν. Ἐπεὶ καὶ ὅταν μὲν τὴν δαιμονίαν μεσότητα νοῶμεν, θεῶν αὐτὴν καὶ ἀνθρώπων μεταξὺ θεωροῦμεν, ὅταν δὲ νοῦν, ἐν τῷ ἀκροτάτῳ μὲν ψυχὴν ἐξάπτομεν αὐτοῦ καὶ τὸ σῶμα τῆς ψυχῆς. Καὶ ἔχεις τὴν ἑτέραν διαίρεσιν ἐν Συμποσίῳ· τὸ γὰρ δαιμόνιον ἐκεῖ πού φησι μέσον εἶναι θεῶν καὶ ἀνθρώπων· τὴν δὲ ἑτέραν ἐν Τιμαίῳ· νοῦ μὲν γὰρ καὶ σώματος ἡ ψυχὴ κατὰ τὸ μέσον ὑφέστηκεν. Δαίμων οὖν ὁ αὐτὸς καὶ νοῦς, ὡς μὲν ψυχῆς νοῦς, ὡς δὲ ἀνθροπίνης ψυχῆς δαίμων. Διὸ καὶ ἐνταῦθα περὶ ἀνθρώπου φύσεως ζητήσεως οὔσης, νοῦ μὲν οὐδὲ μία μνήμη γενήσεται, τῆς δὲ τοῦ δαίμονος προνοίας ὑπομνήσει τὸν νεανίσκον ὁ Σωκράτης, ποτὲ μὲν αὐτὸν δαίμονα προσαγορεύων, ποτὲ δὲ θεόν. Ἀλλὰ τούτου μὲν ἡ αἰτία εἰςαῦθις φανερώτερον ῥηθήσεται.

[ιε] Πάλιν δὲ ἐξ ἀρχῆς διαπορήσωμεν, τί ποτε τὸ αἴτιόν ἐστι, τὸν Ἀλκιβιάδην θαυμάζειν τὴν τοῦ Σωκράτους περὶ αὐτὸν σπουδὴν καὶ τὴν προσεδρίαν καὶ τὴν διαμονὴν τοῦ ἔρωτος τῶν ἄλλων πεπαυμένων, καὶ πῶς ὁ Σωκράτης καταστοχάζεται τῆς τοῦ νεανίσκου διανοίας; καὶ λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ ἀτελέστεροι τὰς σπουδὰς τῶν ψυχῶν καὶ τὰς ἐνεργείας τῷ μήκει τοῦ χρόνου παραμετρεῖν εἰώθασι, καὶ οὐχὶ τῇ τελειότητι τῆς ἐνεργείας· ἢ οὐκ ᾐσθόμεθα τῶν πολλῶν τῶν ἐν πλείονι χρόνῳ διδασκάλοις ὁμιλησάντων, τεχνίτην ἢ ἐπιστήμονα καλούντων ἐν τούτοις, περὶ ἃ τὸν χρόνον τοῦτον διατρίψας ἂν τύχῃ; καίτοι θαυμαστὸν οὐδὲν τὸν εὐφυέστερον

— τὴν δαιμονίαν] A τὴν δαιμονίας. — ἐν τῷ ἀκρ.] A ἐν ῷ ἀκρ. — συμποσίῳ] C συμπωσίῳ. Paulo ante pro τὴν ἑτέραν Cod. E τὴν μὲν ἑτέραν. Recte. Locus Platonis est Sympos. p. 202. d. Bip. T. X. Bekk. II, 2. p. 428. ed. Wolf. c. XXIII ib. Fischerus; alter in Timaeo p. 36. d. Bip. T. IX. Bekk. III, 2. p. 34. — νοῦ μὲν] A B et D om. μέν. — διὸ καὶ] A δὶς καί. Inde ab hoc loco Fic. omittit quinque pagellas. — ζητήσεως] cett. τῆς ζητήσεως, excepto E. — νοῦ μὲν] B νοουμένου. — οὐδὲ μία] A C E et D οὐδεμία. — μνήμη] B om. — τούτου μὲν] B τούτων μέν. Ita Cod. E a prima manu, sed secunda correxit τούτου.

Τὸν Ἀλκιβ.] cett. τοῦ τὸν Ἀλκ., (praeter Cod. F.) bene. — τὴν τοῦ Σωκρ] A B et D om. τοῦ. C τοῦ τὴν Σωκρ. — σπουδὴν] A σπονδὴν. B σπο^ου^νδήν (sic). — καὶ τὴν] B δὲ τήν. — προσεδρίαν] B F et D προσεδρείαν. — διαμονὴν] A δαιμονήν. — τῷ μήκει] B τὸ μέγα. — τῶν ἐν πλείονι] A B et D τὸν ἐν πλ. recte. — ὁμιλησάντων] A B D et F ὁμιλήσαντα. recte. — διατρίψας] D διατρίψα^ας^ντας (sic). — τύχῃ] A B F et D τύχοι. [Illud rectius videtur. Mathiae Gramm. §. 527.]

ἐλάττονος δεδεῆσθαι χρόνου καὶ πραγματείας εἰς τὴν ἑαυτοῦ τελείωσιν· ἀλλ' ὅμως οἱ τὸ εἶδος αὐτὸ καθ' ἑαυτὸ μὴ δυνάμενοι κρίνειν καὶ τὴν ἕξιν, ἀποχρῶν οἴονται κριτήριον ἑαυτοῖς ὑπὸ τῆς φύσεως δεδόσθαι χρόνον. Ἐπειδὴ οὖν οἱ πολλοὶ τὸν τρόπον τοῦτον ἕκαστα κρίνειν εἰώθασι, τὸ εἰκὸς ἦν καὶ τὸν Ἀλκιβιάδην θαυμάζειν τὸν Σωκράτην τοῦ ἔρωτος, ἐν πλείονι χρόνῳ περὶ αὐτὸν ἐσπουδακότα τῶν ἄλλων ἐραστῶν, τί ποτέ ἐστι τὸ κατ' αὐτὸν πρᾶγμα· καὶ τὸν Σωκράτη τὸ νεαροπρεπὲς αὐτοῦ τῆς φύσεως εἰδότα κατεστοχᾶσθαι τοῦ ἐν αὐτῷ θαύματος, εἰ καὶ αὐτὸς δι' ἄλλας αἰτίας καὶ τὴν πρώτην ἐπιδέδωκεν ἑαυτὸν τῇ περὶ αὐτὸν προνοίᾳ, καὶ μόνιμον διεφύλαξε τὸ ἐρωτικὸν ἦθος, καὶ οὐδέποτε καὶ νῦν ἀπήλλακται τοῦ ἔρωτος· τοὐναντίον μὲν οὖν ἄρχεται κατάδηλον ἑαυτὸν τῷ ἐρωμένῳ ποιῶν. Ἔτι τοίνυν ἑξῆς ἀναζητήσωμεν τὴν αἰτίαν, δι' ἣν ὁ μὲν ἀκόλαστος οὐκ ἂν ἀξιώσειεν ἑαυτόν ποτε τῆς τοῦ σώφρονος ἐπωνυμίας, οὐδέ γε ὁ ἄδικος, οὐδὲ ὁ δειλὸς, ὁ μὲν τῆς τοῦ ἀνδρείου προσηγορίας, ὁ δὲ τῆς δικαίου· οἱ δὲ φορτικοὶ περὶ τοὺς ἔρωτας καὶ διαπεπτωκότες τῆς τοῦ ἐπιτηδεύματος ὀρθότητος ἐραστὰ καλεῖσθαι βούλονται καὶ κοινωνεῖν τῆς αὐτῆς τοῖς ἐν-

— *πραγματείας*] C *πραγματίας*. — *τὴν ἑαυτοῦ*] B *τὴν αὐτήν*. D *τὴν αὐτοῦ*. — *καθ' ἑαυτὸ*] A B et D *καθ' αὐτό*. — *μὴ δυνάμ. κρίν καὶ τὴν ἕξιν*] cett. *καὶ τὴν ἕξιν μὴ δυναμ. κρίνειν*. Bene. — *ἑαυτοῖς ὑπὸ*] A F B et D *αὐτοῖς ὑπὸ*. Tum Cod. F *τὸν χρόνον*. — *τὸν τρόπον*] A *τῶν τρόπων τὸν τρόπον*. — *Σωκράτην τοῦ*] C *Σωκράτους* omisso *τοῦ*. Cod. E *Σωκράτη*, ut paulo inferius. — *χρόνῳ*] D *χρόνου*. — *Σωκράτην τὸ*] C *Σωκράτη* omisso *τὸ*. Proxime *τὸ νεαροπρεπὲς* abest a Lexicis. — *κατεστοχᾶσθαι*] A B et D *κατεστοχάσθαι*. Bene. — *καὶ αὐτὸς*] A *κ. αὐτά*. — *τῇ περὶ*] A et C *τῆς περί*. — *αὐτὸν*] A et B *αὐτοῦ*. — *ἄρχεται*] cett. *νῦν ἄρχεται*, praeter Cod. E. — *ποιῶν*] cett. *ποιεῖν*. [Recte; vertendum enim: *incipit se ostendere*. v. Math. Gr. §. 549.] — *ἀξιώσειεν*] A *ἀξιώσεν*. — *δικαίου*] cett. *τοῦ δικαίου*. — *ὀρθότητος*] B om. *καὶ διαπεπτωκότες τῆς τοῦ ἐπιτηδεύματος ὀρθότητος*. Rarior usus pro *ἐκπίπτειν* vel *ἀποπίπτειν*, nec Lexicographis, praeter unum Schneiderum, observatus. De alio usu verbi compositi consule Budaei Comm. L. Gr. p. 536. p. 665. et Wyttenbach. ad Platon. Phaedon. p. 206. Huc facit locus Aeschinis in Epistoll. Socratt. 22. p. 28 Orell. *καὶ οὐχ ὅτι ἐμοὶ μέλει, διότι μέλλοιμι διαπίπτειν τῆς δόξης περὶ τὴν σοφίαν*. „Neque solum id mihi curae est, *ne de opinione sapientiae*, quam mihi comparavi, *aliquid perdam*." Ita enim Aldum secutus recte edidit Orellius pro *περὶ τῆς δόξης*. — *ἐραστά*] cett. *ἐρασταί*, et ità legendum. — *τῆς αὐτῆς τοῖς*] B om. *αὐτῆς τοῖς*. D *τῆς αὐτῆς ...ς* (sic). F *τῆς ἑαυτῆς*. C *τῆς αὐτοῦ τοῖς*.

θέοις προςρήσεως, οἱ μὴ τῆς αὐτῆς προαιρέσεως κεκοινωνηκότες, ἀλλὰ καὶ ἐναντίως διακείμενοι πρὸς αὐτούς. Οἱ μέν γε πρὸς τὸ θεῖον καὶ τὸ φανὸν καὶ τὸ ἑνοειδὲς ἀνατείνουσι τοὺς ἐρωμένους, οὐδὲ πρὸς τὸ ἄθεον καὶ σκοτεινὸν καὶ σκεδαστὸν κατασπῶσιν αὐτῶν τὰς ψυχάς. Τάχα οὖν ἂν πρὸς τὴν ζήτησιν ταύτην εἰκότως ἀπαντῶμεν λέγοντες, οὕτω μὲν ἀκολάστῳ καὶ τῷ σώφρονι τέλος οὐκ ἔστι ταὐτὸν, ἀλλ' ὥςπερ αἱ ἕξεις αὐτῶν, οὕτω καὶ τὰ τέλη διέστηκε παντελῶς· τοῖς δὲ ἐρασταῖς ἅπασι ταὐτόν ἐστι τέλος, ἡ πρὸς τὸ καλὸν οἰκείωσις· ἀλλ' ἡ λήθη καὶ ἡ ἄγνοια τῶν πρώτως καλῶν περὶ τοῖς ἐνύλοις κάλλεσι τοὺς μοχθηροὺς ἐραστὰς ποιεῖ καταῤῥεῖν. Ὥςπερ τοίνυν καὶ τὸ ἔσχατον κάλλος τὴν αὐτὴν ἐπωνυμίαν ἔχει τῷ πρώτως καλῷ, καίτοι τῆς ἑαυτοῦ φύσεως ἐκστάν· (ἐν εἴδει γὰρ τὸ καλόν· τοῦτο δὲ τῷ ἀνειδέῳ καὶ τῷ αἰσχρῷ συμμιγές.) ὅσῳ δὴ καὶ ὁ τελευταῖος ἐραστὴς ὡςαύτως ἀξιοῖ τῷ πρώτῳ καλεῖσθαι, σύστοιχος ὢν τῷ ἐσχάτῳ κάλλει. Καὶ μὴν καὶ κατ' ἄλλον τρόπον ἴδοις ἄν τινα τῶν ὀνομάτων οὐκ ἀπεικυῖαν τὴν ἐν τούτοις ἔχοντα κοινωνίαν· ὁ μὲν γὰρ σώφρων καὶ ὁ ἀκόλαστος ἐναντιωτάτας ἕξεις ἔλαχον, καὶ κατὰ ταύτας ἐνεργοῦσιν· οἱ δὲ ἐρασταὶ, καθ' ὅσον παντός εἰσι μανικοὶ, ταὐτόν πως πεπόνθασι καὶ οἱ μὲν κατὰ τὸ κρεῖττον τῆς μανίας εἶδος, οἱ δὲ κατὰ τὸ χεῖρον νοοῦνται. Τῆς γὰρ μανίας ἡ μέν ἐστι σωφροσύνης κρείττων, ἡ δὲ ἀποπέπτωκεν ἀπ' αὐτῆς. καθὼς δὴ οὖν ἑκάτεροι διάκεινται μανικῶς

— προςρήσεως] B προςῤῥήσεως (sic). F mox καὶ κοινωνηκότες. Perperam. — αὐτῆς προαιρ.] B ἑαυτῆς προαιρ. — ἐναντίως] A ἐναντία. — φανὸν] B φανερὸν, et in marg. εἶχε φανόν. Plato in Sympos. p. 197. p. 62 Wolf. p. 50 Ast. p. 416. 417. — οὐκ ἴσμεν, ὅτι οὗ μὲν ἂν ὁ θεὸς οὗτος διδάσκαλος γένηται, ἐλλόγιμος καὶ φανὸς ἀπέβη. — οὐδὲ πρὸς] cett. οἱ δὲ πρὸς. Recte. — σκεδαστὸν] cett. τὸ σκεδαστόν, excepto Cod. E. — οὕτω μὲν] F A B E et D ὡς τῷ μὲν. C ὡς τὸ μὲν. Illud praestat. — τῶν πρώτως] A τῶν πρώτων. — τῷ πρώτως καλῷ] A B et D τῷ πρώτῳ καλῷ. — ἀνειδέῳ] Post parenthesin legendum videtur οὕτω δὴ καὶ pro ὅσῳ δὴ καί, ut respondeat voci ὥςπερ. — ἐραστὴς] B ἐραστὸς. D θεατής. — ἀξιοῖ] B ἀξιοῦ. — καλεῖσθαι] B ἐκκαλεῖσθαι. — ἴδοις] A εἴδοις. — τινα] B τινας. — ἀπεικυῖαν] A ἀπ' οἰκίας. B ἀπεικίας. — τὴν ἐν τούτ.] A et C τοῖς τὴν ἐν τούτοις. — κοινωνίαν] A κοινωνίας, C ἔχοντα κοινων. — ἔλαχον] A ἔλαχε. — καθ' ὅσον παντός] A B F et C παντὸς καθ' ὅσον. D om. παντός. Scribendum fortasse πάντως aut potius πάντες. — ταὐτὸν] B ταὐτά. — καὶ οἱ μὲν] A οἱ καὶ οἱ μὲν, B οἱ καί τισι μέν. F C et D εἰ καὶ οἱ μὲν. — κρεῖττον] A κρείττον. — καθὼς] D καθ' ὅσον. F A B et C καθόσον.

περὶ τὸ καλὸν, κοινωνοῦσι δὲ τῆς αὐτῆς ἐπωνυμίας. ὁ δὲ τρόπος τῆς μανίας ἐξηλλαγμένος καὶ τὸ καλὸν ἀδιάφορον ὂν τοὺς μὲν ἐνθέους ἐραστὰς ἀποτελεῖ, τοὺς δὲ φορτικούς. Ἔτι δὴ οὖν τὸ τρίτον λέγομεν, ὅτι τὰ θειότερα τῶν πραγμάτων, διὰ περιουσίαν δυνάμεως, καὶ τὰς ἀποπτώσεις ἑαυτῶν κατακοσμεῖ, καὶ δίδωσι καὶ ταύταις εἰδωλικήν τινα τῆς ἑαυτῶν ἰδιότητος ἔμφασιν. Ἡ μὲν οὖν σωφροσύνη τοῦτο δρᾷν εἰς τὴν ἀκολασίαν οὐ δύναται· ἡ δὲ ἔνθεος ἐρωτικὴ, θειοτέρα τῆς σωφροσύνης οὖσα, δίδωσί τι καὶ τῷ ἑαυτῆς εἰδώλῳ, καὶ ἀμυδρὸν ἴχνος εἰς αὐτὸ καταπέμπει, διὸ καὶ εἴδωλον λέγεται· κατὰ τοῦτο τοίνυν καὶ τῆς αὐτῆς ἐπωνυμίας μεταλαγχάνει· πανταχοῦ γὰρ τὰ εἴδωλα κοινωνεῖν τῆς προςηγορίας τοῖς ἑαυτῶν ἐφίεται παραδείγμασι. Ταῦτα καὶ πρὸς ταύτην ἡμῖν ἀποκεκρίσθω τὴν ζήτησιν. Εἴρηται δὲ καὶ πρότερον, ὅτι ὁ τῷ ὄντι ἐραστής ἐστιν ὁ ἔνθεος, ὥςπερ καὶ αὐτὸς ὁ Σωκράτης ἐ[illegible] προελθὼν, μόνον ἐραστὴν ἑαυτὸν ἀποφαίνων τοῦ Ἀλκιβιάδου διὰ τὴν περὶ τὸν ἀληθινὸν Ἀλκιβιάδην σπουδήν· αὐτὸς μὲν γάρ ἐστι τῆς ψυχῆς ἐραστής· οἱ δ' ἄλλοι ταύτης μὲν οὐδὲ προςεποιοῦντο· ἀμφὶ δ' ἄρ' εἰδώλῳ (φησὶν ἡ ποίησις) δήνυντο (sic) ἀλλήλους· διὸ δὴ καὶ εἴδωλον τῆς ἀκμῆς λῆγον ἰδόντες φροῦδον γεγόνασιν. Εἰ δὲ δὴ τὰ τού-

— *κοινωνοῦσι δὲ*] cett. om. *δὲ*, excepto E. Idem liber mox ex correctione exhibet *διάφορον* pro *ἀδιάφορον*, bene. In sequentibus ex eodem Cod. E recipiendum videtur *λέγωμεν*, quod manus correctoris mutavit in *λέγομεν*. — *ἀποτελεῖ*] B *ἀποτελεῖν*. — *ἔτι δὴ οὖν τὸ*] A et B *ἔτι οὖν δὴ* omisso *τὸ*. — *καὶ τὰς ἀποπτώσ.*] D om. *καὶ τὰς ἀποπτωσ.* cf. annot. ad cap. 8. Adde Theodoret. in Esaj. cap. 1. — *τὸ ἀπαλλοτριοῦσθαι τοῦ θεοῦ διὰ τῆς ἐπὶ τὸ χεῖρον ἀποπτώσεως.* Nostro autem loco *αἱ ἀποπτώσεις* sunt ipsae naturae inferiores a superioribus profectae, sive entia superne delapsa. De Platonis usu vocis *ἴχνος* dixi ad Plotin. de pulcr. p. 166. — *καὶ ταύταις*] A *καὶ ταύτας*. — *ἡ μὲν οὖν σωφρ.*] C *ὁ μὲν οὖν σωφρ.* — *τοῦτο δρᾷν*] C *τῇ τὸ δρᾷν*. — *τοῖς ἑαυτῶν*] A et F *τῆς ἑαυτῶν*. — *ὁ τῷ ὄντι*] C et D om. *ὁ*. — *ἀποφαίνων*] B *ἀποφαίνεται*. Cod. F non habet *ἑαυτόν*, idemque mox post *ψυχῆς* omittit *ἐραστής*. — *διὰ τὴν περὶ .... Ἀλκιβιάδην*] haec omissa sunt in cod. B. — *ἄλλοι ταύτης*] cett. *ἄλλοι ταύτην*. bene. — *μὲν οὐδὲ*] B *μένοντες δέ*. — *δήνυντο*] A et C *δήουν*. B *δὴ οὖν*. D *δηϊουν*. Cod. E *δήνυν*. Scribendum *δήουν*. Ita enim est apud Homerum Il. ε, 451. sq. unde hoc depromsit Noster. Cod. F exhibet *ἀλλήλοις*. Apud Homerum est *ἀλλήλων* (*ἀσπίδας*). — *διὸ δὴ καὶ*] AB et D *διὸ καὶ τὸ*, omisso *δή*. — *φροῦδον*] cett. omn. *φροῦδοι*, et ita scribendum. Ad sententiam confer Platonis Symposium p. 183. p. 24 Ast. p. 391 Bekker. — *εἰ δὲ δὴ*] cett. *εἰ δὲ δεῖ*. recte.

των ἀληθέστερα φάναι εὐθὺς τῶν πρώτων συλλαβῶν, μόνον ἑαυτὸν ἐραστὴν Ἀλκιβιάδου δείκνυσιν ὁ Σωκράτης· εἰ γὰρ ἤρξατο πρὸ τῶν ἄλλων, τηνικαῦτα δῆλον, ὅτι μόνος οὗτος ἐραστής· καὶ εἰ πεπαυμένων ἐκείνων αὐτὸς ἔτι περιέπει τὸν ἔρωτα, μόνος ἂν εἴη καὶ νῦν ἐραστής· εἰ δὲ καὶ ἐκείνων παρόντων ὁ τρόπος τοῦ ἔρωτος διάφορος ἦν, καὶ οἱ μὲν ἠνώχλουν τὸν νεανίσκον, ὁ δὲ, οἷον ἔφορός τις αὐτοῦ δαίμων ἢ θεὸς, ἔξωθεν προὐνόει, καὶ τότε δηλαδὴ μόνος ἦν ἐραστής. Τὸ δὲ αἴτιόν ἐστι τούτων, ὅτι πᾶν τὸ ἐξῃρημένον ἐν ἑκάστῃ φύσει τῶν ὄντων μόνον ἐστὶ, κἂν ᾖ τι μετ᾽ αὐτὸ πλῆθος· καὶ γὰρ τοῦτο τὸ πλῆθος, εἴ τι ἀγαθὸν ἔχει, διὰ τὴν ἐκείνου ἕνωσιν ἔλαχεν· εἰ δέ τι συντεταγμένον εἴη πρὸς ἄλλο, τοῦτο οὔτε εἶναι μόνον οὔτε λέγεσθαι δύναται. Καὶ οὖν καὶ ὁ Σωκράτης μόνος ἐστὶν ἐραστὴς, ὡς τοῦ πλήθους ἐξῃρημένος τῶν πανδήμων ἐραστῶν· οὐ γάρ ἐστι τούτοις ἢ σύνταξις πρὸς ἐκεῖνον, ἢ σχέσις διὰ τὴν ὁμοιότητα. Ἔστι μὲν οὖν καὶ ἐν τῷ παρόντι μόνος ὁ Σωκράτης Ἀλκιβιάδου διὰ τούτων ἀποδεδειγμένος· τῷ δὲ νεανίσκῳ μικρὸν ὕστερον ὀφθήσεται καὶ ἑαυτὸν κατιδόντι καὶ τὰ ἑαυτοῦ. Τότε γὰρ δυνήσεται διακρίνειν, τί μὲν παράδειγμα, τί δὲ εἴδωλον, καὶ τί μὲν τὸ πεπλασμένον, τί δὲ τὸ ἀληθινὸν τοῦ ἔρωτος· καὶ τίς μὲν ὁ ψευδώνυμος ἐραστὴς, ἀλλοτρίῳ κοσμούμενος ὀνόματι, τίς δὲ ὁ θεῷ προςῆκον, οὗπέρ ἐστιν ἐπώνυμος. Ταῦτα καὶ περὶ τούτων εἰρήσθω.

[ις.] Φέρε δὲ, (Cod. F. δή bene.) εἰ βούλει, πάλιν ἐπανελθόντες ἐπὶ τὸν ἔρωτα τῶν ἀποῤῥητοτέρων ἁψώμεθα περὶ αὐτοῦ

συλλαβῶν] C συλλογισμῶν. — ἑαυτὸν ἐραστ.] B αὐτὸν ἐρ. — τηνικαῦτα δηλονότι] A et B δῆλον ὅτι τηνικαῦτα. D δηλονότι τηνικαῦτα. — μόνος οὗτος] A B et D μόνος ἦν, omisso οὗτος. — τὸν ἔρωτα] cett. τὸν ἐρώμενον, quod praestat. — καὶ νῦν] B om. — ὁ δὲ οἷον] A et B οἱ δὲ οἷον. — δαίμων] C δαιμόνων. — κἂν] C καὶ. — μετ᾽ αὐτὸ] A B F et D μετ᾽ αὐτοῦ. — εἰ δέ τι] A εἴ τι. — ἢ σύνταξις] F ἡ σύνταξις. — ὁ Σωκρ.] C om. ὁ. — ὡς τοῦ πλήθ.] B ἐκ τοῦ πλ. — ἐκεῖνον] A ἐκείνους, C ἐκείνων. — διὰ τὴν ὁμοιότητα] F A et C διὰ τὴν πρὸς αὐτοὺς ἀνομοιότητα. B et D διὰ τὴν πρὸς αὐτὸν ἀνομοιότητα, quod non displicet. — τῷ δὲ νεανισκ.] A om. δὲ. — κατιδόντι] D κατίδοντα. — τότε γὰρ] A τοῦτο γάρ. — πεπλασμένον] C πεπλανημένον. — ἔρωτος ..... ἀλλοτρίῳ] haec omissa sunt in cod. B. — ὀνόματι] B ὀνόματος. — ὁ θεῷ] A C E et D ὁ τῷ θεῷ. Bene. B ὁ τῶν θεῶν. — προςῆκον] cett. προςήκων, uti scribendum est.

λόγων. Τὸν τοίνυν θεὸν τοῦτον οὔτε ἐν τοῖς πρώτοις τῶν ὄντων, οὔτε ἐν τοῖς ἐσχάτοις τάττειν ἀξιωτέον· ἐν τοῖς πρώτοις μὲν γὰρ οὐκ ἔστι, διότι τὸ ἐραστὸν ἐπέκεινα τοῦ ἔρωτός ἐστιν· ἐν δὲ τοῖς ἐσχάτοις οὐκ ἂν ἐν δίκῃ τάττοιτο, διότι τὸ ἐρῶν μετέχει τοῦ ἔρωτος. δεῖ τοίνυν αὐτὸν ἐν μέσῳ τοῦ τε ἐραστοῦ καὶ τῶν ἐρώντων ἱδρῦσθαι, καὶ τοῦτο μὲν καλῶς δεύτερον εἶναι, τῶν δὲ ἄλλων πρῶτον. Ποῦ δὴ οὖν ὑπέστη τὴν πρώτην, καὶ πῶς ἐπὶ πάντα πρόεισι καὶ μετὰ τίνων ἐξέθορε μονάδων; Τρίτων τοίνυν ἐν τοῖς νοητοῖς καὶ κρυφίοις θεοῖς ὑποστάσεων οὐσῶν καὶ τῆς μὲν πρώτης τῷ ὀγαθῷ χαρακτηριζομένης, τἀγαθὸν αὐτὸ νοοῦσα, ὅπου πατρικὴ μονάς ἐστι, τὸ λόγιόν φησι. τῆς δὲ κατὰ τὸ σοφὸν, ὅπη καὶ ἡ πρώτη νόησις· τῆς δὲ κατὰ τὸ καλὸν, ὅπου καὶ τὸ τῶν νοητῶν ἐστι κάλλιστον, ὡς ὁ Τιμαίου λόγος. Τρεῖς κατὰ ταύτας τὰς νοητὰς αἰτίας ὑφίστανται μονάδες· κατ' αἰτίαν μὲν ἐν τοῖς νοητοῖς οὖσαι καὶ ἑνοειδῶς, ἐκφαινόμεναι δὲ πρώτως ἐν τῇ ἀφθέγκτῳ τάξει τῶν θεῶν, πίστις καὶ ἀλήθεια καὶ ἔρως· ἡ μὲν ἑδράζουσα τὰ πάντα καὶ ἐνιδρύουσα τῷ ἀγαθῷ, ἡ δὲ ἐκφαίνουσα τὴν ἐν τοῖς οὖσιν

— *θεὸν τοῦτον*] C *θεὸν τούτων.* Pergit h. l. Fic. p. 189. Quid sibi velit Fic. incipiens: Amorem *domini* neque in primis entium etc. non liquet: nisi forte scripsit *daemonem.* — *ἐν τοῖς*] B *εν ταῖς* (superscr. *οῖς*) (sic). — *διότι τὸ ἐραστὸν*] B *διὸ τὸ ἐρ.* — *τοῦ τε ἐραστοῦ*] C *τοῦ πέραστοῦ* (sic.). — *ἐρώντων*] B om. — *ἱδρῦσθαι*] A *ἱδρύσθαι.* bene. D *ἱδρυσθαι* (sic). — *καλῶς*] Cett. omn. *καλοῦ*, excepto Cod. E Fic.: et ipso quidem *pulcro* posteriorem, legit igitur: *καὶ τοῦ μὲν καλοῦ δ.* quod probo. — *ἐπὶ πάντα*] A *ἐπὶ πάντων.* — *ὑποστάσεων*] D *ὑποστασίων.* — *νοοῦσα*] F A B et D *νοούσης.* recte. Haud difficulter hoc quoque *λόγιον* in hexametri formam posset restitui, nisi ipse Proclus eam dissolvisse videretur. Voces extremas: *ὅπου πατρικὴ μονάς ἐστι*, ut ex Psello depromtas, quasi primum oraculorum Zoroastris versum edidit F. Patricius. Vid. Clerici Opera philos. p. 304. T. II. et notam nostram p. sq. — *ὅπη*] cett. *ὅπου.* Laudatur in margine Cod. E. Theol. Plat. p. 56. 61 et p. 160. ed. Hamburg. 1618. — *ὁ Τιμαίου*] cett. *ὁ τοῦ Τιμαίου*, sed E. ut noster. Locus est in Platonis Timaeo p. 30. d. Bip. T. IX. Bekk. III, 2 p. 26. — *Τρεῖς κατὰ*] F A B et D *καὶ τρεῖς κατὰ*, quod placet, et a Ficino lectum esse videtur; C *ά τρεῖς κατὰ.* — *μονάδες*] B *μονάδας.* — *κατ' αἰτίαν*] A *κατ' αἰτίας.* — *οὖσαι*] A. *οὖσα*, B *οὖσαν.* — *ἐνιδρύουσα*] A *ἐνιδρύζουσα.* B *ἐνιδρύσα.* Cod. E in margine huic loco adscriptum habet: Theol. Plat. p. 63. princ. et p. 61. Hamb. Videlicet lib. I. cap. 24. 25. Et est ille potissimum locus nostri loci geminus. — Proxime *ἑδράζουσα.* Similiter Noster in Platon. Cratyl. fol. 132 vers. — *πάντα ἑδράζουσα ἐν ἑαυτῇ.* — *τὴν ἐν τοῖς*] A *τὸν ἐν τοῖς.*

ἅπασι γνῶσιν, ὁ δὲ ἐπιστρέφων πάντα καὶ συνάγων εἰς τὴν τοῦ καλοῦ φύσιν· καὶ ἡ τριὰς αὕτη πρόεισιν ἐντεῦθεν ἐπὶ πάντας τοὺς θείους διακόσμους, καὶ πᾶσιν ἐπιλάμπει τὴν πρὸς τὸ νοητὸν ἕνωσιν. Ἄλλως δὲ κατ' ἄλλας ἐκφαίνεται τάξεις δυνάμεις· οὗ μὲν γὰρ, ὡς εἴπομεν, ἀῤῥήτως ἐστὶ καὶ ἀγνώστως καὶ ἑνιαίως, οὗ δὲ καὶ συνεκτικῶς, οὗ δὲ καὶ συνδετικῶς, οὗ δὲ τελειωτικῶς καὶ μορφωτικῶς, καὶ οὗ μὲν νοερῶς καὶ πατρικῶς, οὗ δὲ κινητικῶς καὶ ζωογονικῶς καὶ ποιητικῶς, καὶ οὗ μὲν ἡγεμονικῶς καὶ ἀφομοιωματικῶς, οὗ δὲ ἀπολύτως καὶ ἀχράντως, οὗ δὲ πεπληθυσμένως καὶ διῃρημένως. Ἄνωθεν οὖν ὁ ἔρως ἀπὸ τῶν νοητῶν μέχρι τῶν ἐγκοσμίων φοιτᾷ, πάντα ἐπιστρέφων ἐπὶ τὸ θεῖον κάλλος, καὶ ἡ ἀλήθεια φωτίζουσα ταῖς γνώσεσι τὰ ὅλα, καὶ ἡ πίστις ἱδρύουσα τῶν ὄντων ἕκαστον ἐν τῷ ἀγαθῷ· πάντα γὰρ ἐν τρισὶ τοῖςδε, φησὶ τὸ λόγιον, κυβερνᾶται καὶ ἔστι· καὶ διὰ τοῦτο καὶ τοῖς θεουργοῖς

— ἅπασι] A et C ἅπασιν. F B et D ἅπασαν. — πάντα καὶ] B πάντως καί. — Similiter Maximus Tyrius Dissert. XXIV. p. 458 Reisk. τὴν τοῦ καλοῦ φύσιν appellat quod continuo dicit τὸ καλόν. De qua periphrasi Platoni ac Plotino aliisque Platonicis frequentatâ plura posui ad Plotin. de pulcr. p. 139 sq. — πρόεισιν] C πρόησιν. — ἐστὶ καὶ ἀγν..... ἑνιαίως] haec omissa sunt in cod. B. Cod. F exhibet ἑνιαίσω. Post hoc vocabulum statim sequitur οὗ δὲ κινητικῶς, omissis omnibus, quae in aliis libris interponuntur. — καὶ συνεκτ.] A B et D om. καὶ itemque οὗ δὲ post συνεκτικῶς. — συνδετικῶς] C συνδεκτικῶς. Male. Gregorius Nazianz. orat. funebr. in Basil. magn. p. 81 Basil. — καὶ ὅσῳ πλέον αὐτοῖς τὸ κάλλος φαντάζεται, τοσούτῳ μᾶλλον ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς. Vid. etiam in sequentibus ap. Nostrum: συνδετικὸς γάρ ἐστι τῶν διῃρημένων. — πατρικῶς] B addit: ἐστὶ καὶ ἀγνώστως. Mox Cod. F ζωογονητικῶς pro ζωογονικῶς. quod, si probum est (cf. Procl. Inst. Theol. Sect. 155.) addendum Schneideri Lexico. — καὶ ποιητικῶς] C om. — ἀφομοιωματικῶς] B ἀφ' ὁμοιωτικῶς. D ἀφομοιωτικῶς. Aut hoc aut lectio nostri Cod. probanda. Neutrum vero vocabulum est in Lexicis. — μέχρι] B μέχρι καί. — φοιτᾷ] C φοιτῷ. — πάντα] B παντί. — ἐν τῷ ἀγαθῷ] C om. ἐν. — τρισὶ] A τρίσι. B et C τρισίν. — κυβερνᾶται] A B et D addunt τε, et hoc addendum; est enim versus hexameter:

πάντα γὰρ ἐν τρισὶ τοῖςδε κυβερνᾶταί τε καὶ ἔστιν.

Hoc λογίῳ augeri possunt τὰ τοῦ Ζωροάστρου λόγια, quae post Fr. Patricium et Th. Stanlejum edidit Jo. Clericus in Opp. Philosophicis T. II. pag. 304—359. Ed. Jenichen. Lips. 1710. — Ceterum his Platonicorum philosophorum oraculis oraculum aliud in hac ipsâ quaestione opponit scriptor anonymus in Cod. Darmstad. mscr. — ἐκ μὲν γὰρ ἀρχῆς πάντα γεγέννηται ὡς τὰ ἱερά φασι λόγια· καὶ οὐχ ἕτερον ἀφ' ἑτέρου ὡς τὰ Πορφυρίου καὶ Ἰαμβλίχου ληροῦσι περὶ τῶν προόδων συντάγματα. Reliqua de Proclo supra jam attigimus.

οἱ θεοὶ παρακελεύονται δια τῆς τριάδος ταύτης ἑαυτοὺς τῷ θεῷ συνάπτειν. Τὰ μὲν οὖν νοητὰ διὰ τὴν ἄφραστον ἕνωσιν οὐ δεῖται τῆς ἐρωτικῆς μεσότητος· ὅπου δὲ ἡ διάκρισις τῶν ὄντων, ἐκεῖ καὶ ὁ ἔρως μέσος ἐξέφηνε· συνδετικὸς γάρ ἐστι τῶν διῃρημένων, καὶ συναγωγὸς τῶν τε μετ' αὐτὸν καὶ τῶν πρὸ αὐτοῦ, καὶ ἐπιστρεπτικὸς ἐπὶ τὰ πρῶτα τῶν δευτέρων, καὶ ἀναγωγὸς καὶ τελεσιουργὸς τῶν ἀτελεστέρων. Κατὰ τοῦτον δὴ καὶ ὁ θεῖος ἐραστὴς τὸν ἑαυτοῦ θεὸν, ᾧ κάτοχός ἐστιν, ἅπαντας ἀνάγει τοὺς εὖ πεφυκότας, τελειοῖ τοὺς ἀτελεῖς, ἐπιστρέφει τοὺς σωθῆναι δεομένους. Ὁ δὲ ἕτερος πᾶν τοὐναντίον δρᾷ· καθέλκει τὰς ψυχὰς εἰς τὸ βάθος τῆς ὕλης, ἀποστρέφει τοῦ θείου, φέρει πρὸς τὰ τῆς πλάνης καὶ ἀγνοίας καὶ εἰδώλων παντοδαπῶν ἀναπίμπλησι τὴν τοῦ ἐρωμένου ψυχὴν, οὐ τῷ θείῳ πυρὶ παραδοὺς ἑαυτὸν, ἀλλὰ τῇ ἐνύλῳ καὶ γενεσιουργῷ θέρμῃ καὶ τῷ σκότει τῆς ὕλης.

[ιζ.] „Καὶ ὅτι οἱ μὲν ἄλλοι δι' ὄχλου ἐγένοντο ὅσον δια-„λεγόμενοι· ἐγὼ δὲ τούτων ἐτῶν οὐδὲ προςεῖπον." (p. 103. a. — B. p. 299.)

Δύο ταῦτα στοιχεῖα διαφερόντως εἶναί φασιν οἱ τῶν λόγων ἀκριβέστεροι τῆς τε θείας καὶ τῆς δαιμονίας εἰς τὰ δεύτερα προνοίας· τό,τε διὰ πάντων αὐτὴν διήκειν ἄνωθεν ἄχρι τῶν ἐσχάτων, μὴ δὲ τὸ σμικρότατον ἄμοιρον ἑαυτῆς ἀπολείπουσαν,

— *παρακελεύονται*] B *παρακελεύδονται* (sic.) — *ὅπου δὲ*] A F B et D addunt: *ἡ ἕνωσις καὶ*, et ita legit etiam Ficinus. C om. *ἕνωσις καὶ* spatio vacuo interjecto. — *μέσος ἐξέφηνε*] haec om. F A B et D. — Neque hoc in libro suo Fic. habuit. — *κατὰ τοῦτον*] A B et D *κατὰ τὰ αὐτά.* — *ἐραστὴς*] A F B et D addunt *μιμούμενος.* Idem habet E in margine, ut mox ibidem *ἀποσπᾷ καὶ* addat ante *ἅπαντας*, quod in contextu legitur. Placent haec. Ficinus cum omiserit inde a verbis *κατὰ τοῦτον* usque ad *σκότει τῆς ὕλης* omnia, quid legerit, dici non potest. — *ἅπαντας*] A F B et D *ἀποσπᾷ καὶ.* — *ἐπιστρέφει*] A B et D *ἐπιτυχεῖς ποιεῖ.* — *φέρει πρὸς τὰ τῆς πλ.*] A B F et D *ἐμπιπλῶν πλάνης.* — *σκότει*] D *σκότῳ.*

*Ὅσον διαλ.*] F A B et D *σοι διαλ.* C *ὅσοι διαλ.* Illud *σοι* est in editis. — *τούτων ἐτῶν*] cett. *τοσούτων*, recte. Sed E nonnisi a secunda manu. — *οὐδὲ προςεῖπον*] B *οὐ προςεῖπον.* — *τῆς τε θείας*] C *τῆς θείας.* — *εἰς τὰ δεύτερα*] B om. *εἰς τὰ.* — *τό,τε*] B et D *τότε.* — *ἄχρι*] A B F et D *μέχρι.* — *μὴ δὲ*] F A et D *μηδὲν.* D *μηδὲ.* Bene. — *σμικρότατον*] B *σμικὸν.* D. :: *μικρότατον* (sic). Cod. E in margine: Cf. Theol. p. 122. — *ἄμοιρον*] B. om. — *ἀπολείπουσαν*] A et B

καὶ τὸ μηδὲ ἓν τῶν διηκουμένων εἰςδέχεσθαι, μηδὲ ἀναπίμπλασθαι τῆς φύσεως αὐτῶν, μηδὲ συμφέρεσθαι πρὸς αὐτά. Οὔτε γὰρ δια τὸ πάντα σώζειν καὶ πάντα κοσμεῖν ἀναμίγνυται τοῖς προνοουμένοις· (οὐδὲ γὰρ πάσχειν τὸ θεῖον καὶ τὸ δαιμόνιον πέφυκε τὰ πάθη τῶν μερικῶν ψυχῶν·) οὔτε διὰ τὴν χωριστὴν τῶν δευτέρων ἁπάντων ὑπεροχὴν καταλείπει τι τῶν χειρόνων ἄτακτον καὶ ἀκόσμητον· ἀλλ' ὁμοῦ καὶ πάντα διατάττει δεόντως καὶ τῶν ταττομένων ἐξήρηται, καὶ ἔστιν ἀγαθοειδὴς ἅμα καὶ ἄχραντος καὶ κοσμητικὴ τῶν ὅλων καὶ ἄσχετος πρὸς τὰ κοσμούμενα ὑπ' αὐτῆς, χωροῦσά τε διὰ πάντων καὶ ἀμιγὴς πρὸς πάντα. Ταύτην δὴ οὖν τὴν δαιμονίαν τε καὶ θείαν πρόνοιαν ὁ Πλάτων ἐνεργῶς καὶ τῇ Σωκράτους περιτίθησιν ἀγαθοεργῷ τῶν ἀτελεστέρων προμηθείᾳ, ὁμοῦ μὲν ἄγρυπνον αὐτὴν περὶ τὸν ἐρώμενον διαφυλάττων καὶ μόνιμον καὶ μηδένα καιρὸν παραλειποῦσαν τῆς περὶ αὐτὸν σπουδῆς, ὁμοῦ δὲ ἄσχετον καὶ ἀμιγῆ καὶ ἄχραντον καὶ ἀνέπαφον τῶν περὶ αὐτόν· Τὸ μὲν οὖν καὶ πρῶτον τοῦ ἔρωτος ἄρξασθαι καὶ τὸ τῶν ἄλλων πεπαυμένων αὐτὸν μὴ ἀπαλλάττεσθαι, τὸ κηδεμονικὸν τοῦ Σωκράτους καὶ φρουρητικὸν τῆς τοῦ νεανίσκου ζωῆς ἱκανῶς ἡμῖν παρέστηκε· τὸ δέ γε παρόντα καὶ συνεξεταζόμενον αὐτῷ μηδὲ προσειπεῖν, τεκμήριον ἔστω σοι τῆς ἀσχέτου καὶ ἐνεργοῦς πρὸς τὸ χεῖρον ἐπιμελείας. Πρώτη γάρ ἐστι σχέσις

*ἀπολείπουσα.* — *ἓν τῶν διηκουμένων*] A et F *ἓν ἐκ τῶν διηκ.*. B *ἓν τῶν διηρουμένων.* C et D *ἓν ἐκ τῶν διοικουμένων.* E *ἓν τῶν διοικουμένων.* Fic. legit ut est in Codd. C et D. Bene. — *αὐτῶν, μηδὲ*] B *αὐτῶν, μή.* — *συμφέρεσθαι*] C et D *συμφύρεσθαι*, quod probum est et legit Ficinus, vertens *commisceri.* — *γὰρ διὰ*] A et B om. *γάρ.* C *γὰρ τὸ διά.* — *τὸ πάντα*] B *τὸ πάντων.* — *οὔτε διὰ*] A *οὐδὲ διὰ.* C *ἅτε διὰ.* — *δευτέρων ἁπαντ.*] D inverso ordine. — *καὶ πάντα*] cett. add. *διὰ ταῦτα*, excepto E. Sed legit has voces etiam Fic. — *διατάττει*] B *διατάττεται* [ει] (sic.) — *δεόντως*] B *δὲ οὕτως.* — Mox Cod. E a prima manu *ἐξήρτηται*, quod correctum est in *ἐξήρηται.* — *ἀγαθοειδὴς ἅμα*] A B et C om. *ἅμα*, neque vero Fic. — *θείαν*] A *θεῖαν.* Statim Codd. E et F *ἐναργῶς.* Bene. Omisit inde a vocibus *Ταύτην δὲ* Fic. pagellam. — *καὶ τῇ*] B *καὶ τῆς.* — *ἀγαθοεργῷ*] F A C et D *ἀγαθουργῷ.* B *ἀγαθουργίας.* — *διαφυλάττων*] F A B et D *φυλάττων.* — *παραλειποῦσαν*] Ita etiam E. Sed A C et D *παραλείπουσαν*, recte. B *παραλείπουσα.* — *τῶν περὶ αὐτόν*] F A B et D om. *τῶν.* — *καὶ τὸ τῶν*] F A B et D om. *τό.* — *μὴ ἀπαλλάττ.*] B om. *μή.* — *παρέστηκε*] cett. *παρέστησε*, excepto E. — *ἐνεργοῦς*] F A B et D *ἀμιγοῦς.* C *ἐναργοὺς* (sic). Cod. E *ἐναργοῦς.* Bene. — *γάρ ἐστι*] B *γὰρ ἔτι.* — *σχέσις ἀν-*

ἀνθρώπου πρὸς ἀνθρώπους ἡ πρόςρησις· τὸ τοίνυν μηδὲ κατὰ ταύτην τῷ προνοουμένῳ συνάπτειν ἑαυτὸν, ἐξῃρημένον αὐτὸν ἀποφαίνει καὶ ἄσχετον πρὸς τὸ χεῖρον. ἅμα δὴ οὖν καὶ πάρεστιν αὐτῷ καὶ οὐ πάρεστι, καὶ ἐρᾷ καὶ ἄσχετός ἐστι καὶ πανταχόθεν αὐτὸν θεᾶται καὶ οὐδαμοῦ συντάττεται πρὸς αὐτόν. Εἰ δὴ ταῦτα τοῦτον ἔχει τὸν τρόπον καὶ ἐπὶ τῶν θείων ἀνδρῶν, τί χρὴ φάναι καὶ περὶ αὐτῶν τῶν θεῶν ἢ περὶ ἀγαθῶν δαιμόνων; οὐχ ὡς πᾶσι παρόντες ἐξῄρηνται πάντων, καὶ πάντα πεπληρωκότες ἑαυτῶν, ὅμως εἰσὶν ἄμικτοι πρὸς πάντα, καὶ πανταχοῦ διήκοντες, οὐδαμοῦ τὴν ἑαυτῶν κατέταξαν ζωήν; Τί δ' ἂν εἴπομεν περὶ τῶν λεγομένων θεῶν, ἐρᾷν τῶν οἰκείων γεννημάτων; ὥςπερ οἱ μυθοπλάσται ποιοῦσιν ἢ τῆς Κόρης ἢ αὐτῆς τῆς Ἀφροδίτης ἐρῶντα τὸν Δία. Οὐχ ὅτι προνοητικός ἐστιν ὁ τοιοῦτος ἔρως καὶ σωστικὸς τῶν ἐρωμένων καὶ τελειωτικὸς αὐτῶν καὶ συνεκτικὸς; οὐχ ὡς ἄσχετος καὶ ἀμιγὴς καὶ ἀγαθοειδὴς καὶ ἄχραντος; ἢ πόθεν ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς τοῦ τοτὸ ἐρωτικὸν ἰδίωμα μὴ πρότερον ἐν αὐτοῖς προϋπάρχον τοῖς θεοῖς; Πᾶν γὰρ ὅ,τί περ ἂν ἀγαθὸν καὶ σωτήριον ἐν ταῖς ψυχαῖς ᾖ, τὴν αἰτίαν ἀπὸ τον θεῶν ὡρισμένην ἔχει. Διὸ καὶ τῶν ἀρετῶν καὶ τῶν σωματικῶν ἀγαθῶν ἐκεῖ προϋπάρχειν τὰ παραδείγματα, φησὶν ὁ Πλάτων, οἷον ὑγιείας, ἰσχύος, δικαιοσύνης, σωφροσύνης· πόσῳ δὴ μᾶλλον τῆς ἐρωτικῆς ἐν θεοῖς εἶναι τὴν πρωτουργὸν αἰτίαν ὑποθησόμεθα

θρώπου] cett. praeter Cod. E *σχέσις ἀνθρώπων* et in marg. Cod. D *πρώτη σχέσις ἀν ων πρὸς ἀν ους ἡ πρόςρησις.* — *τὸ τοίνυν*] A et B *τοῦ τοίνυν.* — *τῷ προνοουμένῳ*] B *τῶν προνοουμένων.* — *ἐξῃρημένον*] A *ἐξῃρημένω.* B .....*ου.* C ......*ων.* cett. omn. addunt *παντελῶς* ante *αὐτὸν*, excepto Cod. E. — *φάναι*] A et B *φᾶναι.* Pergit h. l. Fic. p. 192. — *καὶ περὶ*] A B et D om. *καί.* — *ἢ περὶ ἀγαθ.*] A B et D *ἢ τῶν ἀγαθ.* — *ἐξῄρηνται*] A et B *ἐξῄρηται.* F *ἐξήρτηται.* — *πεπληρωκότες*] B .......*α.* F *πεπληρηκότες.* — *ὅμως εἰσὶν*] A *ὁ μὲν εἰσιν.* (sic) C om. *εἰσὶν.* F *ὁμῶς.* — *ἐρῶντα*] C *ἐρῶν τά.* Post *Δία* in Cod. E fuit interrogandi signum, quod mutatum est in colon ab alia manu. Male Fic. *Κόρην* vertit *puellam.* Ad rem consule de Proserpina Nonn. Dionys. VI, 155 sqq. cf. Valckenarii diatriba Eur. cap. 15. de Venere. — Proclus noster in Platonis Cratyl. fol. 137 vers. cod. Monac de Proserpinâ ita: *καὶ μετὰ τοῦ Διὸς ἀπογεννᾷ (ἡ Κόρη) τὸν τῆς μεγίστης δημιουργίας ἀμερίστως προεστηκότα Διόνυσον.* — *ἐν ταῖς ἀνθρωπίναις*] A B et D om. *ἐν.* — *μὴ πρότερον*] B *καὶ πρότερον.* — *προυπάρχον*] A *προυπάρχων.* E *προϋπάρχον*, ut plerumque in hoc vocabulo; et ita scribendum. — *ὡρισμένην*] A *ὡρισμένον.*

θεία δόσει διδομένης; ὡς αὐτός φησιν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης· καὶ θεοὶ τοίνυν θεῶν ἐρῶσιν, οἱ πρεσβύτεροι τῶν καταδεεστέρων, ἀλλὰ προνοητικῶς, καὶ οἱ καταδεέστεροι τῶν ὑπερτέρων, ἀλλὰ ἐπιστρεπτικῶς.

[ιη.] Ταῦτα μὲν οὖν ληπτέα τὰ δόγματα τὴν πρώτην ἐκ τῶν προκειμένων ῥημάτων. Ἔτι δὲ μειζόνως νοήσωμεν τὸ αἴτιον τῆς τοῦ Σωκράτους σιγῆς, καὶ φῶμεν, ὅτι τὸ ἄῤῥετον προηγεῖται τῶν ῥητῶν ἐν τοῖς θεοῖς, καὶ τὸ ἄφθεγκτον τῶν φθεγκτῶν, καὶ τὸ σιγώμενον τῶν διὰ λόγου καὶ φωνῶν γιγνομένων. Διότι οὖν ἑαυτὸν πρὸς τὸ θεῖον ὁ Σωκράτης τελέως ἀφομοίωσεν, ἀπὸ τῆς σιγῆς ἄρχεται τῆς πρὸς τὸν ἐρώμενον προνοίας, ἐπεὶ καὶ αὐτῷ τῷ ἔρωτι τοῦτο δὴ τὸ ἄφθεγκτόν ἐστιν οἰκεῖον, ἐκεῖ πρῶτον, ὥςπερ εἴπομεν, ἐν τῇ σιγωμένῃ τάξει τῶν θεῶν ἑαυτὸν ὑποστήσαντι. Ἔδει τοίνυν τόνδε ἐραστὴν τῇ θεοθρέμμονι σιγῇ πρὸ τῆς διὰ λόγων κοινωνίας παραδοῦναι τὴν περὶ τὸν ἐρώμενον κηδεμονίαν· οὕτω γὰρ ἂν καὶ τῷ ἑαυτοῦ θεῷ προςόμοιον ἐφαίνετο καὶ τὸν νεανίσκον ἐπέστρεφεν εἰς τὸ θαῦμα τῆς ἑαυτοῦ σιγῆς. Ἀλλ' ὁ μὲν Σωκράτης τοιοῦτος· οἱ δὲ δὴ φορτικοὶ τῶν ἐραστῶν ὁποῖοί τινές εἰσι; Δι' ὄχλου ἐγένοντό σοι (p. 103. a. — B. p. 299). Τίς οὖν ὁ ὄχλος ἐστίν; ὅτι μὲν πλῆθος, παντὶ καταφανές· ἀλλὰ πλῆθος ἀόριστον, πλῆθος συγκε-

— δόσει] B δόσις. — διδομένης] A B et D δεδομένη. F διδομένη. Locus Platonis est Phaedr. p. 244. a. Bip. T. X. Bekk. I, 1. p. 35 sq. — προνοητικῶς] B προνοητικῶν. — ἐπιστρεπτικῶς] B ἐπιτρεπτικῶς. E ἀλλ' ἐπιστρεπτικῶς.

Μειζόνως] A μειζόνων. — νοήσωμεν] F A B et D νοήσομεν. — τὸ αἴτιον] F A B et D om. Mox Cod. F φήμη pro φῶμεν. — ἄῤῥετον] cett. ἄῤῥητον. Ita scribendum. — ῥητῶν] B ῥημάτων et in marg. γρ. ῥητῶν. — διὰ λόγου] A διὰ λόγων. B διαλόγων. C διαλόγου solemni vitio. — διότι] cett. addunt: δή, excepto Cod. E. Addendum potius καὶ post ἀφωμοίωσεν, aut scribendum ἀπὸ δὲ τῆς σιγῆς. — Proxime ἄφθεγκτος. Hanc vocem Plethon in Magica oracula Zoroastr. p. 88 Gal. explicat: ἀνεκφώνητος. — ἀφομοίωσεν] C ἀφομίωσεν. Scrib. ἀφωμοίωσεν, ut est in Cod. F. — πρὸς τὸν ἐρώμενον] cett. περὶ τ. ἐρ. sed E ut noster. — αὐτῷ τῷ ἔρωτι] B om. τῷ. — τοῦτο δὴ] C τοῦτο δέ. — ἑαυτὸν ὑποστ.] C ἑαυτῶν ὑποςτ. — τὸν δε ἐραστὴν] F A B et D bene τὸν ἔνθεον ἐραστ. C τὸν θεὸν ἐραστ. — θεοθρέμμονι] A et B θεοθρέμμωνι. Est versus ex Oraculis Zoroastris saepius laudatis 41. p. 306:

Καὶ ἐν τῇ ἀδύτῳ κατὰ τὴν θεοθρέμμονα σιγήν.

Vocem θεοθρέμμων adde Lexicis — προςόμοιον] cett. προςόμοιος, et ita legendum, quamvis adversante Cod. E. — δι' ὄχλου] B διό. - A B et D addunt φησὶν ante ἐγένοντο. bene. — τίς οὖν ὁ] B om. οὖν ὁ. — ὅτι μὲν] C et E addunt δή. — πλῆθος παντὶ ..... συγκεχυμένον]

χυμένον, πλῆθος ἀσύντακτον· οὐ γὰρ οἷον ὁ χορὸς, οὐδὲ οἷον ὁ δῆμος. Ὁ μὲν γὰρ δῆμός ἐστι πρὸς ἑαυτὸ συνδεόμενον· ὁ δὲ ὄχλος διεσπασμένον πλῆθος· ὅθεν δὴ καὶ ἐν ταῖς πολιτείαις διαφέρειν λέγουσι τὴν ὀχλοκρατίαν τῆς δημοκρατίας· ἔστι γὰρ ἡ μὲν ἄτακτος καὶ παράνομος καὶ πλημμελὴς, ἡ δὲ ὑπὸ τῶν νόμων τεταγμένη. Δῆλον δὴ οὖν, ὅτι καὶ τὸ δι' ὄχλου γενέσθαι τεκμήριόν ἐστι τῆς ἐπισεσυρμένης ζωῆς καὶ συγκεχυμένης καὶ καθελκούσης τὸν ἐρώμενον ἐπὶ τὸ ἔνυλον καὶ σκεδαστὸν καὶ πολυμελὲς εἶδος τῆς τῶν παθῶν ποικιλίας· καὶ γὰρ ὁ Τίμαιος ὄχλον ἀπεκάλεσε τὴν ἀλογίαν πᾶσαν, ὡς ἀόριστον ἀφ' ἑαυτοῦ καὶ πλημμελῆ καὶ ἄτακτον, καὶ ὕστερον προςφύντα ἐκ πυρὸς καὶ γῆς καὶ ἀέρος καὶ ὕδατος. Ὥςπερ οὖν τὸ ἄλλοι τὴν διάστασιν αὐτῶν ἐδήλου καὶ τὴν διεσπαρμένην ζωήν· οὕτω δὴ καὶ τῷ δι' ὄχλου γίνεσθαι τῷ νεανίσκῳ τὴν εἰς αὐτὸν ἀπ' ἐκείνων ἤκουσαν ἐπήρειαν ἐνδείκνυται, καὶ ὅτι κατῆγον αὐτὸν ἐπί τι μεριστὸν καὶ εὔκολον εἶδος ζωῆς. Οὐ μόνον

haec omisit cod. D. — ὁ χορὸς] A et B ὁ χρόνος. — ὁ μὲν γὰρ δῆμος] cett. add. πλῆθος, quod necessarium est et abesse nequit. — συνδεόμενον] A B et D συνδούμενον. — διεσπασμένον] C διεσπασαμένον. — ὀχλοκρατίαν] C ὁλοκρατίαν. D ὀχλοκρατείαν. — δημοκρατίας] D δημοκρατείας. De vi vocum ὄχλος et πλῆθος vid. Ast. ad Platon. Phaedr. in Additamm. ad calc. Reipubl. et quos ille laudavit p. 638. Ad nostri loci sententiam faciunt potissimum haec Aristotelis Polit. V. 3. 10. p. 191 sq. Schneider: ὥςπερ γὰρ οὐδ' ἐκ τοῦ τυχόντος πλήθους πόλις γίγνεται, οὕτως οὐδ' ἐν τῷ τυχόντι χρόνῳ. Sed totus ille Aristotelis liber consulendus est, praecipue cap. 3—5. Adde Polybii libr. VI cap. 4. — ὑπὸ τῶν νόμων] C ὑπὸ τὸν νόμον. — τὸ δι' ὄχλου] ζεῖ δι' ὄχλου C τὸ διόχλου. — ἐπισεσυρμένης] A et B ἐπεσυρμένης. — Significatur vita languida remissaque ac supina. De qua vi vocis, passim male explicata, consule Gatackerum ad Marc. Antonin. VIII. 51. p. 257. Heynium ad Epictet. Enchir. XXXI. ς. Schweighäuser. ad Epictet. III p. 332. 333 sq. F. A. Wolf. ad Demosth. Lept. p. 352 sq. et Schaef. ad Longi Pastoral. p. 383. — πολυμελὲς] B πλημμελὲς. — ποικιλίας] A ποικιλίαν. — ἀλογίαν] F A et B ἀναλογίαν. male. C ἀπολογίαν. Cod. E in margine: „ὁ ὄχλος in Timaeo significat τὴν ἀλογίαν. Vide in Tim. p. 330." Locus Platonis est in Timaeo p. 42. c. Bip. T. IX. Bekk. III, 2. p. 45. — Illud Agathonis dictum, quod sequitur, est in Convivio c. XIX. Wolf. p. 63; p. 197. c. Bip. T. X. Bekk. T. II, 2. p. 417 sq. — ἀφ' ἑαυτοῦ] F A B et D ἀφ' ἑαυτῆς. — καὶ ἄτακτον] cett. add. τὸν πολὺν ὄχλον, sed omisit ea Cod. E cum nostro. Merito. — διεσπαρμένην] A E B et D διεσπασμένην. Bene. — γίνεσθαι] C γίγνεσθαι. Leg. fortasse τὸ δι' ὄχλου γίνεσθαι. — ἐπήρειαν] B ἐπηρείαν. C ἐπηρίαν. In seqq. Cod. F ἔνυλον pro εὔκολον et ἀλλήλους pro ἄλλους. Jungitur autem ἐπήρεια saepiuscule cum voce ὕβρις, ut quae et ipsa vim contumeliamque atque injuriam declarat. Vid. Irmisch. ad Herodian.

ἄρα πρὸς ἄλλους οὕτως εἶχον διῃρημένως καὶ διαφώνως, ἀλλὰ καὶ τὸν νεανίσκον ἀνεπίμπλασαν τῆς τοιαύτης κακίας, πᾶν τοὐναντίον δρῶντες, ἢ κατὰ τὴν τοῦ ἔρωτος δύναμιν· ὁ μὲν γὰρ ἀλλοτριότητος κενοῖ καὶ οἰκειότητος πληροῖ, καθάπερ φησὶν ὁ τοῦ Πλάτωνος Ἀγάθων· Οἱ δὲ καὶ καθ' ἑαυτοὺς διαιρέσεως ἦσαν καὶ ἀναρμοστίας πεπληρωμένοι, διὰ τὸ ἄλλοι, καὶ τῷ ἐρωμένῳ οὐ προὔτεινον τὴν αὐτῶν ταύτην ἀλλοτριότητα· παντὶ γὰρ τὸ ὀχληρὸν ἀλλότριόν ἐστι φύσει καὶ λυπηρόν. Ὁ μὲν οὖν πολὺς ἐραστὴς τοιοῦτος· μέγιστον δὲ καὶ τῆς Ἀλκιβιάδου φύσεως ἐγκώμιον, τὸ μέχρι τοῦ διαλέγεσθαι μόνον προςέσται τὴν τῶν ἄλλων ἐραστῶν ὁμιλίαν καὶ τοσοῦτον μόνον αὐτῶν τῇ περὶ αὐτῶν πτοίᾳ χαρίσασθαι, καὶ τοῦτο ὀχληρὸν ὑπολαμβάνοντα καὶ ἀηδὲς, ἐνδιδόντα δὲ ὅμως καὶ λόγον κοινωνοῦντα τοῖς φορτικοῖς ἐρασταῖς, ἀλλ' οὐκ ἀφῆς, οὐδὲ συμποσίων, οὐδὲ τῶν ἄλλων κακῶν τῶν προκαλουμένων αὐτὸν ἐπὶ τὴν κακοζωΐαν· οὗ δὴ καὶ μάλιστα δείκνυται, τί τὸ διαφέρον ἦν τῆς τοῦ Ἀλκιβιάδου φύσεως πρὸς τοὺς ἄλλους τοὺς τὴν αὐτὴν ἡλικίαν ἔχοντας. Ὥςπερ γὰρ καὶ πρὸς τὰς ἡδονὰς γυμναζόμεθα καὶ πρὸς τὰς ἀλγηδόνας, οὐ φεύγοντες ἀπὸ τῶν παθῶν, οὐδὲ ἀπείρατοι πάντῃ μένοντες αὐτῶν, ἀλλ' ἐν μέσοις αὐτοῖς γιγνόμενοι καὶ κρατοῦντες τῆς ὑπερβολῆς αὐτῶν καὶ τῆς ἀταξίας· οὕτω δὴ καὶ ἐν τοῖς ἐρωτικοῖς γυμνάσιόν ἐστι

VI. 1. 18 p. 300. Wyttenbach. ad Plutarch. Vol. VI. 2. p. 860. sq. et Valckenaer. ad Evang. Luc. VI. 28 in Scholiis I. p. 122. adde Zonar. Lex. gr. p. 799. — *τὴν τοῦ ἔρωτος*] A et B om. *τοῦ*. — *οὐ προὔτεινον*] A *τὸν αὐτῷ προὔτεινον*. F et B *τὴν αὐτῶν προὔτεινον*. D *τὴν ἑαυτῶν προὔτεινον*. [*οὐ* del.] — *τὴν αὐτῶν ταύτην*] F A B et D om. *τὴν αὐτήν*. — *πολὺς ἐραστὴς*] B *πολλῶν ἐραστής*. — Ceterum ad universam hujus loci sententiam utiliter adhibeas quae Aristoteles de triplici genere amicitiae disputat, ubi et ipse pravos istos amatores notat, in Eth. Eudem. VII. 2. p. 261 p. 188 sq. ed. Sylburg. Loci partem in medium protulit Zellius meus ad Ethic. Nicom. VIII. 4. p. 345; quem confer. — *προςέσται*] A *προςέσεσθαι*. B *προέσθαι*. F et C *προςέσθαι*. Hoc probum est, aut *προςίεσθαι*. Sed *προςέσθαι* legitur etiam apud Aristoph. Vespp. 740. (742). In Cod. F est *μόνου προςέσθαι*. — *μόνον αὐτῶν*] A et B *μόνον αὐτὸν*. — *αὐτῶν πτοίᾳ*] A *αὐτὸν πτοία*, etiam D. — B *αὐτοπτοία*. — *καὶ τοῦτο*] A et B *καὶ τοῦτον*. — *ἐνδιδοντα*] A *εὐδίδοντα*, etiam B. — *λόγου*] B *λόγον*. — *ἀφῆς*] A *ἐσαφὴς* (sic.) E et F *οὐχ ἀφῆς*. Bene. — *συμποσίων*] A *συμπόσων*. — *οὐδὲ*] A *οὐ δὲ*. Cod. F omittit verba *οὐδὲ ... αὐτῶν*. — *διαφέρον ἦν*] C *διαφ. ἤ*. — *ἐν τοῖς ἐρωτικοῖς*] A et B om. *ἐν*.

μέγιστον ἡ τῶν φορτικῶν ἐραστῶν ὁμιλία τοῖς εὖ πεφυκόσι πρὸς τὴν ὅλην ἀρετήν· τὸ γὰρ ὑπερέχειν τῆς τούτων ἐνοχλήσεως καὶ κρατῆσαι τῆς ἀλογίας αὐτῶν, φύσεως ἰσχὺν δηλοῖ τῆς τε κακίας ὑπεροπτικῶς ἔχουσαν, κολακείας καὶ τῆς καθ' ἡδονὴν ζωῆς. Τοιοῦτος τοίνυν καὶ ὁ Ἀλκιβιάδης φανεὶς εἰκότως ἔδοξεν ἄξιος εἶναι τῷ Σωκράτει τοῦ ἔρωτος, τον ἐμπαθῆ μὲν κλύδωνα τῶν ἐραστῶν ἀποσεισάμενος ἐν ἡλικίᾳ τοιαύτῃ, θαυμάζων δὲ τὸν Σωκράτους ἔρωτα. Καθάπερ οὖν ὁ Ἀθηναῖος ξένος εἰς μέθην ἄγει τὴν νεότητα, γυμνάσιον τοῦτο πρὸς τὰ πάθη ἐπινοήσας τοῖς νέοις, καὶ ἄρχοντα αὐτοῖς ἐφίστησι κριτὴν τῶν κινημάτων τῶν ἐν αὐτοῖς· κατὰ τὰ αὐτὰ δὴ καὶ ὁ Σωκράτης οἷον ἄρχοντα ἑαυτὸν ἐπέστησε τῷ νεανίσκῳ, τῆς κατὰ τὴν ἡλικίαν μέθης κριτήν, καὶ δικαστὴν αὐτοῦ τε καὶ τῶν παθῶν καὶ τῶν κατὰ ταῦτα ζώντων ἐραστῶν. Καὶ ἐπειδὴ κεκρατηκότα αὐτὸν ἐθεάσατο τῶν τοιούτων ἁπάντων καὶ ὑπερβαλλόμενον τῷ φρονήματι τὴν ἐκείνων ἀγεννῆ καὶ ἀπατηλὴν καὶ ὕπουλον ζωήν, ἀνακαλεῖται μὲν αὐτὸν εἰς τὴν ἑαυτοῦ συνουσίαν, ἐπιδείκνυσι δέ, τίς ἡ ἀληθὴς ἐρωτική, καὶ τί τὸ ἐξ αὐτῆς ὄφελος, καὶ ποῖον τέλος ἐστὶ τῆς κατ' ἀρετὴν ἐνεργείας.

[ιθ.] „Τούτου δὲ τὸ αἴτιον γέγονεν οὐκ ἀνθρώπινον, ἀλλά τι „δαιμόνιον ἐναντιούμενον, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον „πεύσῃ."

— *ἐνοχλήσεως*] C *ὀχλήσεως*. — *τῆς τε κακίας*] cett. om. *τε*. Fortasse haec vocula post *κολακείας*. reponenda. — *ἔχουσαν*] A *ἐχούσης*. — *κολακείας*] A et B *κολακίας*. — *ζωῆς*] B et C *ζωήν*. — *τοιοῦτος*] A et B *τοσοῦτος*. — *ἄξιος εἶναι*] A et B om. *ἄξιος*. — *τὸν ἐμπαθῆ μὲν*] F A et B *τὸν μὲν ἀπαθῆ*. D *τὸν μὲν ἀπειθῆ*. In seqq. Cod. F *καθάπερ δὴ οὖν*. — *ἐπινοήσας τοῖς νέοις*] cett. excepto E *τοῖς νέοις ἐπινοήσας*. Locus Platonis est De Legg. I p. 648 c. d. Bip. T. VIII. Bekk. III, 2. p. 227. — *ἐφίστησι*] B *ἀφίστησι*. — *ἑαυτὸν ἐπέστ.*] C *ἑαυτῷ ἐπέστ.* — *ἡλικίαν μέθης*] B *ἡλικίαν ταύτην*. C *ἡλίκιος μέθης*. — *ὑπερβαλλόμενον*] B ......*μένων*. — *τὴν ἐκείνων*] A *τῶν ἐκείνων*. — *ἀπατηλὴν*] F et A *ἀπατηλὸν*. — *εἰς τὴν ἑαυτοῦ*] A *εἰς τὸν ἑ.* — *ἐπιδείκνυσι δὲ*] B om. *δέ*. — *ἀληθὴς*] A B et D *ἀληθινή*. — *καὶ τί τὸ*] A et B om. *τί*.

*Ἐναντιούμενον*] cett. *ἐναντίωμα*, (excepto Cod. E.) quod est in Edd. Pro *πεύσῃ* Astius et Bekk. ediderunt *πεύσει*, pro *ἀνθρώπινον* Bekkerus *ἀνθρώπειον*. — Scholiastae in Platonis Alcib. I qui permulta ex Procli commentariis in suum usum converterunt, p. 69 ed. Ruhnken. ita: — *Ὅπερ δὲ νῦν Δαιμόνιον καλεῖ Πλάτων, μετὰ μικρὸν θεὸν λέγει τὸν ἐναντιούμενον*. — *καὶ ὕστερον*] F A B et D om. *καί*.

Θαυμαστὸς μὲν ἦν ὁ Σωκράτης τῷ νεανίσκῳ καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων λόγων, τῆς τε μονιμότητος ἕνεκα τῆς ἐν τῷ ἔρωτι, καὶ τῆς ἀχράντου ζωῆς, καὶ τῆς ἀσχέτου περὶ αὐτὸν προνοίας. Τί γὰρ ἂν εἴη τούτων θειότερον ἐν ἀνθρωπίνῃ ζωῇ τῶν καὶ τὴν θείαν αὐτὴν εἰς τὰ δεύτερα πρόνοιαν θαυμαστὴν ἐνδεικνύντων; τὸ γὰρ ἅμα διὰ πάντων φοιτᾷν καὶ μὴ ἐξίστασθαι ἑαυτῆς, καὶ πᾶσι παροῦσιν ἐν ἑαυτῷ μόνον ἱδρῦσθαι τὸ παραδοξότατόν ἐστι τῶν περὶ τῆς προνοίας δογμάτων· τὸ τοίνυν καὶ τὴν ἀνθρωπίνην ζωὴν δεκτικὴν ἀναφανῆναι τούτων, ἄσχετον ἅμα καὶ ἐν σχέσει συνοῦσαν τοῖς προνοουμένοις καὶ μένουσαν ἐν τῷ ἑαυτῆς κατὰ τροπὴν ἤθει, πῶς οὐ παντελῶς ἐστι θαύματος ἄξιον; Ἔτι δὲ μειζόνως αὐτὸν καταπλήττει τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων τὴν αἰτίαν τοῦ δαιμονίου ἐξάπτων, ἵνα μὴ μόνον ὡς ἄνθρωπος αὐτῷ θαυμαστὸς εἶναι δοκεῖ, ἀλλὰ καὶ ὡς κατὰ δαίμονα ἐνεργῶν καὶ κρεῖττόν τι τῆς ἀνθρωπίνης ἔχων ἀρετῆς, τὴν ἐκ τοῦ δαίμονος ἐπίπνοιαν. Πολλῶν ἄρα δεῖ τοιοῦτος εἶναι ὁ Σωκράτους ἔρως, ὁποῖος ὁ

— ἦν ὁ Σωκρ.] C οὖν ὁ Σωκρ. — καὶ διὰ] B κἂν διά. — τῶν ἔμπρ. εἰρημένων λόγων] C τὸν ἔμπρ. εἰρημένον λόγον. — τῆς τε μον.] B om. τε. Mox post θειότερον vocula ἐν ab alia, ut videtur, manu addita est. — μονιμότητος. Fons in loco Platonico Sympos. cap. 11 fin. p. 25 Ast: οὐδὲν γὰρ δοκεῖ τούτων οὔτε βέβαιον οὔτε μόνιμον εἶναι i. e. stabile et immutabile. Et Zonaras Lex. Gr. p. 1367 μονιμώτερος explicat: βεβαιότερος. Inde Aristoteles in Ethic. Nicom. IX. cap. 8. p. 144 Sylburg.: οὗτοι μόνιμοι φίλοι, καὶ ἡ τῶν τοιούτων φιλία. Substantivum autem μονιμότης satis infrequens, neque in Stephani Thesauro annotatum. Usurpat tamen Dionysius Areopagita Tom. II. p. 522 ubi vid. Corderium. Nimirum ut pleraque sua desumsit a Platonicis. — παροῦσιν] cett. παροῦσαν. Cod. E habebat παροῦσιν, quod correctum est in παροῦσαν. Bene. — ἐν ἑαυτῷ μόνον] F A et B ἐν αὐτῇ. D ἐν ἑαυτῇ omisso μόνον. Placet ἑαυτῇ. — ἱδρῦσθαι] A et C ἱδρύσθαι. recte. — ἀναφαν. τούτων] A om. τούτων. — ἐν τῷ ἑαυτῆς] B αὐτῷ ἑαυτῆς, C ἐν τῷ ἑαυτοῦ. Cod. F ἐν τῷ αὐτῆς κατὰ τρόπον ἤθει. — ἔτι δὲ] C add. καί. F εἰ δέ. — τῶν ἀνθρωπίν.] A et B om. τῶν. — δαιμονίου] C δαίμονος. Mox F ἱκανὴ pro ἵνα μή. — δοκεῖ] A F et D δοκῇ. Bene. — ἔχων] C ἔχον. — ἐκ τοῦ δαίμονος] F A et B ἐκ τοῦ δαιμονίου ἐπίπνοιαν. Plato in Phaedro §. 108 p. 265 b. p. 311 Heindf. μαντικὴν μὲν ἐπίπνοιαν Ἀπόλλωνος θέντες. Sympos. IX. 3. p. 28 Wolf. p. 19. Ast. οἱ ἐκ τούτου τοῦ ἔρωτος ἔπιπνοι, quae etiam ad nostri loci constructionem faciunt. De locutione consule Fischer. et Wolf. ad Sympos l. l. adde Eustath. ad Odyss. IV. 361. p. 174 Basil. et quae posui in Praeparat. ad Plotin. de pulcr. p. XXVIII. XXIX. — πολλῶν ἄρα.] cett. πολλοῦ ἄρα. Bene. Frustra nostro adstipulatur Cod. E.

τῶν ἄλλων ἐραστῶν· ἐκεῖνοι μὲν κατεῖχον αὐτὸν εἰς ἀλογίαν καὶ ὕλην· ὁ δὲ ἀνατείνει καὶ διὰ τουτωνὶ τῶν πρώτων ῥημάτων μόνον αὐτὸν ἐπὶ λόγον καὶ δαίμονα· τοιοῦτος γὰρ ὁ θεῖος ἔρως ἀναγωγὸς καὶ ἀγαθουργὸς καὶ τελειώσεως χορηγὸς, καὶ νοῦ καὶ τῆς κατὰ νοῦν ζωῆς αἴτιος. Ἀμείνω γάρ φησιν ἔρωτος συνεργὸν εἰς φιλοσοφίαν οὐ ῥᾴδιον εὑρεῖν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις ἀναδιδάσκει. Δείκνυται οὖν ἤδη καὶ δαιμόνιός τις ὁ Σωκράτης μείζονα τὴν ἔκπληξιν ἀνεγείρων ἐν ἑαυτῷ καὶ πολλαπλασιάζων τὸ θαῦμα τὸ περὶ φιλοσοφίαν. Καὶ τοῦτο εἰκότως ὁ Σωκράτης ποιεῖ· πολλάκις γὰρ αἱ τοιαῦται ἐκπλήξεις εἰς τὴν περὶ τὸ ἀγαθὸν ἡμᾶς ἐπισπῶνται συμπάθειαν. Ὥςπερ οὖν ἐν ταῖς ἁγιωτάταις τῶν τελετῶν προηγοῦνται τῶν δρωμένων καταπλήξεις τινὲς, αἱ μὲν διὰ τῶν λεγομένων, αἱ δὲ διὰ τῶν δεικνυμένων ὑποκατακλίνουσαι τῷ θείῳ τὴν ψυχήν· οὕτω δὴ καὶ ἐν τοῖς τῆς φιλοσοφίας προθύροις ἀνεγείρει θαῦμα τοὺς νεανίσκους καὶ ἔκπληξιν περὶ ἑαυτὸν ὁ καθηγούμενος,

— *ἐκεῖνοι μὲν*] cett. add: *γὰρ* (praeter E.) bene. — *κατεῖχον*] A B et D *καθεῖλκον*. C *καθεῖσκον*. Cod. E. in marg. *καθεῖλον*, in contextu *κατεῖχον*. Praestat *καθεῖλκον*. — *ἀλογίαν*] C *ἀναλογίαν*. — *ῥημάτων μόνον*] A et F *μόνον ῥημάτων*. B et D *μόνων ῥημάτων*. C *ῥημ. μίνων*. *μόνων* item est in Cod. E. ex correctione; quod placet. — *τοιοῦτος*] A *τοσαῦτος*. — *οὐ ῥᾴδιον*] A *οὐράνιον*. B *οὐ ῥᾴδιον*. — *ὡς καὶ αὐτὸς*] F A B et D om. *καὶ*. — *ὁ Σωκράτ.*] A om. *ὁ*. — *ἐν ἑαυτῷ*] C *ἐν ἑαυτοῦ*. — *πολλαπλασιάζων*] A *πολλὰ πλασιάζ*. — *φιλοσοφίαν*] B .....*ας*. — *πολλάκις*] cett. *πολλαχοῦ*, excepto E. — *αἱ τοιαῦται*] A *αἰτιοῦνται*. — *ἐκπλήξεις*] A *ἐκπλέξεις*. C *ἔκπληξις*. Inde a voce *Ὥςπερ* pergit Ficinus p. 193. extr. sed mox post *ψυχὴν* duas fere integras omittit paginas. — *εἰς τὴν*] A *εἰς τὸν*. Mox F *ἐπισπῶντα*. — *ἡμᾶς*] A *ἡμῶν*. — *λεγομένων αἱ δὲ διὰ τῶν*] haec omisit cod. B — *λεγομένων* — *δεικνυμένων*. Ex asse congruunt haec Dionis Chrysostomi Or. XII. p. 202. p. 287 Reisk. *ὥςπερ εἴ τις ἄνδρα Ἕλληνα ἢ βάρβαρον μυεῖσθαι παραδοὺς εἰς μυστικόν τινα μυχὸν, ὑπερφυῆ κάλλει καὶ μεγέθει, πολλὰ μὲν ὁρῶντα μυστικὰ θεάματα, πολλῶν δὲ ἀκούοντα τοιούτων φωνῶν, σκότους καὶ φωτὸς ἐναλλὰξ αὐτῷ φαινομένων, ἄλλων τε μυρίων γιγνομένων*. Confer etiam Fragment. Plutarchi ad calc. libri de S. N. V. p. 136 sq. ed. Wytt., ubi item et *φωναὶ* et *ἀκούσματα* et vero etiam *φαντάσματα* memorantur. Illa autem *δρώμενα* apud Nostrum explicanda ex hujusmodi locis, qualis est hic Herodoteus II. 171: — *τὰ δείκελα τῶν παθέων αὐτοῦ ποιεῦσι, τὰ καλέουσι μυστήρια*. Quo de loco plura disputavi in Commentt. Herodott. I. p. 221 sqq. — Paucis interjectis pro *ἵνα δράσωσιν* Moserus conjiciebat: *ἵνα περάσωσιν*. Ceterum cf. infr. cap. 50. — *οὕτω δὴ*] A et B *τούτῳ δή*. — *τοὺς νεανίσκους*] cett. *τῷ νεανίσκῳ*, excepto Cod. E. Sed placet dativus.

ἵνα δράσωσιν εἰς αὐτοὺς οἱ λόγοι προϊόντες, καὶ ἐκκαλέσωνται πρὸς τὴν φιλόσοφον ζωήν. Καὶ τοῦτο μάλιστα ποιητέον ἐπὶ τῶν φρονήματος μεστῶν καὶ μεγαλαυχίας· τὸ μὲν γὰρ τοιοῦτο φρόνημα πρὸς μὲν τοὺς πολλούς ἐστιν ὀρθὸν, πρὸς δὲ τοὺς σπουδαίους ἐμπόδιον εἰς τὴν ἀπ' αὐτῶν ὠφέλειαν. Ἵν' οὖν μὴ τῶν πολλῶν ἐραστῶν κεκρατηκὼς ὁ Ἀλκιβιάδης οἰηθῇ καὶ τοῦ Σωκράτους ὁμοίως περιφρονήσειν, εὐθὺς ἐκ προοιμίων θαυμαστὸν αὐτῷ δείκνυσιν ἑαυτὸν τῇ συντονίᾳ, τῇ σιωπῇ, τῇ κατὰ δαίμονα ζωῇ. Δύο δὲ τούτων αὐτῷ προειρημένων, τοῦ μὲν, ὅτι πολυχρονιώτερός ἐστιν αὐτῶν ἐραστὴς τῶν πολλῶν ἐκείνων καὶ παντοδαπῶν, τοῦ δὲ, ὅτι σιωπῶν διατέλει τὰ πρὸς αὐτὸν ἐν τῷ πρόςθεν χρόνῳ, τοῦ δευτέρου τοῦδε τὴν αἰτίαν ἐπὶ τὸ δαιμόνιον ἀναφέρει· τούτου γάρ φησι τὸ αἴτιον τοῦ μηδὲ προςειπεῖν ἀναιτίωμά τι δαιμόνιόν ἐστι, καίτοι καὶ τοῦ ἔρωτος αὐτῷ ὁ δαίμων αἴτιος· οὐ γὰρ ἂν οὕτως ἄριστα μετῄει τὴν ἐρωτικὴν ζωὴν, εἰ μὴ κατὰ δαίμονα πεποίητο καὶ τὴν αἵρεσιν αὐτῆς καὶ τὴν σπουδήν. Ἀλλ' ἐπειδὴ τὸ μὲν ἐρασθῆναι τοῦ νεανίσκου καὶ σπουδάσαι περὶ αὐτὸν τῆς προνοίας ἔργον τῆς περὶ τὸ ἀτελέστερον, τὸ δὲ ἀσχέτως αὐτὸ (F. αὐτῷ) καὶ ἀμιγῶς καὶ ἐξῃρημένως ἐπιστατεῖν δαιμονιώτερόν ἐστιν ἢ κατὰ τὴν ἀνθρωπίνην ζωήν· διὰ δὴ τοῦ μόνου τούτου τὴν αἰτίαν ἐπὶ τὸ δαιμόνιον ἀνήνεγκεν. Τὸ μὲν γὰρ τελειοῦν

— *εἰς αὐτοὺς*] cett. *εἰς αὐτὸν*, praeter unum E. Malim ceteros sequi. — *προϊόντες*] A *περιόντες*. — *καὶ ἐκκαλέσ.*] C *κἂν ἐκκαλ.* — *τὸ μὲν γὰρ*] F A B et D *μὲν* om. — *τοιοῦτο*] cett. *τοιοῦτον*, si excipis, ut plerumque, Cod. E. — *κεκρατ. ὁ Ἀλκιβ.*] F A et B *ὁ Ἀλκιβ. κεκρατ.* — *περιφρονήσειν*] B .......*ας*. In Cod. E. *περιφρονήσειν* correctum est ex *ὑπερφρονήσειν*; utrumque huic loco conveniret. — *δείκνυσιν*] C om. *σιν*. Vocabulum antecedens ex *αὐτὸν* in Cod. E. mutatum est in *αὐτῷ*. — *αὐτῶν ἐραστὴς*] cett. *αὐτὸς ἐραστὴς*, itaque leg. videtur. — *τοῦ δὲ*] B *τοῦτο δὲ*. — *πρόςθεν*] A et B *πρώτῳ*. Paulo superius legendum *διετέλει*, ut est in Codd. E et F. — *ἐπὶ τὸ δαιμόν.*] B *ἐπεὶ τὸ δαιμόνιον*. — *τοῦ μηδὲ πρ.*] C om. *τοῦ*. — *ἀναιτίωμά τι*] F A et B *ἐναντιώματι*. C E et D *ἐναντίωμά τι*. Ita legendum. — *καίτοι καὶ τοῦ*] F A et B *καὶ τοῖς τοῦ*. — *αὐτῷ*] F A B et D *αὐτῷ πάντως*. — *ἐρωτικὴν ζωὴν ...... καὶ τὴν*] haec omisit cod. B. — *αὐτῆς καὶ*] B *αὐτοῦ*[ῆς] (sic) *καὶ*. Cod. F *αἵρησιν αὐτῆς*. — *ἀτελέστερον*] C *ἀληθέστερον*. — *ἀμιγῶς*] D *ἀμιγ*.... (sequente parva lacuna). — *ἐξῃρημένως*] C ....*ων*. — *ἀνθρωπίνην*] C *ἄνθρωπον*. — *τοῦ μόνου τούτου*] A *τοῦτο μόνου τούου* (sic). F et B *τοῦτο μόνου τούτου*. C *τούτου μόνου*. D *τοῦτο* ..... *τούτου* omisso *μόνου* lacuna interjecta.

τα χείρονα καὶ προνοεῖν τῶν ἀτελεστέρων ὑπάρχει καὶ ψυχαῖς ὡς ψυχαῖς, ἐπεὶ καὶ ἡ κάθοδος αὐταῖς διὰ τὴν πρόνοιαν τῶν ἐν γενέσει πραγμάτων καὶ διὰ τὴν ἐπιμέλειαν τῶν θνητῶν ἐγένετο· τὸ δὲ μηδὲν ἀπὸ τῶν διηκουμένων εἰςδέχεσθαι μηδὲ ἀναμίγνυσθαι τοῖς χείροσιν, ἀλλὰ ἀσχέτως αὐτὰ διακοσμεῖν, θεοῖς προςήκει καὶ τοῖς ἀγαθοῖς δαίμοσι, καὶ ὅταν ὑπάρχῃ καὶ ταῖς ἀνθρωπίναις ψυχαῖς, κατά τινα θείαν ἢ δαιμονίαν δόσιν ὑπάρχει. Τούτου τοίνυν ᾐτιάσατο τὸ δαιμόνιον τῆς ἐξῃρημένης περὶ αὐτὸ κηδεμονίας· ἡ γὰρ σιωπὴ σύμβολόν ἐστι τῆς ἀῤῥεψίας καὶ τῆς ἐποχῆς τῶν ἔξω φερομένων ἐνεργειῶν καὶ τῆς ἀσχέτου πρὸς τὸ χεῖρον ζωῆς· καὶ μὴν καὶ ἡ μνήμη τοῦ δαιμονίου συνᾴδει τῇ τοῦ ἔρωτος οὐσίᾳ τε καὶ δυνάμει. Καὶ γὰρ αὐτός ἐστιν ἐρωτικός τε καὶ δαιμόνιος ἀνήρ. ὅ,τε γὰρ ἐρωτικὸς, ἐὰν ἔνθεος ᾖ, προςεχῶς μὲν ἀπολαύει τοῦ δαίμονος, διὰ δὲ τοῦ συνάπτεται τοῖς θεοῖς καὶ αὐτὴν τὴν ἐπίπνοιαν διὰ μέσου δέχεται τοῦ δαιμονίου. Τὰ γὰρ ἀπὸ θεῶν ἀγαθὰ τοῖς ἀνθρώποις ἥκει διὰ μέσου τῶν δαιμόνων, ὡς ὁ τῆς Διο-

— ἀτελεστέρων] A B F et D καταδεεστέρων. — ψυχαῖς] C ψυχῆς. — ὡς ψυχαῖς] B ὡς ψυχῆς (αῖς supra scr.) (sic). — κάθοδος αὐταῖς] haec om. cod. D. lacuna interj. — ἐν γενέσει.] C om. ἐν. Ad sententiam consule Wyttenb. ad Plutarch. de S. N. V. pag. 113 ibiq. Celsum ap. Origen. lib. VIII. p. 780 D. Ἐπειδὴ δὲ σώματι συνδεθέντες ἄνθρωποι γεγόνασι, εἴτ' οἰκονομίας τῶν ὅλων ἕνεκεν κτλ. i. e. animae a Diis in corpora mittuntur ob mundi administrationem. — τὸ δὲ μηδὲν] A et B τὸ δὲ μὴ. F et D τὸ δὲ μηδε ..... sequente lacuna om. etiam ἀπὸ. F διοικουμένον. — ἀλλὰ ἀσχέτως αὐτὰ] D om. haec lacuna interjecta. — ὑπάρχῃ] D om. lac. interj. F om. ψυχαῖς. — τινα θείαν ...... ὑπάρχει] haec om. D lac. interj. B et D θεῖαν habent pro θείαν. Male. — ἐξῃρημένης ..... κηδεμονίας] haec om. cod. D lac. interj. Cod. F περὶ αὐτὸν κηδδ̥μονίας (sic). — ἡ γὰρ σιωπὴ] C ὁ γ. σ. — ἀῤῥεψίας] A ἀτρεψίας. D ἀῤῥεθίας. ἀῤῥεψίας unice verum esse intelligitur ex adjecto ἐποχήν. Utraque vox familiaris Scepticis. Sextus Empir. Pyrrh. Hypotyp. I. 190. ἀῤῥεψίαν δὲ, τὴν πρὸς μηδέτερον συγκατάθεσιν, „suspensionem vero, ad neutram partem assensum." Idem advers. Mathem. VIII. 159 p. 487 Fabric. ἐντεῦθεν γὰρ ἡ ἀῤῥεψία καὶ ἡ ἐποχὴ γίνεται τῇ διανοίᾳ. Plura de hac voce disputavit Ign. Rossi in commentationibb. Laërtianis IX. §. 76. p. 212 seq. — τῆς ἐποχῆς] haec D om. lac. interj. — οὐσίᾳ] cod. D ...σιᾴ (sic). — διὰ δὲ τοῦ] cett. διὰ δὲ τούτου, quod placet, quamquam adversetur Cod. E. — συνάπτεται] A συνάπτεσθαι. C συνάττεται. — δαιμονίου] A F et D δαίμονος. B δαιμονίου ὑπὸ. — διὰ μέσου] cett. excepto E διὰ μέσων.

τίμας λόγος. Καὶ αὖ ὁ δαιμόνιος ἐρωτικός ἐστιν· ἢ πῶς ἀπολαύει τοῦ δαιμονίου, μὴ συνάψας ἑαυτὸν ἐκείνῳ καὶ κοινώσας τὴν ζωὴν ταῖς ἐκείνου δυνάμεσι; Τί δὲ τὸν σύνδεσμον τοῦτον τοῦ καταδεεστέρου πρὸς τὸ κρεῖττον ἀπεργάζεται, πλὴν τοῦ ἔρωτος; τοῦτον γὰρ δὴ τον θεὸν, συνδετικὸν πάντων, ἐπιβήτορα καὶ τὰ λόγια καλεῖ· καὶ οὖ τῶν μὲν συνδετικὸν, τῶν δὲ οὔ· καὶ ἡμᾶς τοίνυν ταῖς τῶν δαιμονίων ἐπιστασίαις οὗτός ἐστιν ὁ συνάπτων. Ἔτι (Cod. F. εἰ) δὲ καὶ αὐτὸς ὁ Ἔρως δαίμων ἐστὶ μέγας, ὥς φησιν ἡ Διοτίμα· καθ' ὅσον δὴ τὴν μεσότητα συμπληροῖ πάντων τε τῶν ἐραστῶν καὶ τῶν σπευδόντων ἐπ' ἐκεῖνα διὰ τοῦ ἔρωτος· τὸ γὰρ ἐραστὸν τὴν πρώτην ἔχει τάξιν, τὸ δὲ ἐρᾷν ἐκείνους τὴν τρίτην· τὸ δὲ μέσον ἀμφοῖν ὁ ἔρως συμπληροῖ συνάγων καὶ συνδέων ἀλλήλοις τό,τε ἐφετὸν καὶ τὸ ἐφιέμενον ἐκείνου, καὶ πληρῶν ἀπὸ τοῦ κρείττονος τὸ καταδεέστερον, καὶ ἐν μὲν τοῖς νοητοῖς καὶ κρυφίοις θεοῖς ἐκνίζων τῷ πρώτῳ καὶ κρυφίῳ κάλλει τὸν νοῦν τὸν νοητὸν κατά τινα νοήσεως κρείττονα ζωήν. Διὸ καὶ ὁ θεολόγος παρ' Ἕλλησιν ἀνόμματον ἀποκαλεῖ τὸν Ἔρωτα ἐκεῖνον,

— *λόγος*] om. in C etiam mox *αὖ*. Significat locum Platonis in Sympos. p. 202. e. 203. a. Bip. T. X. Bekk. II. 2. p, 428. Ed. Wolf. c. 23. — *ἐρωτικὸς*] cett. praeter Cod. E. add. *τις*, quod placet. — *δαιμονίου μὴ*] B *δαιμονίου καὶ* (with *μὴ* written above *καὶ*) (sic). — *κοινώσας*] B *κοινωνήσας*. — *σύνδεσμ. τοῦτον*] A *συνδ. τούτου*. — *καταδεεστέρου*] B ......*ων*. — *τοῦτον γὰρ δὴ*] B *τούτου γὰρ δὴ*. — *καὶ τὰ λόγια*] A B et D om. *καὶ*, et haud incommode abest. Pergit hic Fic. p. 194. De voce *ἐπιβήτωρ* vid. Eustath. ad Odyss. XIII. 222. p. 514 ed. Basil. Nam in loco Homerico nonnulli *ἐπιβήτορα* legebant. Cf. Villoison ad Apollonii Lex. Hom. p. 282 ed. Toll. — *δαίμων ἐστὶ*] F A B et D om. *ἐστὶ*. et B habet *δαίμον* (with *ων* written above) (sic). Locus est in Plat. Sympos. c. 22. p. 73. et c. 23. p. 74. Wolf. — Bip. T. X. p. 201. e. 202. c. d. Bekk. II, 2. p. 426. et 427. Attigi eundem locum in Lectt. Platonn. ad calc. Plotini de pulcr. p. 528. Laudat autem haec Diotimae verba cum in sequentibus tum in aliis quoque libris suis, v. c. in Platon. Theolog. VI. 19. p. 398. ed. Hamburg. et in Cratyl. cod. Augustano – Monac. fol. 129 vers. — *πάντων τε τῶν*] A et F *πανταχοῦ τῶν τ'*. B et D *πανταχοῦ τῶν* omisso *τε*. — *ἐπ' ἐκεῖνα*] B *ἐπέκεινα*. — *ἐρᾷν ἐκείνους*] cett. *ἐρῶν ἐκείνου*, excepto E. ubi est *ἐρῶν ἐκείνους*. Illud placet. — *τὴν τρίτην*] A *τὴν τρίτον*. — *ἐφιέμενον*] B om. — *καὶ ἐν μὲν*] B om. *ἐν*. — *ἐκνίζων*] cett. *ἐνίζων*, sed E hoc nonnisi in margine habet. Scribendum *ἑνίζων*, ut est in Cod. F. — *τῷ πρώτῳ*] B *τὴν πρώτῳ*. — *παρ' Ἕλλησιν*] F *ὁ παρ' Ἕλλησιν*.

Ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν Ἔρωτα.

Ἐν δὲ τοῖς ἔξω τὸν νοητὸν σύνδεσιν ἀδιάλυτον ἐλλάμπων τοῖς ὑφ᾽ ἑαυτοῦ τελειουμένοις· καὶ γὰρ δεσμὸς ἕνωσίς ἐστιν, ἀλλὰ μετὰ διακρίσεως πλείονος· διὸ καὶ συνδέσμιον τούτου τοῦ Ἔρωτος τὸ πῦρ τὰ λόγια προςείρηκεν·

. . . . . . . . ὃς ἐκ νόου ἔκθορε πρῶτος
Ἑσσάμενος πυρὶ πῦρ συνδέσμιον·

ἀπο γὰρ τοῦ νοητοῦ νοῦ προελθὼν συνδεῖ τὰ δεύτερα πάντα καὶ ἀλλήλοις καὶ ἐκείνῳ. Συνάπτει καὶ θεοὺς πάντας τῷ νοητῷ κάλλει καὶ τοὺς δαίμονας τοῖς θεοῖς, καὶ ἡμᾶς τοῖς τε δαίμοσι καὶ τοῖς θεοῖς· ἐν μὲν τοῖς θεοῖς πρώτως ὑφεστηκώς, ἐν δὲ τοῖς δαίμοσι δευτέρως, ἐν δὲ ταῖς ψυχαῖς μερικῶς, κατὰ δή τινα πρόοδον τρίτην ἀπὸ τῶν ἀρχῶν, καὶ ἐν μὲν τοῖς θεοῖς ὑπερουσίως. Πᾶν γὰρ τῶν θεῶν γένος τοιοῦτον, ἐν δὲ τοῖς δαίμοσι κατ᾽ οὐσίαν, ἐν δὲ ταῖς ψυχαῖς κατ᾽ ἔλλαμψιν. Καὶ ἔοικε τριπλῆ τάξις αὕτη τῇ τοῦ νοῦ τριττῇ δυνάμει. Καὶ γὰρ ὁ νοῦς ἄλλος μὲν ἀμέθεκτος ἐξῃρημένος ἀφ᾽ ὅλων τῶν μερικῶν ψυχῶν, ἄλλος δὲ ὁ μέθεκτος, οὗ δὲ αἱ ψυχαὶ τῶν θεῶν μετέχουσι, κρείττονος ὄντος· ἄλλος δὲ ὁ ἀπὸ τούτου ταῖς ψυχαῖς ἐγγινόμενος, ὃς δὴ καὶ ἔστιν αὐτῶν τῶν ψυχῶν τελειότης. Καὶ ἔχεις ἐν Τιμαίῳ τὰ τρία ταῦτα σημαινόμενα τοῦ νοῦ. Τῷ μὲν οὖν ἀμεθέκτῳ νῷ τὸν ἔρωτα τὸν ἐν θεοῖς

— *πραπίδεσσιν*] A et F *πραπίδεσιν*. — *ἔρωτα*] A et B *ἔρδων*. D *ἔρδων*. F *ἔρον*. cf. Orphica pag. 507. Herm. Mox Cod. E exhibet *τῶν νοητῶν*, quod placet. — *δεσμὸς*] cett. *ὁ δεσμός*. Bene. — *τούτου τοῦ ἔρωτος*] cett. *τοῦ ἔρωτος τούτου*. Cod. F *προείρηκεν* pro *προςείρηκεν*. — *ἔκθορε*] F A et B *ἔθορε*. Sunt hi versus in Zoroastris Oraculis l. c. v. 83 sq. Sed legendum *ἑσσάμενος* aut *ἑσσυμένος πυρὶ πῦρ συνδέσμιον*. Quid Fic. legerit, ex versione non liquet: *ab intelligibili namque intellectu procedens sequentia cuncta invicem illique devincit*. — *νοῦ προελθὼν*] A *νοῦς προέλθων* (sic). — *ἐκείνῳ*] B *ἐκείνων*. — *συνάπτει*] cett. add. *τοίνυν*, A et F habent *συνάπτοι*. Addendum sane videtur *τοίνυν*, quod legit etiam Fic. — *δαίμ. τοῖς θεοῖς*] D *δαίμ. τοῖς ἄλλοις*. — *καὶ ἡμᾶς ..... τοῖς θεοῖς*] omissa sunt in B. — *πρώτως ὑφεστηκὼς*] A *πρώτον* (sic) *ὑφέσηκεν*. — *μερικῶς*] A F et D *ταῖς μερικαῖς*. B *ταὶ μερικαῖς*. — *τῶν θεῶν γένος*] A et B *τὸ θεῖον γένος*. E C et D *τὸ θεῶν γένος*. — *τοιοῦτον*] C *τοιοῦτο*. — *ἔλλαμψιν*] A *ἔκλαμψιν*. C *ἔλαμψιν*. D *ἔλλαψιν*. — *τῇ τοῦ νοῦ*] C om. *τῇ*. — *ἀμέθεκτος*] cett. *ὁ ἀμέθεκτος*, quod placet. — *τῶν μερικῶν*] C om. *τῶν*. — *ψυχῶν*] D *γενῶν*, etiam B et F. Mox F *οὗ καὶ αἱ*. — *ὄντος· ἄλλος*] B *οὗτος ἄλλως*. — *ἐγγινόμενος*] C *ἐγγιγνόμενος*.

ἀνάλογον ληπτέον· ἐξῃρημένος γάρ ἐστι καὶ ἐκεῖνος πάντων τῶν κατόχων αὐτοῦ καὶ ἐλλαμπομένων ὑπ᾽ αὐτοῦ· τῷ δὲ μετεχομένῳ τὴν ἐνδαίμοσιν· οὐσιώδης γὰρ καὶ οὗτος καὶ αὐτοτελής, ὥςπερ ὁ μετεχόμενος νοῦς, καὶ προςεχῶς ἐπιβατεύων ταῖς ψυχαῖς· τῷ δὲ καθ᾽ ἕξιν νῷ δῆλον ὡς τὸν τρίτον τὸν κατ᾽ ἔλλαμψιν ὑφιστάμενον ἐν ταῖς ψυχαῖς. Καὶ εἰκότως, οἶμαι, τῇ νοερᾷ ταύτῃ διαφορότητι συστοίχως καὶ ὡς ἔρως θεωρεῖται. Διότι δὴ τὴν πρώτην ὑπόστασιν ἔχει καὶ κρύφιον ἐν τῷ νοητῷ νῷ· εἰ γὰρ ἐξέθορεν, ἔστιν ἐν ἐκείνῳ κατ᾽ αἰτίαν ἱδρυμένος. Καί μοι δοκεῖ καὶ ὁ Πλάτων, εὑρὼν παρ᾽ Ὀρφεῖ τὸν αὐτὸν τοῦτον θεὸν καὶ Ἔρωτα καὶ δαίμονα μέγαν ἀποκαλούμενον, ἀγαπῆσαι καὶ αὐτὸς ἐπὶ τοῦ Ἔρωτος τὸν τοιοῦτον ὕμνον· περὶ μὲν γὰρ τοῦ νοητοῦ νοῦ λέγων ὁ θεολόγος·

Ἁβρὸς Ἔρως (φησὶν) καὶ μῆτις ἀτάσθαλος.

καὶ πάλιν·

Οἷσιν ἐπεμβαὼς δαίμων μέγας αἰὲν ἐπίσχνῃ.

— *κατόχων αὐτοῦ*] cett. *κατ. αὐτῷ*. Bene. Locus, quem Noster laudat, Platonis, esse videtur in Timaeo. p. 36. c. et 37. a. Bip. T. IX. Bekk. III, 2. p. 34 quamquam non plane convenit. — *καὶ ἐλλαμπόμενον*] D *καταλαμπόμενον*. — *τὴν ἐν δαίμοσιν*] A et B *τὸ ἐν δαίμ.* F *τὸν ἐν δαίμοσιν*. D haec omnia omisit cum lacuna. Inauditum sane vocabulum est *ἐνδαίμοσις*, sed videtur vox nihili. Legendum ex Cod. F *τὸν ἐν δαίμοσι*, ut plena sit sententia: *τῷ δὲ μετεχομένῳ νῷ τὸν ἐν δαίμοσιν ἀνάλογον ἔρωτα ληπτέον*. — *γὰρ καὶ οὗτος*] *καί* om. C. — *ὥςπερ ὁ μετεχόμενος*] A F B et D *ὡς προμετεχόμενος*. — *ἐπιβατεύων*] D *ἐπιβάλλων*. — *τῷ δὲ καθ᾽ ἕξιν*] A *ὡς δὲ κ. ἕ.* — *δῆλον ὡς τὸν τρίτον*] haec omissa in D cum lacuna. C *τὸ* habet pro *τόν*. — *ὑφιστάμενον*] B *ἐφισταμένων*. Mox Cod. F *τῇ νοερῷ — διαφορότητι*. Lege cum cod. Leid. *διαφορότητι*. Nam hac voce Plato utitur pro *διαφορᾷ*. Suidas I. p. 571: *Διαφορότης· ἡ διαφορὰ παρ᾽ Αἰλιανῷ*. Tu vid. V. H. II. 21. Quod ab editoribus neglectum miror. In Zonarae Lex. gr. p. 516. eadem explicatio, Aeliani tamen mentio nulla. — *συστοίχως*] A *συστοίχω*. — *καὶ ὡς ἔρως*] cett. *καὶ ὁ ἔρως*. Ita scribendum fuit. — *καὶ κρύφιον*] B *τὴν κρύφιον*. Inde a verbis *Καί μοι* usque ad quartum, qui sequitur, versum Orphicum Bentlejus laudavit hunc locum in Epistola ad J. Millium, Opuscc. Philoll. p. 455. ed. Lips. — *ἀποκαλούμενον*] C *ὑποκαλουμ.* — *νοητοῦ νοῦ*] A *νοητοῦ* omisso *νοῦ*. B *νοῦ* (sic) omisso *νοητοῦ*, sed in margine adscriptum habet: *γρ. νοήτου*. Bentlejus omisit *τοῦ* ante *νοητοῦ*, et *φησὶν* post *Ἔρως*. — *ἁβρὸς*] B *ἁβρῶς*. v. Orphica. p. 508. Herm. — *οἷσιν ἐπεμβαὼς*] C et E *οἷον ἐπεμβεβαὼς* Vid. Orphica p. 503. Herm. — *ἐπίσχνῃ*] A B et D *ἐπ᾽ ἴχνῃ*. Et sic legendum.

περὶ δὲ τοῦ νοεροῦ νοῦ καὶ ἀμεθέκτου καὶ „μῆτις πρῶτος γενέστωρ,“ καὶ Ἔρως πολυτερπὴς,“ καὶ πάλιν·

. . . εἷς δαίμων γένετο μέγας ἀρχὸς ἁπάντων.

εἰκότως ἄρα καὶ ἡ Διοτίμα δαίμονα μέγαν αὐτὸν ἀποκαλεῖ, καὶ ὁ Σωκράτης συνάπτει τῷ περὶ ἔρωτος λόγῳ καὶ ἐραστῶν τὴν περὶ τοῦ Ἔρωτος καὶ τῆς δαιμονίας αἰτίας ἐπίδειξιν. Ὥςπερ γὰρ ἅπαν τὸ δαιμόνιον ἐξήρτηταί τῆς ἐρωτικῆς μεσότητος, οὕτω δὴ καὶ ὁ περὶ τοῦ δαίμονος λόγος συνέπεται τῷ περὶ τῆς (sic) ἔρωτος, καὶ ἔστιν ἐκείνῳ συγγενής· μέσος γὰρ καὶ ὁ Ἔρως ἐραστοῦ καὶ ἐρῶντος, καὶ ὁ δαίμων ἀνθρώπου καὶ θεοῦ· καὶ διὰ ταύτην τὴν μεσότητα παμπόλλην ἔλαχον τὴν πρὸς ἀλλήλους κοινωνίαν, καθ' ὃν καὶ ὁ Σωκράτης μετιὼν τὸν περὶ αὐτοῦ λόγον ἤρξατο μὲν ἀπὸ τοῦ Ἔρωτος, ἐτελεύτησε δὲ εἰς τὸν περὶ δαιμονίου λόγον· ἔστι γὰρ ἅμα καὶ ἐρωτικὸς καὶ δαιμόνιος, καὶ κυβερνᾷ μὲν τὴν ἐρωτικὴν ἐνέργειαν τῇ βουλήσει τοῦ Ἔρωτος, προκαλεῖται δὲ τὴν δαιμονίαν ἐπίπνοιαν τῇ περὶ τὴν ἐρωτικὴν σπουδῇ.

[κα.] Ταῦτα μὲν οὖν περὶ τούτων ἔχομεν εἰπεῖν· περὶ δὲ αὐτῶν τῶν δαιμόνων καὶ ἔτι τῶν εἰληχότων ἡμᾶς κοινῇ, καὶ τρίτον περὶ τοῦ Σωκρατικοῦ δαιμονίου μετὰ ταῦτα ῥη-

— *ἀμεθέκτου*] A et D *μεθέκτου*. B om. etiam sequens *καί*. — *μῆτις πρῶτος*] A *μή τις πρῶτος*. Orph. p. 457. Herm. — *γενέστωρ*] cett. recte *γενέτωρ*. ib. hoc legitur fragmentum et quod praecedit *Ἔρως πολυτερπὴς*, et quod sequitur, *εἷς δαίμων κτλ.* versibus Fragmenti VI, 16. et 19. Medius versus ita apud Bentl. et Herm. conjunctim scribitur:

*Καὶ Μῆτις πρῶτος γενέτωρ, καὶ Ἔρως πολυτερπής.*

Vid. etiam Fragm. Orph. VIII p. 466 Herm. — *καὶ πάλιν*] cett. add. *ἓν κράτος* ante *εἷς δαιμ.* ut est apud Bentlejum et Hermannum. — *καὶ ἡ Διοτίμα*] A et B om. *καὶ*. — *περὶ ἔρωτος*] A et B *περὶ τοῦ ἔρωτος*. — *τὴν περὶ τοῦ Ἔρωτος*] cett. *τὴν περὶ τοῦ δαίμονος* excepto Cod. E. Sed *δαίμονος* unice verum. In Cod. F scribitur *περίδειξιν*. — *ἐξήρτηται*] B *ἐξήρτηνται*. — *καὶ ὁ περὶ τοῦ δαίμ.*] C om. *ὁ*. F *δαιμονίου*. — *συνέπεται*] A et B *συνάπτεται*. — *περὶ τῆς ἔρωτος*] cett. recte *περὶ τοῦ ἔρ.* excepto Cod. E, qui consentit cum nostro. — *καὶ διὰ ταύτην*] B *καὶ διὰ ταύτης*. — *καθ' ὃν καὶ ὁ Σωκρ.*] cett. bene *καθ' ἣν κ. ὁ Σ.* — *ἅμα καὶ*] B *καὶ ἅμα*. — *τῇ βουλήσει τοῦ Ἔρωτος*] cett. praeter Cod. E. *τ. β. τοῦ δαίμονος*. Bene. — *σπουδῇ*] B *σπουδήν*.

*Ἔχομεν εἰπεῖν*] cett. *εἴχομεν λέγειν*, excepto E, in quo est *εἴχομεν εἰπεῖν*. Bene. — Pergit h. l. vertens Ficinus l. c. p. 196. — *περὶ δὲ αὐτῶν*] A F B et D *ὑπὲρ δὲ αὐτῶν*. — *τῶν δαιμόνων*] C om. *τῶν*. — *ἡμᾶς κοινῇ*] A *ἡμῶν κοινῇ*.

τέον. *Δεῖ γὰρ ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰς ζητήσεις ὁρμᾶσθαι καὶ ἐκ τούτων προϊέναι μέχρι τῶν ἀτόμων· τοῦτο* γάρ ἐστι κατὰ φύσιν καὶ πρὸς ἐπιστήμην οἰκειότερον. Οἱ μὲν τοίνυν δαίμονες τὴν πρώτην ὑπόστασιν λαχόντες ἀπὸ τῆς ζωογόνου θεᾶς, κἀκεῖθεν οἷον ἐκ πηγῆς τινος ἀποῤῥέοντες, οὐσίαν ἔλαχον ψυχικήν· νοερὰν μὲν οἱ μείζους καὶ τελεώτεροι κατὰ τὴν ὕπαρξιν, ὑφειμένην δὲ καὶ λογοειδεστέραν οἱ μέσοι καὶ δευτέραν τάξιν κεκληρωμένοι· ποικίλην δὲ καὶ ἀλογωτέραν οἱ τρίτοι καὶ τὸ τέλος συμπεραίνοντες τῆς δαιμονίας τάξεως. Τοιαύτην δὲ προστησάμενοι τὴν ὕπαρξιν συνδιήρηνται τοῖς θεοῖς, ἅτε δὴ τὴν ὑπουργικὴν καὶ ὑπηρετικὴν πρὸς αὐτοὺς δύναμιν λαχόντες· ἄλλως μὲν τοῖς ἀπολύτοις καὶ πρὸ τοῦ κόσμου τῶν ὅλων ἐξηγουμένοις· ἄλλως δὲ τοῖς ἐγκοσμίοις, οἳ καὶ προςεχῶς ἐπιβατεύουσι ταῖς μοίραις τοῦ παντός. Ἡ μὲν γάρ ἐστιν αὐτῶν διάκρισις κατὰ τοὺς δώδεκα θεοὺς τοὺς ὑπερουρανίους, ἡ δὲ κατὰ πάσας τὰς ἰδιότητας τῶν ἐν τῷ κόσμῳ θεῶν· ἅπας γὰρ θεὸς ἐγκόσμιος ἡγεῖται τάξεώς τινος δαιμονίας, ᾗ προςεχῶς δίδωσι τὴν ἑαυτοῦ δύναμιν. Ὁ μὲν γὰρ δημιουργικὸς τὴν δημιουργικήν, ὁ δὲ ἄτρεπτος τὴν ἄχραντον, ὁ δὲ τελεσιουργικὸς τὴν τελειωτικήν. Καὶ περὶ ἕκαστον τῶν θεῶν πλῆθός ἐστι δαιμόνων ἀμύθητον καὶ ταῖς αὐταῖς ἐπω-

— *ἐπὶ τὰς ζητ.*] A F et D *ἀεὶ τὰς ζητ.* bene. B *ἀεὶ ζητήσ.* omisso *τάς.* — *τοῦτο γάρ ἐστι*] C *τοῦ γάρ ἐστι.* — cett. omn. addunt *καὶ* post *ἐστι.* Bene. — *οἱ μὲν τοίνυν*] C *ὁ μὲν τοίνυν.* — *ἔλαχον*] A *ἔλαχεν.* — *νοερὰν*] F A B et D *νοερωτέραν*, ita legit etiam Fic. vertens: *magis intellectualem.* — *μείζους*] A et B *μείζονες.* — *οἱ μέσοι*] B *οἱ μέσην.* — *ἀλογωτέραν*] cett. add. *καὶ ἐνυλοτέρας*, neque vero Cod. E. Sed legit haec vocabula etiam Fic., apud quem *ἀλογωτέραν* perperam redditur *magis rationalem.* — *τάξεως*] B *τοιαύτης τάξεως.* — *τοιαύτην*] B om. Mox F *ὑπερητικὴν* (sic) *καὶ ὑπουργικὴν.* — Mox *τοῖς ἀπολύτοις* — *ἐξηγουμένοις*: *diis penitus absolutis, ante mundum cuncta exordientibus.* De *ἀπόλυτος* consule Steph. Thes. II. p. 752 sq. Locus Dionysii Areopogitae est de divinn. nomin. cap. 2. §. 1. Deos *ἀπολύτους* agnoscit Noster etiam in Theolog. Platon. IV. 9. p. 193 et VI. 16. 389. — *ἡ δὲ κατὰ*] A B et D *οἱ δὲ κατὰ*, sed E nonnisi ex correctione; erat enim scriptum *ἥ*. Ad praecedentia de duodecim diis vid. Symbolik und Mythol. II. p. 376 sq. ed. prior. p. 441 sq. 546 sq. ed. alter. — *προςεχῶς*] A *προςεχῶν.* B *προςέχων.* — *τὴν ἑαυτοῦ*] A et B *τὴν αὐτοῦ.* Mox a Cod. E et F abest *γάρ.* — *ἕκαστον τῶν θεῶν*] A F B et D *ἕκαστον θεόν.* — *πλῆθός*] C *πληθός.* Lin. sequ. Cod. E *ἀποσεμνυνόμενων* (sic). Deinde *Ἀπόλλωνος* ex corr. in contextu, in marg. *Ἀπόλλωνες.* Tum *Δίεσι*, supra scripto *ς* finali.

νυμίαις ἀποσεμνυνόμενον τῶν ἡγουμένων θεῶν· Ἀπόλλωνες γὰρ καὶ Δίες καὶ Διέρμαι καλούμενοι χαίρουσιν, ἅτε δὴ καὶ τὴν ἰδιότητα τῶν οἰκείων θεῶν ἀποτυπούμενοι. Λοιπὸν δὲ ἐκ τούτων καὶ τὰ θνητὰ μετίσχει τῶν θείων ἀποῤῥοιῶν· καὶ οὕτω δὴ ζῶα καὶ φυτὰ δημιουργεῖται, τὰ μὲν ἄλλων θεῶν, τὰ δὲ ἄλλων εἰκόνας φέροντα· καὶ τούτοις προςεχῶς μὲν οἱ δαίμονες τὰς ἐμφάσεις τῶν σφετέρων ἡγεμόνων παρέχονται, ἐξῃρημένως δὲ οἱ θεοὶ τοῖς δαίμοσιν ἄνωθεν ἐποχούμενοι. Καὶ δια τοῦτο συμπαθεῆ καὶ τὰ ἔσχατα τοῖς πρώτοις ἐστί· τῶν τε γαρ πρώτων εἰσὶν ἐν τοῖς ἐσχάτοις ἐμφάσεις καὶ τῶν ἐσχάτων ἐν τοῖς πρώτοις τὰ αἴτια προείληπται· τά τε μέσα τῶν δαιμόνων γένη συμπληροῖ τὰ ὅλα καὶ συνδεῖ καὶ συνέχει τὴν κοινωνίαν αὐτῶν· μετέχεται μὲν τῶν θεῶν, μετεχομένη δὲ ὑπὸ τῶν θνητῶν. Εἰ τοίνυν λέγοι τις τὰ κέντρα τῆς τοῦ παντὸς διακοσμήσεως ἐν τοῖς δαίμοσι πήξασθαι τὸν τῶν ὅλων δημιουργὸν, οὐκ ἂν ἁμάρτοι τῆς περὶ αὐτῶν ἀληθείας, ἐπεὶ καὶ ἡ Διοτίμα ταύτην αὐτοῖς ἀποδέδωκε τὴν τάξιν, τὴν δὲ συνδετικὴν τῶν θείων καὶ τῶν θνητῶν διαπόρθμιον τῶν ἄνωθεν

— *καὶ τούτοις προςεχῶς*] A et C *καὶ τοί τοῖς π.* B *καί τοι τοῖς π.* — *ἐξῃρημένως*] A *ἐξῃρημένων.* — *τοῖς δαίμοσιν ἐποχούμενοι* locutionem a navigatione desumtam, sicut illam alteram, qua *anima* dicitur *ἐποχεῖσθαι τῷ σώματι*, explicuimus ad Plotin. de pulcr. p. 340—342. — *συμπαθεῆ*] cett. recte *συμπαθῆ.* — *Τῶν δαιμονίων γένη* legitur paulo inferius in Cod. E. — *μετέχεται*] F A B et D *μετέχονται.* Cod. E in contextu ut noster, sed suprascriptum est *μετέχοντα* et mox *μετεχομένη* correctum in *μετεχόμενα*, ad quarum correctionum sensum vertit hunc locum Fic. *dum deorum quidem participes sunt, a caducis autem participati.* — *μετεχομένη*] A B et D *μετεχόμενα.* — *τῶν ὅλων*] A *τῶν ὅλλων.* — *αὐτοῖς*] B *αὐτῆς* [οἷς]. — *ἀποδέδωκε*] B *ἀποδέδωμεν.* Locus Platonis est in Sympos. c. XXIII. Wolf. Bip. T. X. p. 202. e. 203. a. Bekk. II, 2. p. 428. — *τὴν δὲ συνδετικὴν*] cett. om. *δὲ*, sed in Cod. E hanc voculam puncta subscripta spuriam esse produnt; neque eam legit Fic. — *διαπόρθμιον*] C *ἀπόρθιον.* F *τὴν διαπόρθμιον.* Hanc vocem non habent Lexica. Idem vocabulum infra redit. Fluxit autem ex Symposii loco laudato, ubi *τὸ δαιμόνιον* dicitur *διαπορθμεῦον θεοῖς τὰ παρ' ἀνθρώπων καὶ ἀνθρώποις τὰ παρὰ θεῶν.* Hinc angeli in libris Patrum ecclesiae dicuntur *διαπορθμεύειν τοὺς θείους λόγους* verba divina afferre hominibus de coelo in terram, vel ex alio in alium locum. Vid. v. c. Theodoretum Vol. I. p. 1329. et 1577 ed. Schulz. Hanc autem de *geniorum officiis* doctrinam iisdem ex parte verbis persequitur Jamblich. de Myster. Aegyptt. I. 5. p. 8. 9. Gal. Ubi Galeus in notis p. 189 et alios scriptorum locos laudat et vero hunc ipsum ex Nostri com-

ὀχετῶν, τὴν ἀναγωγὸν τῶν δευτέρων ἁπάντων εἰς τοὺς θεοὺς, τὴν συμπληρωτικὴν τῶν ὅλων, τὴν τῆς μεσότητος συνοχήν. Οὐκ ἄρα ἀποδεξόμεθα τοὺς λέγοντας τὰς ψυχὰς τῶν ἀνθρώπων εἶναι τοὺς δαίμονας μεταβαλούσας τὸν τῇδε βίον· οὐ γὰρ δὴ τὸ κατὰ σχέσιν δαιμόνιον εἰς ταὐτὸν ἄγει τῷ κατ' οὐσίαν, οὐδὲ τὴν ἀΐδιον μεσότητα τῶν ἐγκοσμίων ἁπάντων ἐκ τῆς μεταβαλλούσης αὐτὴν πολυειδῶς ὑφιστάνειν ζωῆς. Ἕστηκε γὰρ ἀεὶ ὡσαύτως ἡ δαιμονία φρουρὰ συνέχουσα τὰ ὅλα· ψυχῆς δὲ τάξις οὐκ ἔστιν, ὥς φησιν ὁ ἐν τῇ Πολιτείᾳ Σωκράτης· ἄλλοτε γὰρ ἄλλους αἱρεῖται βίους. Ἀλλ' οὐδὲ ἐκείνους ἐπαινέσομεν, ὅσοι τῶν θεῶν τινας δαίμονας ποιοῦσιν, οἷον τοὺς πλανωμένους, καθάπερ Ἀμέλιος· ἀλλὰ πεισώμεθα τῷ Πλάτωνι, τῷ τοὺς θεοὺς ἄρχοντας λέγοντι τοῦ παντὸς, ὑποτάττοντι δὲ αὐτοῖς τὰς τῶν δαιμόνων ἀγέλας, καὶ πανταχοῦ διασωσόμεθα τὸν τῆς Διοτίμας λόγον, μέσην τῷ δαιμονίῳ τάξιν ἀπονέμοντα τῶν τε θείων ἁπάντων καὶ τῶν γεννητῶν.

mentariis in Alcibiadem. — *τὴν τῆς μεσότητος*] C et D *κατὰ τὴν τῆς μεσότ.* F *κατὰ τῆς μεσ.* — *τοὺς λέγοντας*] A B et D *τῶν λεγόντων*, et in margine Cod. D: *ὅτι καὶ ὁ Πρόκλος κακίζει τοὺς λέγοντας τὰς ψυχὰς εἶναι τοὺς δαίμονας· ὡς καὶ ὁ χρυσοῦς τὴν γλῶτταν.* — *τὰς ψυχὰς*] cett. om. *τάς.* Cod. B hunc ordinem habet: *τοὺς δαίμονας εἶναι ψυχὰς ἀνθρώπων.* Bene, et ita clarior fit sensus. — *τῶν ἀνθρώπων*] cett. om. *τῶν.* — *οὐ γὰρ δὴ*] C et D *οὐ γὰρ δεῖ*, fuit *δὴ* in Cod. E, sed correxit id alia manus in *δεῖ.* — *εἰς ταὐτὸν ἄγει*] A B et C *εἰς ταὐτὸν ἄγειν*, et ita Cod. E ex corr., cum antea fuisset *ἄγει.* D *εἰς ταὐτὸν ἀνάγειν.* Legendum absque dubio *δεῖ -- ἄγειν*, uti legit etiam Fic. — *ἁπάντων*] cett. *πάντων.* — *μεταβαλλούσης*] A *μεταβαλούσης.* — *αὐτήν*] A B et D *ἑαυτήν.* Bene; et legit ita Fic. — *ζωῆς*] C *ζωήν.* — *ψυχῆς δὲ τάξις*] B *ψυχῆς καὶ τὰ ἑξῆς.* Vid. Platon. de Rep. lib. X p, 620. Bip. T. VII. — Bekk. III, 1. p. 512. sqq. — *ἄλλοτε*] B *ἀλλ' ὅτε.* — *βίους*] B *βία.* — *ἐπαινέσομεν*] B *ἐπαινοῦμεν.* Scrib. *ἐπαινέσωμεν.* — *δαίμονας ποιοῦσιν*] A *δαιμοποιοῦσιν.* B *δαιμονοποιοῦσιν.* *Ἀμέλιος* — vid. Suidam in *Ἀμέλιος*, I. p. 137 Kust. ad quem ita Reinesius in Obss. ed. Mueller. pag. 16: „*Ἀμέλιος τῆς Πορφυρίου πρωτεύσας διατριβῆς.* Admiratur prooemium Evangelii St. Joannis. Verba ejus habet Theodoretus lib. II. *παιθ. ἑλλ. παθ.* (Tu vid. Vol. IV. p. 157 Schulzii et adde *van Voorst* V. Cl. Annotatt. in loca select. N. T. Spec. III. p. 102). Alter Plotini *ζηλωτὴς*, e Tuscia oriundus fuit, *Gentilianus Amelius.* Porphyr. de vit. Plotin. cap. VII. p. 104. Fabric." Haec Reinesius. Tu consule etiam Toupium ad Longin. V. 2. 3. p. 521. Weiskii. Plura de Ameliis vel de Amelio ex schedis proferam in Prolegomm. ad Plotinum. — *τῷ τοὺς θεοὺς ἄρχοντας*] F A et B *τῷ τοὺς μὲν θεοὺς ἀρχ.* — *διασωσόμεθα*] B *διασῳζώμεθα.* Malim *διασωσώμεθα.* — *τῷ δαιμονίῳ*] B *τῶν δαιμονίων.* — *ἀπονέμοντα*] B *ἐπινέμοντα.* C *ἀπονέμοντι.* — *τῶν γεννητῶν*] cett.

[κβ.] Κοινῇ μὲν οὖν περὶ ἁπάσης δαιμονίας τάξεως ταύτην ἔχει προςήκει τὴν ἔννοιαν, ἰδίᾳ δὲ περὶ τῶν εἰληχότων ἡμᾶς μετὰ ταῦτα λεκτέον. Τῶν γὰρ δαιμόνων τούτων κατὰ τὸ μέσον, ὡς εἴπομεν, τεταγμένων, οἱ μὲν πρώτιστοι θεῖοι δαίμονές εἰσι, καὶ θεοὶ φανταζόμενοι πολλάκις, διὰ τὴν ὑπερβάλλουσαν ὁμοιότητα πρὸς τοὺς θεούς· ὡς γὰρ καθ' ὅλου φάναι, πάσης τάξεως τὸ πρώτιστον σώζει τὴν τοῦ πρὸ ἑαυτοῦ μορφήν. Καὶ γὰρ νοῦς ὁ πρώτιστος αὐτόθεν θεὸς καὶ ψυχῶν ἡ πρεσβυτάτη νοερά· καὶ τῶν δαιμόνων τοίνυν τὸ ἀκρότατον γένος, ἅτε προςεχὲς ὂν τοῖς θεοῖς, ἑνοειδές ἐστι καὶ θεῖον. Δεύτεροι δὲ μετὰ τοὺς τοιούτους εἰσὶ δαίμονες οἱ τῆς νοερᾶς ἰδιότητος μετέχοντες καὶ τῶν ἀνόδων προϊστάμενοι καὶ τῶν καθόδων, καὶ ὅλως ἐκφαίνοντες τοῖς πᾶσι καὶ ἐκδιδόντες τὴν ποίησιν τῶν θεῶν. Τρίτοι δέ εἰσιν οἱ τῶν θείων ψυχῶν τὰς εἰς τὰ δεύτερα ποιήσεις διανέμοντες καὶ συμπληροῦντες τὸν σύνδεσμον τῶν δεχομένων τὰς ἐκεῖθεν ἀποῤῥοίας πρὸς αὐτάς.

*τῶν θνητῶν*, excepto Cod. E. Ficinus cum ceteris legit *θνητῶν*.

*Ταύτην ἔχει*] cett. *ταύτην ἔχειν*, et ita legendum. Omisit Ficinus quae sequuntur inde a *κοινῇ* usque ad *λεκτέον*. — *πρὸς τοὺς θεούς*] C *εἰς θεούς*. — Daemonum genera enumerat etiam Hermias in Platon. Phaedrum p. 87 sqq., ubi p. 87: *ἡρωΐσσαι, δαιμονίδες, θειότεραι τάξεις*, p. 89: *γένη δαιμόνων*, p. 93 sqq.: *ὁ εἰληχὼς ἡμᾶς δαίμων*, laudato etiam Plotini libro *de genio nosmet sortito*. — *ὡς γὰρ καθ' ὅλου*] A *ὃς γὰρ καθόλως*. D *ὡς γὰρ καθόλον*. — *τὴν τοῦ πρὸ*] D om. *τοῦ*. *Καὶ ψυχῶν — νοερά*. „et animarum antiquissima *intellectualis* existit" Ficinus. In omni hujus vocabuli usu bina tenenda sunt, primum usus et vulgaris et philosophus. Deinde differentia quae intercedit inter *τὸ νοερὸν* et *νοητόν*. Illum docent veteres Grammatici, cum ita explicant: *τὸ νοερόν· τὸ αἰσθητὸν, τὸ πνευματικὸν, τὸ μὴ ὁρώμενον*. Vid. Goens. ad Porphyr. de antro Nymph. cap. VIII et X. p. 95. 97. Alterum illud nemo nescit *τὸ νοερὸν* saepiuscule esse quod Appulejus aliique *intellectuale* nominant. Est tamen ubi *τὸ νοερὸν* tanquam *intelligens* accipiatur (*νοήμων*), et *νοητὸν* tanquam, *quod intelligitur*. Synesius epist. 153 pag. 292. Petav.: *τῶν δὲ κατὰ νοῦν ἐπιβολῶν μόνον δέχονται τὰς ἐκλάμψεις, οἷς ὑγιαίνουσι τὸ νοερὸν ὄμμα φῶς ἀνάπτει συγγενὲς ὁ θεὸς, ὃ τοῖς τε νοεροῖς τοῦ νοεῖν, καὶ τοῖς νοητοῖς αἴτιον τοῦ νοεῖσθαι*. Maximi Scholia in Dionys. Areopag. de divinn. nomm. IV. 1. p. 598 Antverp.: *Κατὰ κυριότητα ἕτερόν ἐστι νοητὸν καὶ ἕτερον νοερόν. Τὸ γὰρ νοητὸν τροφὴ οἷά τις τοῦ νοεροῦ ἐστιν, εἴπερ τὸ νοούμενον, ὅ ἐστι νοητὸν, μεῖζόν ἐστι καὶ προεπινοούμενον τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. Τὰ μὲν οὖν ὑπερκείμενα καὶ προσεχῆ τῷ Θεῷ τάγματα, νοητὰ κυρίως λεκτέον· τὰ δὲ ὑποβεβηκότα, νοερὰ, ἅτε νοοῦντα τὰ ὑπερκείμενα*. — *δεύτεροι*] C *δεύτερον*. — *εἰσὶ δαίμονες*] C om. *εἰσί*. — *τρίτοι δὲ*] C *τρίτον δέ*. — *τὰς ἐκεῖθεν ἀποῤῥ.*] C *τὰ ἐκεῖθ. ἀπ.*

Τέταρτοι δὲ οἱ τῶν ὅλων φύσεων τὰς δυνάμεις τὰς δραστηρίους εἰς τὰ γεννητὰ καὶ φθαρτὰ διαπορθμεύοντες καὶ ἐμπνέοντες ταῖς μερισταῖς φύσεσι ζωὴν καὶ τάξιν καὶ λόγους καὶ τὴν παντοίαν τῶν θνητῶν τελεσιουργίαν. Πέμπτοι δὲ οἱ σωματοειδεῖς καὶ συνδετικοὶ τῶν ἐν τοῖς σώμασιν ἀκροτήτων· πῶς γὰρ τὰ ἀΐδια σώματα συνέσονται τοῖς φθαρτοῖς; πῶς τὰ ποιοῦντα τοῖς ἀποτελέσμασιν, ἢ διὰ ταύτης τῆς μεσότητος; αὕτη γάρ ἐστιν ἡ καὶ τῶν σωματοειδῶν ἀγαθῶν ὑπάρχουσα καὶ πρόνοιαν ποιουμένη τῶν κατὰ φύσιν ἁπάντων πλεονεκτημάτων. Ἕκτοι δὲ δὴ οὖν ἐπὶ τούτοις οἱ περὶ τὴν ὕλην στρεφόμενοι καὶ τῶν εἰς τὴν ὕλην ἡκόντων ἄνωθεν ἀπὸ τῆς οὐρανίας ὕλης δυνάμεων συνεκτικοὶ καὶ φρουροῦντες αὐτὴν ἀεὶ καὶ τὴν ἐν αὐτῇ σκιογραφίαν τῶν εἰδῶν φυλάττοντες.

[κγ.] Πολλῶν τοίνυν καὶ παντοδαπῶν, ὥςπερ ἡ Διοτίμα φησὶ, τῶν δαιμόνων ὄντων, οἱ μὲν ἀκρότατοι τὰς ψυχὰς προελθούσας ἀπὸ τοῦ πατρὸς συνάπτουσι τοῖς ἑαυτῶν ἡγεμόσι θεοῖς. Ἕκαστος γὰρ, ὡς εἴπομεν, θεὸς ἡγεῖται πρῶτον μὲν δαιμόνων, ἔπειτα καὶ ψυχῶν μερικῶν· ἔσπειρε γὰρ καὶ τούτων ὁ δημιουργὸς, ὥς φησιν ὁ Τίμαιος, τὰς μὲν εἰς Ἥλιον, τὰς δὲ εἰς Σελήνην, τὰς δὲ εἰς τοὺς ἄλλους θεούς. Οὗτοι δὴ οὖν οἱ θεοὶ δαίμονές εἰσιν οἱ κατ' οὐσίαν εἰληχότες τὰς ψυχὰς καὶ συνάπτοντες αὐτὰς τοῖς οἰκείοις ἄρχουσιν. Καὶ πᾶσα ψυχὴ, κἂν συμπεριπολῇ τῷ ἑαυτῆς θεῷ, δεῖται τοῦ τοιούτου δαίμονος· οἱ δὲ δεύτεροι δαίμονες τὰς ἀνόδους αὐτῶν καὶ τὰς καθόδους ἐπιτροπεύουσι, καὶ ἀπὸ τούτων αἱ αἱρέσεις αἱ πολλαὶ

— τέταρτοι] C τέταρτον. F mox δραστηρίας. — φθαρτὰ] B τὰ φθαρτά. — ταῖς μερισταῖς] C om. ταῖς. — τῶν θνητῶν] A τῶν θεῶν et in marg. γρ. τῶν θνητῶν. F τῶν θεῶν. — συνδετικοὶ] C συνεκτικοί. — συνέσονται] C συνάπτεται. — ταύτης τῆς μεσότητος] C ταύτης τῇ μεσότητι. His desinit cod. C. — φρουροῦντες] B φρονοῦντες. — σκιογραφίαν] σκιαγραφίαν. Utcunque scribas, nihil differt.

Ἡ Διοτίμα] Vid. Platon. Sympos. p. 203. a. Bip. T. X. Bekk. II, 2. p. 429. Ed. Wolf. c. 23. p. 75. — προελθούσας] cett. τὰς παρελθούσας, sed E ut noster. — πρῶτον] A πρώτω. F B et D πρώτως. Qui sequitur locus est apud Platonem in Tim. p. 42. d. Bip. T. IX. Bekk. III, 2. p. 45. — αἱρέσεις αἱ πολλαὶ] cett. αἱρέσεις ταῖς πολλαῖς. Ita fuit etiam scriptum in Cod. E, sed alia manus correxit αἱ πολλαί.

τῶν ψυχῶν· ἐπεὶ αἵγε τελεώταται καὶ ἀχράντων ὁμιλοῦσαι τῇ γενέσει, ὥςπερ τὸν προςήκοντα βίον αἱροῦνται τῷ ἑαυτῶν θεῷ, οὕτω καὶ κατὰ δαίμονα ζῶσι τὸν θεῖον, ὃς καὶ μενούσας αὐτὰς ἄνω συνῆπτε τῷ οἰκείῳ θεῷ. Διὸ δὴ καὶ ὁ Αἰγύπτιος τὸν Πλωτῖνον ἐθαύμασεν ὡς θεῖον ἔχοντα τὸν δαίμονα. Ταῖς μὲν οὖν ἀποκαταστικῶς ζώσαις ψυχαῖς ὁ αὐτός ἐστιν ἄνω κἀνταῦθα δαίμων· ταῖς δὲ ἀτελεστέραις ἄλλος μὲν ὁ κατ' οὐσίαν δαίμων, ἄλλος δὲ ὁ κατὰ τὸν προβεβλημένον βίον. Εἰ δὴ ταῦτα ὀρθῶς λέγοιμεν, οὐδεὶς ἂν ἀποδέξαιτο τοὺς τὴν λογικὴν ψυχὴν τὴν ἡμετέραν δαίμονα ποιοῦντας· ὁ μὲν γὰρ δαίμων ἕτερος ἀνθρώπου, καθάπερ ἥ τε Διοτίμα λέγει, μέσον τι θεμένη τοὺς δαίμονας θεῶν καὶ ἀνθρώπων, καὶ ὁ Σωκράτης ἐνδείκνυται ἀντιδιαστέλλων τῷ ἀνθρωπείῳ τὸ δαιμόνιον, οὐκ ἀνθρώπειον γάρ φησι τὸ αἴτιον, ἀλλά τι δαιμόνιον ἐναντίωμα· ὁ δὲ ἄνθρωπος ψυχή ἐστι σώματι χρωμένη, ὡς δειχθήσεται. Οὐκ ἄρα ὁ δαίμων ὁ αὐτός ἐστι τῇ λογικῇ ψυχῇ, καίτοι καὶ τοῦτο φανερὸν, ὅτι καὶ ὁ Πλάτων αὐτὸς ἐν τῷ Τιμαίῳ δαίμονά φησιν ἐν ἡμῖν τοῦ ζώου κατῳκεῖσθαι τὸν λόγον. Ἀλλὰ τοῦτο μέχρι τῆς ἀναλογίας μόνον ἀληθές· ἄλλος γάρ ἐστιν ὁ τῇ οὐσίᾳ δαίμων, ἄλλος ὁ κατ' ἀναλογίαν δαίμων, ἄλλος ὁ κατὰ σχέσιν

— *τελεώταται*] B *τελεώτατοι*. — *καὶ ἀχράντων*] cett. *κ. ἀχράντως*. Cod. E *ἀχράντως* recte correctum pro *ἀχράντων*. D om. *καί*. — *ὁμιλοῦσαι*] B *ὁμιλοῦσα*. Mox F *τῷ ἑαυτῆς*. — *οὕτω καὶ κατὰ δαίμονα ..... οἰκείῳ θεῷ*] haec omissa sunt in cod. D. — *διὸ δή*] cett. om. *δή*, excepto Cod. E, in cujus margine ad h. l. adscriptum est: v. Porphyr. in Vita Plotini. Qui locus est cap. X. p. 110 sq. in Fabr. Bibl. Gr. T. IV. Ed. pr. ubi scribitur: *θεὸν ἔχων τὸν δαίμονα*. Quo de loco plura exponam ad ipsum Porphyrium in editione Plotini. Nunc sufficit lectores amandare ad Cardanum de subtilitate lib. 19 et ad Naudeum in libro qui inscribitur: Apologie pour tous les grands personnages, qui ont été faussement soupçonnés de Magie p. 340—343. — *ταῖς μὲν οὖν*] B *τοὺς* (*ταῖς*) *μὲν οὖν*. — *ἀποκαταστικῶς*] B *καταστικῶς*. Scr. *ἀποκαταστατικῶς*. — *προβεβλημένον*] B *προβεβουλημένον*. Mox Cod. E perperam *ἀποδέξαιτο*. — *ἥτε Διοτίμα*] D *ἤτϊ Διοτίμα*. Vid. Platon. Sympos. p. 202. d. Bip. T. X. Bekk. II, 2. p. 428. Ed. Wolf. c. 23. p. 74. — *μέσον τι*] B *μέσους τι*, etiam D; E *μέσον τιθεμένη*. F *μέσους τιθεμένη*. Bene. — *θεῶν καὶ ἀνθ.*] B *θεῶν τε καὶ ἀνθ.* — *κατῳκεῖσθαι*] A *κατωκῆσθαι*. Ita fuit etiam in Cod. E, sed correxit alius *κατωκεῖσθαι*. V. Platon. Tim. 90. a. Bekk. III, 2. p. 157. — *ὁ τῇ οὐσίᾳ δαίμων*] in marg. Codd. D et E *δαίμων κατ' οὐσίαν, κατ' ἀναλογίαν, κατὰ σχέσιν*.

δαίμων. Πολλαχοῦ γὰρ τὸ προσεχῶς ὑπερκείμενον ἐν δαίμονος τάξει πρὸς τὸ καταδεέστερον ὑποτεταγμένον δαίμονα καλεῖν εἰώθασιν. Ὥσπερ δὴ καὶ παρὰ τῷ Ὀρφεῖ λέγει που πρὸς τὸν ἑαυτοῦ πατέρα, τὸν Κρόνον, ὁ Ζεύς·

Ὄρθου δι' ἡμετέρην γενεὴν, ἀριδείκετε δαίμων·

καὶ αὐτὸς δὲ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ δαίμονας ἐκάλεσε τοὺς προσεχῶς διακοσμοῦντας τὴν γένεσιν θεούς· περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν, μεῖζον ἢ καθ' ἡμᾶς. Ὁ μὲν δὴ κατὰ ἀναλογίαν δαίμων τοιοῦτός ἐστιν ὁ προσεχῶς ἑκάστου προνοῶν, κἂν θεὸς ᾖ, κἂν τῶν μετὰ θεοὺς τεταγμένων· ὁ δὲ κατὰ σχέσιν δαίμων λέγοι τ' ἂν ὁ δι' ὁμοιότητος τῆς πρὸς τὸ δαιμόνιον γένος θαυμασιωτέρας ἢ κατὰ ἄνθρωπον ἐνεργείας προβεβλημένος, καὶ τὴν ἑαυτοῦ ζωὴν ὅλην ἐξάψας τῶν δαιμόνων· οὕτω γὰρ, οἶμαι, καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης δαίμονας ἐκάλεσε τοὺς εὖ βεβιωκότας καὶ ἐς ἀμείνω λῆξιν μεταστάντας καὶ τόπον ἁγιώτερον· ὁ δὲ αὖ κατ' οὐσίαν δαίμων οὔτε διὰ τὴν πρὸς τὰ δεύτερα σχέσιν καλεῖται δαίμων, οὔτε διὰ τὴν πρὸς ἄλλο ἀφομοίωσιν, ἀλλὰ καθ' αὑτὸν ἔλαχε τὴν ἰδιότητα, καὶ ἔστιν ἐν ὑπάρξει τινὶ καὶ δυνάμεσιν οἰκείαις καὶ ἐνεργειῶν τύποις διαφέρουσιν ἀφωρισμένοις· ὅλως δὲ

— πολλαχοῦ] Fic. vertit *Ubique*, legisse igitur videtur *πανταχοῦ*. — *ὑποτεταγμένον*] cett. *τεταγμένον*. — *ἀριδείκετε*] B *ἀριδήκετε*. Cod. F *ὄρθου δή*. Cod. E pro *δι'* recte *δ'*, v. Hermann. Orph. Fragm. X, 4. p. 471. et p. 508. Ita etiam Werferus, qui item fragmentum ex Nostri commentariis in Platonis Cratylum edidit in Actis philologorr. Monacc. T. II. facisc. I. p. 1220. Videlicet ter adhibuit Proclus hunc versiculum Orphicum, ad Timaeum, ad Cratylum itemque ad Alcibiadem. — *δαίμων*] B *δαίμονες*. — *ἐν τῷ Τιμαίῳ*] D et F om. *τῷ*. v. Plat. Tim. p. 96. c Bip. T. IX. Bekk. III, 2. p. 138. — *ἢ καθ' ἡμᾶς*] B *ἡ καθ' ἡμᾶς*. — *ὁ μὲν δὴ*] A et B om. *δή*. — *ὁ δὲ κατὰ σχ.*] B *οὐ κατὰ σχ.* — *λέγοι τ' ἂν*] cett. *λέγοιτο ἂν* aut ita legendum, aut *λέγοιτ' ἄν*. — *κατὰ ἄνθρωπον*] cett. *κατ' ἄνθρωπον*, sed E ut noster *ἐν Πολιτείᾳ*. Vid. locos supra laudatos. De sedibus, quas sortiti sunt daemones, (nam hae sunt eorum *λῆξεις*) confer Proclum nostrum in Theolog. Platon. IV. 16. pag. 217 sq. Hinc vocabulum sumserunt ecclesiae Patres, quorum locos congessit Suicer. in Thes. eccles. II. p. 234 sq. Tu adde Theodoret. Vol. IV. p. 911. 913 ed. Schulz.: *λήξεως θείας καὶ τρισολβίας ἀπολαῦσαι*. Hinc usurpant iidem nunc *τὴν οὐράνιον λῆξιν*, nunc *τὴν μακαρίαν καὶ ἀγήρω λῆξιν* et similia, quae attigit Matthaei vir doctiss. ad Jo. Chrysostomi Homiliam II. p. 82 sq. not. 44. — *πρὸς ἄλλο*] B *πρὸς ἄλλους*. D omisit *ἄλλο* cum lacunâ. — *καθ' αὑτὸν*] cett. add. *ταύτην*. Bene. — *ἐνεργειῶν τύποις*] A *ἐνεργειῶν τρόποις*. F *ἐνεργείοις τόποις*. B *ἐνεργειῶν*

ἡ λογικὴ ψυχὴ δαίμων ἐν τῷ Τιμαίῳ τοῦ ζώου προςείρηται. Ἡμεῖς δὲ τὸν τοῦ ἀνθρώπου δαίμονα ζητοῦμεν, ἀλλ' οὐ τὸν τοῦ ζώου, καὶ τὸν ἐπιτροπεύοντα τὴν λογικὴν ψυχὴν αὐτήν, ἀλλ' οὐ τὸ ὄργανον αὐτῆς, καὶ τὸν ἄγοντα περὶ τοὺς δικαστὰς τὴν ψυχὴν μετὰ τὴν τοῦ ζώου διάλυσιν, ὥς φησιν ὁ ἐν τῷ Φαίδωνι Σωκράτης. Ὅτε τὸ μὲν ζῶον οὐκέτ' ἔστιν, ὁ δὲ δαίμων ἄγει ἕκαστον, ὥςπερ καὶ ζῶντα εἰλήχει, παρὰ τὸν δικαστήν. Εἰ γὰρ ζῶντα ὁ δαίμων, ὃν καὶ νῦν ἄγειν λέγεται μετὰ θάνατον, τὸν ἄνθρωπον δηλονότι εἴληχεν, ἀλλ' οὐ τὸ ζῶον μόνον, καὶ ἄνωθεν ἀρχόμενος ἐπιτροπεύει πᾶσαν τὴν σύστασιν ἡμῶν. Ἀλλ' οὐδὲ εἴ τινες τῆς λογικῆς ψυχῆς ἀφιστάντες δαίμονα λέγοιεν εἶναι τὸ ἐνεργοῦν τῆς ψυχῆς, οἷον ἐν μὲν τοῖς ζῶσι κατὰ λόγον τὸν λόγον, ἐν δὲ τοῖς θυμοειδέσι τὸ θυμικόν· ἢ εἴ τινες ἀντὶ προςεχῶς ὑπερκείμενον τοῦ ἐνεργοῦντος τίθενται τῆς ζωῆς ἡμῶν, οἷον τῶν θυμοειδῶν τὸν λόγον, καὶ τῶν κατ' ἐπιθυμίαν ζώντων τὸν θυμόν, οὐδ' οὗτοί μοι δοκεῖ στοχάζεσθαι τῆς τῶν πραγμάτων ἀληθείας. Πρῶτον μὲν γὰρ τοὺς δαίμονας μόρια τῶν ψυχῶν ποιεῖν πάνυ θαυμαζόντων ἐστὶ τὴν ἀνθρωπίνην ζωὴν καὶ οὐδαμοῦ προσποιουμένων τὸν ἐν Πολιτείᾳ Σωκράτην, μετὰ θεοὺς καὶ δαίμονας τάττοντα τό τε ἡρωικὸν καὶ τὸ ἀνθρώπειον γένος, καὶ τοῖς ποιηταῖς ἐπιπλήττοντα, διότι δὴ τοὺς ἥρωας οὐδὲν βελτίους τῶν ἀνθρώπων εἰςάγοντας

*τρόποι*. D *ἐνεργεῖ τρόπ*... sequente parva lacuna. E *τόποις*. Praestat *τύποις*, quod legit Fic. — *ἀφωρισμένοις*] F A D et E in marg. bene *ἀφωρισμένος*. B *ἀφορισμένος*. Illud legit etiam Fic. — *ἡ λογικὴ*] D *ἡ μὲν λογικὴ*. Locum Platonis paulo superius laudavimus. — *τὸν τοῦ ἀνθρώπου*] A et B *τὸν ἀνθρώπου*. E et D *τοῦ ανθρώπου* omisso *τόν*. — *ψυχὴν αὐτὴν*] B *ψυχὴν αὐτὸν*. Cod. F om. *αὐτήν*. — *Φαίδωνι*] B *Φαίδρῳ*. Mox E *ὅ τὲ*. Est locus in Phaedone p. 107. d. e. Bip. T. I. Bekk. II, 3. pag. 107. — pag. 82. ed. Wytt. cujus vid. notam p. 289 sqq. — p. 449. Fisch. — *εἰ γὰρ ζῶντα ὁ δαίμων*] D *εἰ γὰρ τοῦτον εἰλήχει ζῶντα ὁ δαίμων*. A et F omiserunt *τοῦτον εἰλήχει* cum lacuna. Cod. E ad vocem *Εἰ* in marg. adscriptum habet *ἴσ. εἰλήχει*; bene quidem, neque vero hoc loco ponendum fuit. Fic. legit, ut est in Cod. D. Recte. Mox in Cod. F scribitur *ἐπι* (lacuna) *τὴν σύστασιν* et paulo post *ἀποστάντες* pro *ἀφιστάντες*. — *εἴληχεν*] D *εἴλαχεν*. — *λέγοιεν εἶναι*] D *λέγειεν εἶναι*. — *ἐνεργοῦν τῆς*] D *ἐνεργοῦν ἐπὶ τῆς*. — *ἀντὶ προςεχῶς*] cett. *αὐτὸ προςεχῶς*, bene. Melius fortasse *ἄν τι*. Omisit h. l. tres lineas Ficinus. — *οὐδ' οὗτοι*] D *ἀλλ' οὗτοι*. — *μοι δοκεῖ*] cett. *δοκοῦσι*. Bene. — *ἐν Πολιτείᾳ*] Plat. Rep. L. III. p. 391. d. Bip. T. VI. Bekk. III, 1. p. 117. — *διότι*] A *διὸ τί*. — *εἰςάγοντας*] cett. bene, *εἰςάγουσι*, excepto solo Cod. E.

ἐν τοῖς ποιήμασιν, ἀλλ' ἐν τοῖς ἰδίοις παθήμασι στρεφομένους. Ὁ γὰρ ταῦτα ἐπιτιμῶν πολλοῦ ἂν δεήσειε τοὺς δαίμονας, οἳ καὶ τῶν ἡρώων εἰσὶν ὑπέρτεροι, τοῖς μορίοις τῶν ψυχῶν καὶ τοῖς δυνάμεσι τοὺς αὐτοὺς ὑποτίθεσθαι· συμβαίνει γὰρ ἐκ τούτων τὰ κρείττονα κατ' οὐσίαν συμπληρωτικὰ γίνεσθαι τῶν καταδεεστέρων. Δεύτερον δὲ, αἱ τῶν ζώων μεταβολαὶ καὶ τῶν δαιμόνων εἰςάγουσι τὰς πολυειδεῖς ἐξαλλαγάς· ὁ γὰρ φιλοχρήματος μεταπίπτει πολλὰ εἰς φιλότιμον βίον, καὶ οὗτος εἰς ὀρθοδοξαστικὸν, καὶ οὗτος εἰς ἐπιστήμονα· καὶ δαίμων τοίνυν ἄλλοτε ἄλλος ἔσται· καὶ γὰρ τὸ ἐνεργοῦν μόριον ἄλλοτε ἄλλο ἐστίν. Εἴτε οὖν αὐτὸ δαίμων ἐστὶν, εἴτε τὸ πρὸ αὐτοῦ τεταγμένον, ὁμοῦ τῇ μεταβολῇ τῆς ἀνθρωπίνης ζωῆς καὶ οἱ δαίμονες μεταβάλλουσι καὶ ἐν ἑνὶ βίῳ πολλοὺς ἕξει δαίμονας ὁ αὐτός. Ὃ δὴ πάντων ἐστὶν ἀδυνατώτατον· οὐδέποτε γὰρ ψυχὴ μεταβάλλει καθ' ἕνα βίον τὴν τοῦ δαίμονος προστασίαν, ἀλλ' ὁ αὐτός ἐστιν ἐκγενετὴς, μέχρι τῆς πρὸς δικαστὰς πορείας ὁ κυβερνῶν ἡμᾶς, ὥςπερ καὶ τοῦτό φησιν ὁ ἐν Φαίδωνι Σωκράτης. Καὶ μὴν καὶ ὅσοι τὸν νοῦν τὸν μερικὸν εἰς ταὐτὸν ἄγουσι τῷ λαχόντι δαίμονι τὸν ἄνθρωπον, οὐ καλῶς δοκοῦσί μοι συγχεῖν τὴν νοερὰν ἰδιότητα πρὸς τὴν δαιμονίαν ὕπαρξιν. Ἅπαντες γὰρ οἱ δαίμονες ἐν τῷ πλάτει τῶν ψυχῶν ἐφεστήκασι καὶ δεύτεροι τῶν θείων εἰσὶ ψυχῶν· ἄλλη δὲ ἡ νοερὰ τάξις τῆς ψυχῆς, καὶ οὔτε οὐσίαν ἔλαχον τὴν αὐτὴν, οὔτε δύναμιν, οὔτε ἐνέργειαν.

[κδ.] Ἔτι δὲ πρὸς τοῦτο κἀκεῖνον ῥητέον, ὅτι νοῦ μὲν ἀπολαύουσιν αἱ ψυχαὶ τότε μόνον, ὅταν πρὸς αὐτὸν ἐπιστραφῶσι καὶ δέξωνται τὸ ἐκεῖθεν φῶς καὶ συνάψωσι τὴν ἑαυτῶν

— *ἰδίοις παθήμασι*] A et B *ὁμοίοις παθήμ.* D *οἰκείοις πάθεσι.* — *εἰςάγουσι*] cett. *εἰςάξουσι.* Paulo superius Cod. E *δεύτεροι*, hoc autem loco *εἰςάξουσι*, et ita Fic. quoque legit (*adducent*). — *πολλὰ εἰς*] D *πολλάκις εἰς.* Non displicet Fic. *saepe.* — *ἄλλοτε*] B *ἄλλατε.* — *ἄλλο ἐστίν*] A et B *ἄλλος ἐστίν.* Ita fuit etiam in Cod. E, sed alia manus delevit *ς.* — *καὶ ἐν ἑνὶ*] B om. *ἐν.* — *ὃ δὴ πάντων*] A *ὁ δὲ πάντων.* — *ἐκγενετὴς*] cett. *ἐκ γενετῆς*, et ita scribendum. — *πρὸς δικαστὰς*] cett. *πρὸς τοὺς δικαστὰς*, excepto E. Sed placet articulus additus. Locus Platonis indicatus est supra. — *καὶ μὴν*] B *καὶ μόνον*, sed in marg. cod. *γρ. καὶ μὴν.* — *ἐφεστήκασι*] cett. *ὑφεστήκασιν*, excepto E. Fic. *continentur.*

*Πρὸς τοῦτο*] D *πρὸς τούτῳ.* Statim Codd. E et F *κἀκεῖνο*, recte.

ἐνέργειαν ἐκείνῳ· τῆς δὲ τοῦ δαίμονος ἐπιστασίας κατὰ πᾶσαν ἡμῶν ζωὴν καὶ πάντα τὸν βίον καὶ τὰ ἀπὸ τῆς εἱμαρμένης πάντα καὶ τὰ ἀπὸ τῆς ὅλης προνοίας μετέχομεν. Ὁ γὰρ πᾶσαν ἡμῶν τὴν ζωὴν ἰθύνων καὶ τάς τε αἱρέσεις ἡμῶν ἀποπληρῶν, τὰς πρὸ τῆς γενέσεως, καὶ τὰς τῆς εἱμαρμένης δόσεις καὶ τῶν μοιρηγενετῶν θεῶν, ἔτι δὲ τὰς ἐκ τῆς προνοίας ἐλλάμψεις χορηγῶν καὶ παραμετρῶν, οὗτος ὁ δαίμων ἐστί· καὶ ὡς μὲν ψυχαὶ τοῦ νοῦ μόνου ἐξηρτήμεθα, ὡς δὲ ψυχαὶ σώματι χρώμεναι τοῦ δαίμονος δεόμεθα. Διὸ καὶ ὁ Πλάτων τὸν μὲν νοῦν ψυχῆς κυβερνήτην ἀποκαλεῖ· ψυχῆς γάρ φησι κυβερνήτην μόνον θεατὴν τὸν δαίμονα ἀνθρώπων ἔφορον καὶ ἐπίτροπον· καὶ οὐδ' ἂν εὕροι τις σκοπῶν ἀληθῶς ἄλλην τινὰ πρόνοιαν προςεχῆ πάντων τῶν περὶ ἡμᾶς ὑπάρχουσαν, ὡς τὴν δαιμονίαν. Νοῦς γάρ, ὡς εἴπομεν, ὑπὸ τῆς λογικῆς μετέχεται ψυχῆς, ἀλλ' οὐχ ὑπὸ τοῦ σώματος, καὶ φύσις ὑπὸ τοῦ σώματος, ἀλλ' οὐχ ὑπὸ τῆς διανοίας. Μόνος δὲ ὁ δαίμων πάντα κινεῖ, πάντα

— *μοιρηγενετῶν*] B *μοιρηνετῶν*. Vocabulum *μοιρηγενέτης* vix probum est, neque auctoritate scriptorum veterum firmari posse videtur. Homericum de Achille (Il. γ,182.) vocabulum est *μοιρηγενής* i. e. *ἀγαθῇ μοίρᾳ γεγενημένος*. Sed lectione Cod. B, quae vocem nihili exhibet, et versione Ficini (*ducum fati deorum*) adducor, ut a Proclo *μοιραγετῶν* scriptum fuisse suspicer, qua voce appellantur *δαίμονες* apud Alciphron. I, 20. vid. Bergler. p. 109 sq. ed. Wagner. Sed tamen cum Scholiastes Apollonii Rhod. I. vs. 1126 sq. in pedestri oratione *μοιρηγέτας* offerat nobis, hanc ego formam praetulerim, cujus etiam vestigia restant in cod. nostro B. — *νοῦν ψυχῆς*] B *νοῦν ψυχαῖς*. — *ψυχῆς γὰρ*] B *ψυχαῖς γάρ*. — *κυβερνήτην μόνον θεατὴν*] cett. *κυβερνήτῃ μόνῳ θεατῇ*, excepto Cod. E. Locus Platonis est in Phaedro p. 247. c. Bip. T. X. Bekk. I, 1. p. 42. cujus verba haec sunt: *ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα ψυχῆς κυβερνήτῃ, μόνῳ θεατῇ νῷ χρῆται.* — *τὸν δαίμονα*] D *τὸν δὲ δαίμονα*. Ita legit etiam Fic. — *ἀνθρώπων*] D *ἀνθρώπου*. — *ἔφορον*] A et B *εὔφορον*. — *σκοπῶν*] B *σκοπὸν* (sic) [ῶν superscr.]. — *ἀληθῶς*] D *ἀκριβῶς*. — *ἄλλην τινὰ*] A *ἄλλην τὴν μίαν*. B *ἄλλην τιμίαν*. D *ἄλλην τινὰ μίαν*. — *προςέχη πάντων ...... δαιμονίαν*] haec omisit Cod. B. — *ἀλλ' οὐχ ὑπὸ τ. σώμ. κ. φύσ. ὑπὸ τοῦ σώματος*] haec omissa sunt in cod. B, atque A et D om. *τοῦ* ante *σώματος*, ubi secundo loco occurrit. — *ὑπὸ τῆς διανοίας*] cett. addunt: *καὶ ἔτι ἡ λογικὴ ψυχὴ θυμοῦ καὶ ἐπιθυμίας ἄρχει· ἀλλ' οὐκ ἔτι τῶν ἀπὸ τύχης.* Quae item in libris suis habuit Ficinus. — *μόνος δὲ ὁ*] B om. *δὲ*. — *Καὶ εἷς ἐστιν οὗτος (ὁ δαίμων) βασιλεύς.* Haec dicta in eos videntur qui docerent *ὅτι νοῦς ἐστι βασιλεύς*. Vid. Platon. Phileb. p. 30. p. 171 sq. Bekk. et alibi. Cratyl. p. 396. p. 45 Heindf. Porphyr. ap. Euseb. P. E. III. 9 cf. Ruhnken. de Longino §. V. p. 8 Toup. p. LXXVII Weisk. et Cic. de Legg. I.

κυβερνᾷ, πάντα διακοσμεῖ τὰ ἡμέτερα· καὶ γὰρ τὸν λόγον τελειοῖ, καὶ τὰ πάθη μετρεῖ, καὶ τὴν φύσιν ἐμπνεῖ, καὶ τὸ σῶμα συνέχει, καὶ τὰ τύχαια χορηγεῖ, καὶ τὰ εἱμαρμένα πληροῖ, καὶ τὰ ἐκ προνοίας δωρεῖται, καὶ εἷς ἐστιν οὗτος ἁπάντων τῶν ἐν ἡμῖν καὶ περὶ ἡμᾶς βασιλεύς, οἰακίζων ἡμῶν τὴν σύμπασαν ζωήν.

[κε.] Περὶ μὲν δὴ τῶν εἰληχότων ἡμᾶς δαιμόνων ἀρκεῖ καὶ ταῦτα πρὸς τὸ παρόν· τὸ δὲ δὴ τῶν προτεθέντων ζητημάτων τρίτον ἑξῆς διέλθωμεν, καὶ τὸν τρίτον λόγον περὶ τοῦ Σωκρατικοῦ δαιμονίου διαπεραινώμεθα. Λέγεται δὴ περὶ αὐτοῦ τρία ταῦτα διαφερόντως· ἓν μέν, ὡς οὐ μόνον δαίμων ἐστὶν, ἀλλὰ καὶ ὡς θεός· καὶ γὰρ ἐν τούτῳ τῷ διαλόγῳ προελθὼν λέγει σαφῶς· ἐπίτροπος ἐμὸς βελτίων ἐστὶν ἢ Περικλῆς, ὁ σὸς θεῖος, Ἀλκιβιάδη, θεὸς, ὅςπερ σοί με οὐκ εἴα διαλέγεσθαι· τὸν αὐτὸν ἄρα δαίμονα λέγει καὶ θεόν· περὶ οὗ γὰρ προείρηται τὸ δ α ι μ ό ν ι ο ν ἐ ν α ν τ ί ω μ α, οὗ σὺ τὴν δ ύ ν α μ ι ν καὶ ὕ σ τ ε ρ ο ν π ε ύ σ ῃ, τοῦτον ἐπεκάλεσε θεὸν, ἐπεὶ καὶ οὗτός ἐστιν ὁ τῆς σιωπῆς αὐτῷ, τῆς ἐν τῷ πρόσθεν χρόνῳ, τὴν αἰτίαν παρασχών. Καὶ μέντοι καὶ ἐν τῇ Ἀπολογίᾳ σαφέ-

7. 21. p. 27 Görenz. Quod sequitur *οἰακίζων* explicant Suidas II. p. 661 Kust. *οἰακίζει· κυβερνᾷ* cf. Hesych. in voc. II. p. 721 Alb. Plura super hoc verborum genere exposuit Matthaei ad Jo. Chrysostomi Oratt. Selectt. III. not. 12. p. 6. 7. Proclus autem colorem orationis traxit ex his Platonis in Critia p. 109. p. 150 Bekker: *ἀλλ' ᾗ μάλιστα εὔστροφον ζῷον ἐκ πρυμνῆς ἀπευθύνοντες οἷον οἴακι πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν, οὕτως ἄγοντες τὸ θνητὸν πᾶν ἐκυβέρνων* (scil. *θεοί.*) Quem locum etiam Philo expressit de mundi opific. I. p. 28; de migrat. Abrah. III. p. 412 Pfeiff. Hinc Deus *τῶν ἀνθρωπίνων οἰακοστρόφος* (gubernator) dicitur Cyrillo Alex. in Cap. IV. Amosi p. 295. et Theodoretus usurpat nunc *οἴακας κτίσεως* I. p. 951 ed. Schulz. nunc *οἴακας τοῦ κόσμου* II. 468 et similia, nunc vero etiam *οἴακας ἀποστολικούς* I. p. 905.

*Προτεθέντων*[ B *προτεθὲν τῶν.* — *Σωκρατικοῦ*] D et F *Σωκράτους.* bene. — *διαπεραινώμεθα*] A et B *διαπερανώμεθα.* D *διαπερασώμεθα.* E *διαπεραννώμεθα.* — *Ἀλκιβιάδη*] A *Ἀλκιβιάδης.* — *σοί με*] B *σὸν μέν.* — In dialogo nostro, Alcib. I. p. 124. T. V. Bip. — p. 160. ed. Ast. — p. 77. Etwall. Bekk. II, 3. p. 345 sq. hic locus ita legitur: *Σω. ὁ ἐπίτροπος ὁ ἐμὸς βελτίων ἐστὶ καὶ σοφώτερος, ἢ Περικλῆς ὁ σός. Αλ. τίς οὗτος, ὦ Σώκρατες; Σω. Θεός, ὦ Ἀλκιβιάδη, ὅςπερ κτλ.* Omisit Fic. inde a voce *ἐπίτροπος* integram paginam. — *ἐπεκάλεσε*] B et D *ἀπεκαλέσε.* — *σιωπῆς αὐτῷ*] B *σιωπῆς αὐτῶν.* Paulo inferius Cod. F pro *τάξεως* exhibet *τεύξεως*, quod verum existimo.

στερον ἐνδείκνυται περὶ τῆς τάξεως αὐτοῦ, καὶ ὅτι θείαν ὑπεροχὴν ἔλαχεν ὡς ἐν τῇ δαιμονίᾳ φύσει. Καὶ τοῦτο ἦν, ὃ καὶ πρότερον ἐλέγομεν, ὅτι τῶν θείων ψυχῶν καὶ νοερὸν βίον ἑλομένων καὶ ἀναγωγὸν, οἱ δαίμονες θεῖοί τινές εἰσι τοῦ παντὸς δαιμονίου γένους ὑπεριδρυμένοι καὶ τῶν θεῶν πρώτως μετέχοντες. Ὡς γάρ ἐστι καὶ ἐν θεοῖς δαίμων, οὕτω καὶ ἐν δαίμοσι θεός· ἀλλ' ἐκεῖ μὲν ἡ ὕπαρξις θεία, ἡ δ' ἀναλογία δαιμονία, ἐν δὲ τοῖς δαίμοσι τὸ ἔμπαλιν ἡ μὲν ἰδιότης δαιμονία, ἡ δ' ἀναλογία θεοπρεπῆ τὴν οὐσίαν ἐπιδείκνυσι· διὰ γὰρ τὴν ὑπεροχὴν τὴν πρὸς τοὺς ἄλλους δαίμονας καὶ θεοὶ φαντάζονται πολλάκις. Εἰκότως ἄρα ὁ Σωκράτης τὸν ἑαυτοῦ δαίμονα καὶ θεὸν ἀποκαλεῖ· τῶν γὰρ πρωτίστων ἦν καὶ ἀκροτάτων δαιμόνων· διὸ καὶ τελεώτατος ἦν ὑπὸ τούτου προστάτου κυβερνώμενος καὶ πρὸς τοιοῦτον ἡγεμόνα καὶ φύλακα τῆς ζωῆς αὐτοῦ παραμετρῶν ἑαυτόν. Ἓν μὲν οὖν τοιοῦτον ἐξαίρετον τῷ Σωκράτους δαιμονίῳ μεμαρτύρηκεν ὁ λόγος, δεύτερον δὲ, ὅτι φωνῆς τινος ἀπ' αὐτοῦ προϊούσης ἐπησθάνετο· καὶ γὰρ ἐν τῷ Θεάγει καὶ ἐν τῷ Φαίδρῳ ταῦτα ὑπ' αὐτοῦ λέλεκται· „τοῦτο δέ ἐστι φωνὴ, τὸ ἐκ τοῦ δαιμονίου σημεῖον," ἐν τῷ Θεάγει φησί· καὶ πάλιν ἐν τῷ Φαίδρῳ „ἡνίκα ἔμελλον, ὦ „ἀγαθὲ, τὸν ποταμὸν διαβαίνειν, τὸ δαιμόνιον καὶ τὸ εἰωθὸς „σημεῖον γίγνεσθαι ἐγένετο· ἀεὶ δέ με ἐπίσχει, ἃ ἂν μέλλω „πράττειν, καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι, ἥ με οὐκ „ἐᾷ ἀπιέναι, ὡς δή τι ἡμαρτηκότα εἰς τὸ θεῖον." Τί οὖν

— ἑλομένων] A ἐλομένων. B ἐλόμενον. — δαιμονίου γένους] B δαιμονίων γένους. — ὕπαρξις θεία] B ὕπαρξις θεῖα. — ἀποκαλεῖ] v. Plat. Apol. Socr. p. 30. d. e. T. I. Bip. Bekk. I, 2. p. 117. — ἀκροτάτων] B ἀκροατῶν. — τελεώτατος] B τελεώτατον. D τελεωτ..... sequente lacuna. — ὑπὸ τούτου] cett. ὑπὸ τοιούτου. Bene. — παραμετρῶν] B παρὰ μετρῶν. — ἓν μὲν οὖν] B οὐ μὲν οὖν. Mox E ἐξάρετον. sed alia manus correxit ἐξαίρετον. F ἓν μὲν δὴ τοῦτο τοιοῦτον κτλ. — τῷ Σωκρ. δαιμονίῳ] B τοῦ Σωκρ. δαιμονίου (sic). — καὶ γὰρ ἐν τῷ] B καὶ γὰρ αἱ τῷ. — Θεάγει] A θεᾶ. B in marg. ad Θεάγει, ἴσως Θεαιτήτῳ. Est locus in Theage p. 128. d. sq. Bekk. II, 3. p. 275. Bip. T. II. Phaedr. p. 242. b. c. Bip. T. X. Bekk. I, 1. p. 32. In Edd. Platonis quaedam paulo aliter leguntur, ut ἡνίκ' — ὦ 'γαθέ — τὸ δαιμόνιόν τε — ὃ ἂν μέλλω — ὥς τι. — λέλεκται] B λέγεται. — δαιμονίου] B δαίμονος. — φησί] B φησίν. — σημεῖον γίγνεσθαι] D et F σημεῖόν μοι γίνεσθαι. Et μοι est apud Platonem. A E et B γίνεσθαι pro γίγνεσθαι. — μέλλω] B μέλλων. Tum F καί τινα καί et post haec τί δεῖ οὖν;

ἐνδείκνυται ταῦτα λέγων ὁ Σωκράτης, καὶ τίς ἡ φωνή, δι᾽ ἧς φησιν αὐτῷ τὸ δαιμόνιον σημαίνειν τὴν ἑαυτοῦ βούλησιν; Λεκτέον δή, ὅτι πρῶτος μὲν κατὰ τὴν ἑαυτοῦ διάνοιαν ὁ Σωκράτης καὶ τὴν τῶν ὄντων ἐπιστήμην ἀπήλαυνε τῆς ἐπιπνοίας τοῦ δαίμονος ἀνακινούσης αὐτὸν ἐπὶ τὸν ἔρωτα τὸν θεῖον. Δευτέρως δὲ καὶ ἐπὶ τοῖς κατὰ τὸν βίον πράγμασιν ἀνώρθου καὶ διεκόσμει τὴν πρόνοιαν αὐτοῦ ἐπὶ τοὺς ἀτελεστέρους, καὶ κατ᾽ αὐτὴν τοῦ δαίμονος τὴν ἐνέργειαν, οὐ τῇ διανοίᾳ μόνον, οὐδὲ ταῖς δοξαστικαῖς δυνάμεσιν ὑπεδέχετο τὸ ἐκεῖθεν προϊὸν φῶς, ἀλλὰ καὶ τῷ πνεύματι, διὰ πάσης αὐτοῦ τῆς ζωῆς χωρούσης ἐξαίφνης τῆς δαιμονίας ἐλλάμψεως, καὶ αὐτὴν ἤδη τὴν αἴσθησιν κινούσης. Δῆλον γάρ, ὅτι τοῦ αὐτοῦ ὄντος ἐνεργήματος ἄλλως μὲν ὁ λόγος ἀπολαύει τῆς δόσεως, ἄλλως δὲ ἡ φαντασία, ἄλλως δὲ ἡ αἴσθησις, καὶ ἕκαστον τῶν ἐν ἡμῖν ἰδίως πάσχει καὶ κινεῖται παρὰ τοῦ δαίμονος· οὐκ ἔξωθεν οὖν παθητικῶς ἡ φωνὴ τοῦ Σωκράτους προςέβαλεν, ἀλλ᾽ ἔνδοθεν διὰ πάσης φοιτήσασα τῆς ψυχῆς ἡ ἐπίπνοια καὶ μέχρι τῶν αἰσθητῶν (Cod. F αἰσθητικῶν) ὀργάνων διαδραμοῦσα φωνὴ τελευτῶσα ἐγίνετο, σὺν αἰσθήσει μᾶλλον ἢ αἰσθήσει γνωριζομένη· τοιαῦται γὰρ αἱ τῶν ἀγαθῶν δαιμόνων καὶ τῶν θεῶν ἐλλάμψεις. Τὸ δὴ τρίτον ἐπὶ τούτοις τοῦ δαίμονος ἴδιον τοῦ Σωκράτους ἀνασκεψώμεθα· προτρέπει μὲν γὰρ οὐδέποτε, φησὶν ἀεὶ δὲ ἀποτρέπει. Πάλιν δὲ καὶ τοῦτο πρὸς τὴν Σωκρατικὴν

*λεκτέον δή*] B *λεκτέον δὲ.* — *πρῶτος*] B *πρῶτον.* Legendum videtur *πρώτως*, cum mox sequatur *δευτέρως.* — *τῶν ὄντων*] B *τούτων.* — *ἀπήλαυνε*] D *ἀπ΄.·.λαυε* (sic). F *ἀπέλαυε*, quod unice verum est. Fic. vertit *fruebatur.* — *ἀνακινούσης αὐτὸν*] B *ἀνακιν. αὐτός.* — *ἐπὶ τοῖς κατὰ..*] D *ἐπὶ τῆς κατὰ.* — *διεκόσμει*] B *διακόσμει.* — *αὐτοῦ ἐπὶ*] A et B *αὐτοῦ τὴν ἐπὶ.* D et F *αὐτοῦ τὴν περὶ.* Haud incommode. — *τοῦ δαίμονος τὴν ἐνέργ.*] B *τὴν τοῦ δαίμ. ἐνέργ.* — *οὐ τῇ διανοίᾳ*] B *ἐν τῇ διαν.* — *ἐξαίφνης*] B *ἐξέφηνε.* — *κινούσης*] B *τῆς νοήσεως.* — *τοῦ Σωκράτους προςέβ.*] cett. bene, excepto E, *τῷ Σωκράτει προςέβ.* et ita legendum. — *τῆς ψυχῆς ἡ ἐπίπνοια*] B *τὴν τ. ψ. ἐπίπνοιαν.* — *φωνὴ τελευτῶσα*] D *φωνὴν τελευτ.* Pessime mox in omnibus libris scribitur *σὺν αἰσθήσει* pro *συναισθήσει*, et optime Fic. *non tam sensu quopiam, quam consensu.* — *τοιαῦται γὰρ*] B *τοιαῦτα γὰρ.* — *ἀεὶ δὲ ἀποτρέπει*] cett. *ἀποτρέπει δὲ ἀεί*, sed Cod. E *φησὶν ἀποτρέπει.* Alia autem manus post *φησὶν* addidit *ἀεὶ δὲ.* v. Plat. Apol. Socr. p. 31. d. Bekk. I, 2. p. 119. Bip. T. I. ubi est: *ἀεὶ ἀποτρέπει με — — προτρέπει δὲ οὔ ποτε.*

ζωὴν ἐπανεκτέον· οὐ γὰρ κοινόν ἐστι τῶν εἰληχότων ἡμᾶς δαιμόνων, ἀλλὰ ἴδιον τῆς τοῦ Σωκράτους ἐπιστασίας. Λέγομεν τοίνυν, ὅτι τὸ ἀγαθοειδὲς τῆς τοῦ Σωκράτους ζωῆς καὶ τὸ κοινὸν καὶ φιλάνθρωπον καὶ τὸ ἐκκεχυμένον, ὥς αὐτός πού φησι, παρὰ τὴν μετάδοσιν τῶν ἀγαθῶν οὐκ ἐδεῖτο τῆς ἐκ τοῦ δαίμονος προτροπῆς· ὥρμητο γὰρ παρ' ἑαυτοῦ καὶ πᾶσι παρεῖχεν ἑαυτὸν ἕτοιμον εἰς τὴν κοινωνίαν τῆς ἀρίστης ζωῆς. Ἐπειδὴ δὲ πολλοὶ τῶν προσιόντων ἀνεπιτήδειοι πρὸς τὴν μετάληψιν ἦσαν τῶν τῆς ἀρετῆς ἐπιτηδευμάτων καὶ τῆς ἐπιστήμης τῶν ὅλων ἀνεχαίτιζεν αὐτὸν ὁ ἐπιτροπεύων ἀγαθὸς δαίμων τῆς περὶ τοὺς τοιούτους προνοίας· οἷον εἴ τις ἡνίοχος ἀγαθὸς ἵππον εὖ

— ἐπανεκτέον] D ἐπανακτέον. — τὸ ἀγαθοειδὲς] B om. τὸ — φιλάνθρωπον] cett. τὸ φιλάνθρωπον. — παρὰ τὴν μετάδοσιν] cett. περὶ τ. μ., excepto Cod. E. Neque incommodum esset πρός. — παρ' ἑαυτοῦ καὶ] cett. ἀφ' ἑαυτοῦ καὶ, sed hoc quoque loco Cod. E nostro adstipulatur. — ἀνεχαίτιζεν αὐτὸν ὁ δαίμων τῆς — προνοίας — ἵππον — χαλινοῦ δεόμενον. Locum luculentum et ad intelligentiam verbi ἀναχαιτίζειν inprimis facientem ita contraxit Ficinus p. 210: — „dehortabatur tamen eum daemon, quoties vel importune vel ineptos ad disciplinam suam aggrederetur, fraeno videlicet potius quam calcaribus indigentem." Usum verbi Demostheneum explicant Grammatici, Harpocration in voc. p. 41 sq. ibiq. Maussac. Unde tenendum est illud: ἀνέκοψε *reprimit*; Hesych. I. p. 348 Alb. ibique interprett. cf. Suid. in voc. et Zonar. L. Gr. pag. 208. Reiskii Indic. Demosth. p. 62. Adde Συναγ. λεξ. χρησ. in Bekkeri Anecdott. graecc. I. p. 393. Philostratus in Heroicc. VIII. p. 706. p. 136 ubi vid. Boissonad. p. 514. Metaphoram abs re equestri ductam egregie hic ipse Procli locus arguit; qui idem vindicandae lectioni loci Plutarchei inservit. Ita enim Chaeroneus scriptor in vita Antonii cap. 21. — ὡς πρῶτον ἀνεχαίτισε τῶν πραγμάτων, ubi Corajus p. 359 ita: ἴσως γραπτέον Ἀνεχαίτισεν ἐκ τῶν πραγμάτων, ἐλλειπτικῶς τοῦ Ἑαυτὸν, τουτέστιν, ἀνέλαβεν ἑαυτὸν ἐκ τῶν πραγμάτων. Poterat Corajus conjecturam suam firmare altero Plutarchi loco: Consolat. ad uxor. p. 611. F. p. 465. Wytt. ἔρχεται καθάπερ ἐκ καμπῆς (leg. κάμπτης) ὑγρᾶς καὶ μαλθακῆς ἀναχαίτισμα (Wyttenb. recte scripsit ἀναχαιτίσασα, videlicet ἡ ψυχὴ) πρὸς ὃ πέφυκεν. Nunc tamen arbitror neminem, qui Procli locum legerit, invitis codicibus praepositionem adjecturum. Nec minus spero, illud Codicis Brem. ἀνεχαιτίζοντο pro ὑπετέμνοντο ex loco Xenophontis Cyrop. I. 4. 21. additum iri Lexico Xenophonteo. Clemens Alex. Paedag I p. 149 Potter: — εἴ πως ἀναχαιτίσαιεν τῆς ἐπὶ τὸν θάνατον ὁρμῆς. Theodoretus ejusdem elegantiae imitator in Ezechiel. XXIV. Vol. II. p. 880 Schulzii: διὸ καὶ ζωννύναι (al. ζώννυσθαι) τὰς ὀσφύας κελευόμεθα, ἵνα τῆς ἐπιθυμίας ἀναστέλλωμέν τε καὶ ἀναχαιτίζωμεν τὰς ὁρμάς. Usum verbi proprium praestat Dionys. Halic. in Fragg. Antiqq. Romm. nuper repertis, XII. 2. p. 3 ed. Mediol. — ὃς (ἵππος) ἀναχαιτίσας ῥίπτει τὸν ἐπιβάτην. — εὖ πεφυκότα] B ὧ πεφυκότα. Inde ab οἷον εἰ Fic. integram fere paginam omisit, usque ad ἀποτρέπειν δὲ ἀεί. Mox pro ὅτι δέοι leg. vid. ὅτε δέοι.

πεφυκότα πρὸς δρόμον ἐπέχοι μόνον, ὅτι δέοι, τῆς ὁρμῆς, κινοίη δὲ μηκέτι, παρ' ἑαυτοῦ πρὸς τὴν κίνησιν ἐγειρόμενον, καὶ μὴ κέντρων ἡνιοχικῶν, ἀλλὰ χαλινοῦ (Cod. F χαλινῶν) δεόμενον. τοῦτο δὴ οὖν καὶ ὁ Σωκράτης ἔχων τὸ ἄφθονον περὶ τὰς τῶν προσιόντων εὐεργεσίας (ἱππέας γάρ, φησί τις, ἐς πεδίον προκαλεῖ Σωκράτη προκαλούμενος ἐς λόγους,) εἰκότως ἐδεῖτο μᾶλλον τοῦ ἀποτρέποντος αὐτόν, ἢ προτρέποντος· αἵ τε γὰρ τῶν προσιόντων ἀνεπιτηδειότητες λανθάνουσαι τὰ πολλὰ τὴν ἀνθρωπίνην διάνοιαν τῆς δαιμονίας δέονται διακρίσεως, καὶ αἱ τῶν καιρῶν διαγνώσεις ὑπ' ἐκείνης μόνης ἀκριβῶς ἡμῖν ὑπαγορεύεσθαι δύναται· μεμηχάνηνται μὲν γὰρ καὶ ἄνθρωποι πρὸς τοῦτο μεθόδους τινὰς καὶ τέχνας, ἀλλ' ἀμυδρὰ ἡ ἐκ τούτων κατάληψις καὶ τῆς τῶν ἀγαθῶν δαιμόνων ἐνδείξεως πάμπολυ λειπομένη. Πρὸς ταῦτα τοίνυν τῆς ἀνθρωπίνης διανοίας ἀστόχως ἐχούσης, εἰκότως ὁ Σωκράτης ἀποτροπῆς ἐδεῖτο μόνης ἐν ταῖς παρὰ καιρὸν ὁρμαῖς, αὐτὸς ἀφ' ἑαυτοῦ κινούμενος πρὸς τὰ ἀγαθά. Ἔστι μὲν οὖν καὶ ταῦτα ἀληθῆ περὶ τοῦ τὸν Σωκράτην προτρέπειν μὲν οὐδέποτε τὸ δαιμόνιον, ἀποτρέπειν δὲ ἀεί. Μειζόνως δὲ ἔτι λεκτέον, ὅτι τῶν δαιμόνων οἱ μὲν καθαρτικὴν ἔλαχον δύναμιν καὶ ἄχραντον, οἱ δὲ γεννητικήν, οἱ δὲ δημιουργικήν, καὶ ὅλως κατὰ τὰς ἰδιότητας διῄρηνται τῶν θεῶν καὶ τὰς δυνάμεις, ὑφ' ἃς ἐτάχθησαν· καὶ δὴ καὶ ὅτι κατὰ τὴν ἑαυτῶν ὕπαρξιν ἕκαστοι συλλαμβάνουσι τοῖς ὑφ' ἑαυτῶν προνοουμένοις εἰς τὴν εὐδαίμονα ζωήν, οἱ μὲν εἰς τὴν ἐπιμέλειαν τῶν καταδεεστέρων κινοῦντες, οἱ δὲ ἀναστέλλοντες ἀπὸ τῶν πράξεων καὶ τῆς ἔξω ῥεπούσης ἐνεργείας. Ἔοικε δὴ οὖν καὶ τὸ Σωκρατικὸν δαιμόνιον τοιαύτην ἰδιότητα λαχόν, καθαρτικὴν λέγω καὶ ἀχράντου ζωῆς παρεκτικήν, καὶ ὑπὸ ταύτην τοῦ Ἀπόλλω-

— κίνησιν] A κοίνησιν. F om. τήν. — Σωκράτη ....νος] A Σωκράτη ....νον. B et D Σωκράτης ....νος. E Σωκράτη ....νον, correctum in ....νος. [Locus est Plat. Theaet. p. 183 d. ibiq. Heindf. in editt. librr. sic legitur: ἱπ. εἰς π. προκαλεῖ (Steph. ..λῇ) Σωκράτη εἰς λόγους προκαλούμενος.] — ἐς λόγους] D εἰς λόγους. — ἀποτρέποντος αὐτὸν] post haec D et F repetunt μᾶλλον, quod idem repetebat E, sed alia manus delevit. — διαγνώσεις] B διανοήσεις. — μεμηχαν. μὲν γὰρ] B om. γάρ. Paulo ante F et E δύνανται pro δύναται. Bene. — ἡ ἐκ τούτων κατάλ.] A et B καὶ ἐκ τούτ. κατάλ. D καὶ ἡ ἐκ τούτ. κατάλ. — ἐδεῖτο μόνης] cett. ἐδεῖτο μόνον, excepto E. Paulo inferius Cod. F. πρὸς τὰ ἀγαθὰ κεκινημένος. — τὸν Σωκράτην] A τὸν Σωκράτη. — διῄρηνται] B τετήρηνται.

νος τὴν δύναμιν τεταγμένον τὴν τῆς καθάρσεως ὅλης μονοειδῶς προϊσταμένην, καὶ τὸ Σωκράτην τῆς πρὸς πολλοὺς ἀνακάμπτειν σχέσεως καὶ τῆς εἰς τὸ πλῆθος ἀποτεινομένης ζωῆς, οὐ περιάγειν δὲ αὐτὸν εἰς τὸ εἴσω τῆς ψυχῆς καὶ τὴν ἄχραντον ἀπὸ τῶν καταδεεστέρων ἐνέργειαν, καὶ διὰ τοῦτο προτρέπειν μὲν αὐτὸν οὐδέποτε, ἀποτρέπειν δὲ ἀεί· Τί γάρ ἐστιν ἄλλο τὸ ἀποτρέπειν, ἢ τὸ ἀναχαιτίζειν αὐτὸν ἀπὸ τῶν πολλῶν εἰς τὰ ἐκτὸς ἐνεργειῶν; τοῦτο δὲ τίνος ἐστὶν, ἢ καθαρτικῆς ἰδιότητος; Καί μοι δοκεῖ, καθάπερ Ὀρφεὺς ἐφίστησι τῷ βασιλεῖ Διονύσῳ τὴν μονάδα τὴν Ἀπολλωνιακὴν ἀποτρέπουσαν αὐτὸν τῆς εἰς τὸ Τιτανικὸν πλῆθος πρόοδον καὶ τῆς ἐξαναστάσεως τοῦ βασιλείου θρόνου καὶ φρουροῦσαν αὐτὸν ἄχραντον ἐν τῇ ἑνώσει, κατὰ τὰ αὐτὰ δὴ καὶ ὁ Σωκράτους δαίμων περιάγειν μὲν αὐτὸν εἰς τὴν νοερὰν περιωπὴν, ἐπέχειν δὲ τῶν πρὸς τοὺς πολλοὺς συνουσιῶν· καὶ γὰρ ἀνάλογον ὁ μὲν δαίμων ἐστὶ τῷ Ἀπόλλωνι, ὀπαδὸς ὢν αὐτοῦ, ὁ δὲ Σωκράτους λόγος τῷ Διονύσῳ. Γέννημά ἐστιν ὁ ἐν ἡμῖν νοῦς τῆς τοῦ θεοῦ τούτου δυνάμεως.

[κς.] Περὶ μὲν δὴ τούτων τοσαῦτα λεκτέον. Ἕπεται δὲ τοῖς ἔμπροσθεν εἰπεῖν· τί δήποτέ φησιν ὁ Σωκράτης οὐκ αὐτὸ τὸ δαιμόνιον ὕστερον ἔσεσθαι τῷ νεανίσκῳ γνώριμον, ἀλλὰ τὴν δύναμιν αὐτοῦ; λέγει γὰρ οὕτως· οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσῃ. Πρῶτον μὲν οὖν ῥητέον, ὃ καὶ

— *προϊσταμένην*] B .....*ης*. — *τὸ Σωκρ.*] B F et D bene *τὸν Σωκρ.* Paulo inferius E *ἄχραντον*, quod correctum est in *ἀχράντου*. — *πρὸς πολλοὺς*] cett. *πρὸς τοὺς πολλοὺς*, excepto Cod. E, qui perperam cum nostro facit. — *ἀνακάμπτειν*] A et B *ἀνακόπτει*. E et D *ἀνακόπτειν*. Tu vide quae ex Grammaticis vett. supra ad voc. *ἀνεχαίτιζεν* exprompsimus. — *οὐ περιάγειν*] cett. om. *οὐ*, excepto Cod. E. Sed bene omittitur *οὐ*. — *εἴσω*] B *εἰ*... (cum lacuna). — *ψυχῆς καὶ τὴν*] D *ψυχῆς* ....*ρι τὴν* (sic). — *προτρέπειν*] B *προτρέπει*. D *προτρ*... seq. lacuna. — *ἀπὸ τῶν πολλῶν*] cett. *ἀπὸ τοῦ πολλῶν*, sed E, ut noster, bene. — *πρόοδον*] cett. recte *προόδου*, sed E nonnisi ex correctione, cum antea fuisset *πρόοδον*. cf. Fragm. Orph. ined. 17. ap. Herm. p. 508. — *κατὰ τὰ αὐτὰ*] D om. *τὰ*. In Ed. Hermanni horum verborum loco legitur *τοιαῦτα*. Minus bene. Inde a verbis *καί μοι δοκεῖ* usque ad *συνουσιῶν* insertus est hic locus Orphicis l. c. — *περιάγειν μὲν*] B om. *μὲν*. — *αὐτὸν εἰς τὴν νοερ.*] D *αὐτοῦ εἰς τ. ν.* — *περιωπὴν*] A *περιοπὴν*. Male. Cf. etiam supra caput. VIII. — *Γέννημα*] cett. add. *γὰρ*, quod placet.

*Οὗ — καὶ πεύσῃ.* Huc pertinet Scholion. Ruhn. pag. 68 de vi particulae *καὶ*. Ceterum unus liber mscr. e nostris perperam : *οὐ*.

ὁ θεῖος Ἰάμβλιχός φησιν, ὅτι τὰς μὲν ὑπάρξεις τῶν δαιμόνων καὶ ὅλως τῶν κρειττόνων ἡμῖν θεωρῆσαι χαλεπώτατόν ἐστι τοῖς μὴ τελέως ἐκκεκαθαρμένοις τὸν τῆς ψυχῆς νοῦν· ὅπου γε καὶ ψυχῆς οὐσίαν κατιδεῖν οὐ ῥᾴδιον παντί. Μόνος γοῦν ὁ Τίμαιος ἅπασαν αὐτῆς τὴν οὐσίαν ἐξέφηνεν· οἷον γάρ ἐστι πάντῃ πάντως, θείας καὶ μακρᾶς δεῖται δεήσεως, ὥς πού φησι καὶ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης. Τὰς δὲ δυνάμεις αὐτῶν ἰδεῖν καὶ διασαφῆσαι ῥᾷον· ἀπὸ γὰρ τῶν ἐνεργειῶν, ὧν εἰσι προσεχῶς αἱ δυνάμεις μητέρες, καὶ αὐτῶν ἐκείνων ἐπαισθανόμεθα· μέση γὰρ ἡ δύναμίς ἐστι τῆς τε οὐσίας καὶ τῆς ἐνεργείας, προβαλλομένη μὲν ἀπὸ τῆς οὐσίας, ἀπογεννῶσα δὲ τὴν ἐνέργειαν. Δεύτερον δὲ, ὅτι καὶ ἄλλως ἡ δύναμις οἰκειοτάτη τοῖς δαίμοσίν ἐστι· πανταχοῦ γὰρ καὶ ἡ δύναμις τὸ μέσον κεκλήρωται, καὶ ἐν μὲν τοῖς νοητοῖς συνάπτει τὸν πατέρα καὶ τὸν νοῦν· ἡ μὲν γὰρ δύναμις σὺν ἐκείνῳ, νοῦς δὲ ἀπ' ἐκείνου· ἐν δὲ τοῖς νοεροῖς τὰς ἐνεργείας συνδεῖ πρὸς τὰς οὐσίας· ἡ μὲν γὰρ ἐνέργεια γέννημα τῆς δυνάμεώς ἐστιν, ἡ δὲ οὐσία προάγει τὰς δυνάμεις ἀφ' ἑαυτῆς. Καὶ οὖν καὶ τὰ κρείττονα εἰ μὲν γένη μέσα τῶν θεῶν ὄντα καὶ ἡμῶν οἰκείως σημαίνεται διὰ τῆς δυνάμεως αὐτῶν ἐνέργεια καὶ ποίησις ἐν ἡμῖν. Τὸ τρίτον τοίνυν καὶ τῷ νεανίσκῳ πρεπόντως ἐξυμνεῖ τὴν δαιμονίαν δύναμιν· ἦν γὰρ ὁ Ἀλκιβιάδης δυνάμεως ἐραστής· μονονουχὶ ἤδη λέγει σαφῶς ὁ Σωκράτης, ὅτι ἡ ἀληθὴς δύναμις ἐν τοῖς

*ὁ θεῖος*] *Ἰάμβλιχος*. B om. *ὁ*. In marg. cod. D: *ὅρα τὸ τοῦ Ἰαμβλίχου*. Jamblichus autem nonnunquam de corpore daemonum dubitanter pronuntiat. Vid. de myster. Aegypt. V. 10. p. 125. V. 11. p. 127 hac in re parum sibi constans. cf. ibidem Galeum p. 267. — *οἷον γάρ ἐστι*] D *ọἷ̣ς τ̣α̣*.... (seq. lacunâ). — *δεήσεως*] D *διηγήσεως*. E *διήσεως*. *Διηγήσεως* unice verum est. Ita enim Plato Phaedr. p. 246. a. Bip. T. X. Bekk. I, 1. p. 89. — *αὐτῶν ἰδεῖν*] D *αὐτῶν καὶ δεῖν*. — *ἐνεργείας*] in marg. cod. D *οὐσία, δύναμις ἐνεργεία̣ς̣*. — *οἰκειοτάτη* ..... *καὶ ἡ δύναμις*] haec omnia omissa in cod. D. pro *οἰκειοτάτη* B habet *οἰκειότητα*. — *εἰ μὲν γένη*] cett. *ἡμῶν γένη*, bene, frustra refragante Cod. E, qui cum nostro facit. — *διὰ τῆς δυνάμεως*] Post haec cett. addunt: *ὡς μέσην πανταχοῦ τάξιν λαχούσης· ἔστι γὰρ* (E *μὲν γὰρ*) *ἡ μὲν ἀληθινὴ οὐσία καὶ τὸ ὄντως εἶναι παρὰ τοῖς θεοῖς· ἡ δὲ δύναμις ἡ ὑπουργὸς τῶν θεῶν παρὰ τοῖς δαίμοσιν· ἡ δὲ ἔξω προϊοῦσα διὰ τῆς δυνάμεως* — Necessario haec sunt addenda, quae librarius oculo aberrante omisit et quae item Fic. in libris suis legit. Tres paginas insequentes omisit Fic. — *ἦν γὰρ ὁ Ἀλκ.*] B F et D *ἦν γὰρ δὴ ὁ Ἀλκ.*

δαίμοσίν ἐστιν, ἀλλ' οὐκ ἐν τῷ πολλῶν ἀνθρωπίσκων ἄρχειν, καὶ ὡς ἐκείνης ἐραστὴν εἶναι δεῖ τὸν μεγαλόφρονα τῆς δυνάμεως, ἀλλ' οὐ τῆς φαινομένης· αὕτη μὲν γὰρ ἀσθένεια συμμιγής ἐστι· τὸ γὰρ ἐν τοῖς ἐνύλοις δυνατὸν τῆς ὕλης αὐτῆς ἀδυναμίας οὔσης; ἐκείνη δὲ ἀκραιφνὴς προϋπάρχει καὶ δραστήριος πρὸ τῶν παρ' ἡμῖν θαυμαζομένων. Τέταρτος αἰτίας ἀπολογισμὸς, ὅτι καὶ τῷ σκοπῷ τοῦ διαλόγου σύμφωνός ἐστιν ἡ μνήμη τῆς δυνάμεως· μέση γάρ ἐστιν ἡ γνῶσις ἑαυτῶν τῆς τε τῶν θείων γνώσεως καὶ τῆς εἰς τὸ ἔξω ῥεπούσης ζωῆς, διὸ καὶ ἡ ἄνοδος ἐπὶ τὴν θειοτέραν ἐνέργειαν διὰ ταύτης γίνεται μέσης τῆς ἑαυτῶν γνώσεως, ἡ δὲ δύναμις τῷ μέσῳ προςήκεν, καὶ τὸ μέσον εἶδος τῆς ζωῆς ἐκ τῆς δυνάμεως ἀποφύεται· καὶ καθάπερ δὴ τὸ μὲν πρῶτον ἐκ τῆς ὑπάρξεως, τὸ δὲ τρίτον ἐκ τοῦ μικτοῦ, καὶ ταύτῃ τοίνυν οἰκείως ἀπὸ τῆς δυνάμεως τὸ ὅλον δαιμόνιον ἡμῖν γνωσθήσεταί φησιν ὁ Σωκράτης.

[κξ.] „Νῦν δὲ, ἐπειδὴ οὐκ ἐναντιοῦται, οὕτω προςελή-„λυθα· εὔελπις δέ εἰμι μηδὲ τὸ λοιπὸν ἐναντιώσεσθαι „αὐτό." (p. 103, b. Bip. T. V. Bekk. II, 3. p. 299.)

Ζητεῖν εἰώθασιν ἐν τούτοις, πῶς τὸ δαιμόνιον ὅλως ἐφῆκε τῷ Σωκράτει τὴν πρὸς τὸν Ἀλκιβιάδην συνουσίαν, μηδὲν ὠφελεῖσθαι μέλλοντα; τὸ γὰρ μάτην ἐνεργεῖν οὔτε τοῖς δαίμοσίν ἐστι προςῆκον, οὔτε τοῖς σπουδαίοις ἀνδράσιν, ὅπου γε οὐδὲ ἡ φύσις αὐτὸ προςήκατο, καίτοι γε ἄλογος οὖσα καθ' ἑαυτήν. Πῶς οὖν ὁ δαίμων ἐφῆκεν, ἢ ὁ Σωκράτης κατὰ δαίμονα τῷ νεανίσκῳ προςῆλθεν, ὃν οὐδὲν ἐκ τῶν λόγων ὠφέλησε; τίς γὰρ ὁ τὰ

— πολλῶν ἀνθρωπίσκων] B πολλῷ νεανίσκῳ. — συμμιγής ἐστι.] B om. ἐστι. — τὸ γὰρ ἐν τοῖς ἐνύλοις] cett. excepto E τί γὰρ ἐν τ. ἐ. Bene. — δυνατὸν] B δυνατοῖς (sic). — τῆς ὕλης] B τῆς ὅλης. in marg. Cod. D ἡ ὕλη ἀδυνα$^{\mu\iota}$. — δραστήριος πρὸ] B δραστηρίας πρός. — τέταρτος] B τέταρτον. — γνῶσις ἑαυτῶν] B γνῶσις αὐτῶν. — γνώσεως] B γνώσεων. Tum Cod. F ἐπούσης. — διὰ ταύτης] B διὰ τοιαύτης. — προςήκεν] cett. προςήκει. Bene. — καὶ καθάπερ] D om. καὶ. — γνωσθήσεται] F γνωσθήσεσθαι, quod non displicet.

Μηδὲ] A et D μὴ δέ. B om. μή. In Edd. est νῦν δ' ἐπειδὴ οὐκέτι — καὶ τὸ λοιπὸν μὴ ἐναντ. αὐτό. — ἐναντιώσ. αὐτὸ] B αὐτῷ. — Σωκράτει] B ......τῃ. Mox E Ἀλκιβιάδῃ. — πῶς οὖν ὁ δαίμων] E πῶς οὖν ἢ ὁ δαίμων.

μυστήρια, φασὶν, ἐξορχησάμενος ἐν τῇ Πολιτίωνος οἰκίᾳ; τίς ὁ τὸν ἐπὶ Σικελίαν πλοῦν εἰςηγησάμενος; τίς ὁ τὴν πατρίδα ποιήσας ἀνάστατον καὶ Λακεδαιμονίους πείσας Δεκέλειαν ἐπιτειχίσασθαι; τίς ὁ τῶν μεγάλων ἐκείνων καὶ τραγικῶν δυςτυχημάτων Ἀθηναίοις αἴτιος, ὧν αἱ ἱστορίαι πλήρεις; ταῦτα δὴ καὶ τὰ τοιαῦτα θρυλλοῦσιν οἱ κατήγοροι τῶν λόγων τούτων, καὶ κενὸν ἀνάπλασμα τὴν δαιμονίαν ταύτην εἶναι νομίζοντες ἐπίπνοιαν. Πρὸς οὖν ταῦτα ἀπαντῶντες λέγουσί τινες, ὅτι μείζονα ἂν ὁ Ἀλκιβιάδης καὶ τούτων ἐποίησε τῶν κακῶν, εἰ μὴ καθάπερ ἐπῳδῆς τινος ἀλεξικάκου μετέσχε τῆς τοῦ Σωκράτους συνουσίας· διὰ γὰρ ταύτην ὑπέσχηκε μὲν τὴν παντοδαπὴν κακίαν, ἐλαττόνων δὲ αἴτιος ἐγένετο τῇ πατρίδι συμφορῶν. Ἄτοπος δέ μοι δοκεῖ τῆς ἀπαντήσεως ταύτης εἶναι ὁ τρόπος· οὐ γάρ ἐστι τῆς τοῦ δαίμονος προνοίας τέλος ἡ τῶν κακῶν ἐλάττωσις, ἀλλ' ἡ τῶν ἀγαθῶν ἐπίδοσις, οὐδὲ τοῦ Σωκράτους τοῦτο ἦν τὸ ἔργον, εἰς βραχὺ συστέλλειν τὴν πονηρίαν, ἀλλὰ ταύτην μὲν ἐκκόπτειν τῶν συνόντων, ἀντειςφέρειν δὲ τὸ ἀγαθὸν εἰς τὰς ψυχὰς αὐτῶν· μήποτε οὖν τὸ τοῦ Ξενοφῶντος ἀληθὲς, ὡς ὁ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτης συνῆν, οὐδενὸς οὐδενὶ κακῶν γέγονεν αἴτιος, ἀποστὰς δὲ τῆς τοῦ Σωκράτους ὁμιλίας ὑπό τε πλούτου καὶ τρυφῆς διεφθάρη

α

— Πολιτίωνος] B Πολιτείωνος (sic). Tum E οἰκείᾳ, correctum in οἰκίᾳ. De re vide Plutarch. Alcib. passim, et quos laudant interpretes Cornelii Nepotis in Alcibiade. De locutione ἐξορχεῖσθαι τὰ μυστήρια *evulgare* mysteria vid. Reiz. ad Lucian Vol. V. p. 575 Bip. et Bergler. ad Alciphron. III. 72. p. 216 ed. Wagner. Porro ad illa: ὁ τὸν ἐπὶ Σικελ. πλ. εἰςηγησ. vid. Thucyd. VI. 15 sqq. Aristidis Orat. Platon p. 459. p. 277 Jebb.: πάλιν δέ τινων τῶν Σωκράτους μὲν ἀκηκοότων πολλὰ δὴ καὶ πολλάκις περὶ τούτων, πειθομένων δ' οὐ πάνυ τοῖς ἐκείνου λόγοις, ἐναγόντων Ἀθηναίους πλεῖν εἰς Σικελίαν κτλ. Quibus Alcibiadem tangi nemini obscurum est. — Δεκέλειαν] D δεκελίαν. Mox E δυςτηχημάτων (sic). Ad rem consule Thucydidem VII 18 sqq. — Ἀθηναίοις αἴτιος] B Ἀθηναίων ἀναίτιος. Mox οἱ κατήγοροι. De accusatoribus Alcibiadis cf. etiam Platonis Gorg. p. 519. p. 155 Bekker. — ὑπέσχηκε] cett. ἔπεσχε, sed E ἐπέσχηκε. Aut hoc aut illud recipiendum videtur. — ταύτης εἶναι] cett. εἶναι ταύτης, excepto E, qui cum nostro facit. — ἐπίδοσις] D δόσις. — ἀντειςφέρειν] B .....ει. — ὁ Ἀλκιβιάδης] B om. ὁ. — Σωκράτης συνῆν] A E et D Σωκράτει συνῆν. Bene. cf. et ad rem et ad lectionem Xenoph. Mem. Socr. I, 2, 18. 24. 25. Loccenium ad Corn. Nep. Alc. I. 1. B Σωκράτῃ συνῆν. — κακῶν] cett. κακοῦ, excepto Cod. E. Sed praestat κακοῦ.

καὶ παρὰ τοῦτο τηλικαῦτα ἐξήμαρτεν. Ἢ καὶ τοῦτο μὲν ἀληθὲς, οὔπω δὲ τὴν αἰτίαν λέγει, δι' ἣν ὁ δαίμων ἐπέτρεπε διαλεχθῆναι πρὸς αὐτὸν τῷ Σωκράτει· πάντως γὰρ οὐκ ἠγνόει τὸ δαιμόνιον, ὅτι διαφθαρήσεται καὶ ἐξυβρίσει χρόνου προϊόντος καὶ ἔσται περὶ τὴν πατρίδα μοχθηρός. Λέγουσι δέ τινες πρὸς ταῦτα, μὴ δὲ τῷ δαίμονι φανερὰν εἶναι τὴν ἀόριστον τοῦ ἐφ' ἡμῖν ῥοπήν· ἄστατον γὰρ ὂν καὶ πεφυκὸς πρὸς τὸ χεῖρον καὶ πρὸς τὸ ἄμεινον μεθίστασθαι, δύςγνωστόν ἐστι καὶ αὐτοῖς τοῖς δαίμοσιν. Ἐμοὶ δὲ δὴ ταῦτα οὐκ ἀνεκτὰ λέγεται δ' οὖν ὅμως ὑπό τινων· πῶς γὰρ οὐκ ἄτοπον τῇ φύσει τῶν γνωστῶν τὰς τῶν γνώσεων ἀφωρίζειν διαστροφὰς, ἀλλὰ μὲν τοὐναντίον ταῖς τῶν γνώσεων διαιρεῖν; καὶ τὸ μὲν αἰώνιον κατ' οὐσίαν καὶ θεῖον καὶ γινώσκειν τὰ πάντα θείως, καὶ τὸ μὲν ἀμέριστον ἀμερίστως καὶ τὰ μεριστὰ προειληφέναι, τὸ δὲ αἰώνον ὑπὲρ χρόνον καὶ τὰ ἔγχρονα, τὸ δὲ λογικὸν λογικῶς καὶ τὰ ἄλογα; δῆλον γὰρ ἐκ τούτων, ὅτι τε καὶ τὰ ἀόριστα ὡρισμένως, καὶ τὰ ἄστατα στασίμως καὶ βεβαίως ἅτε γνώσονται καὶ οἱ δαίμονες. Πῶς δὲ οὐχ ὁρῶμεν, ὅτι πολλὰ καὶ τοῖς χείροσιν ἡμῶν ἐς γνῶσιν ἀδυνάτων ἡμῖν ἐστιν εὔγνωστα; τὴν γὰρ τῶν καθ' ὅλον φύσιν τὰ μὲν ἄλογα γινώσκειν οὐ πέφυκεν, ἡμεῖς δὲ συναιρεῖν δυνάμεθα. Τί οὖν ἔτι θαυμάζομεν, εἰ καὶ ὅσων ἡμεῖς πεπλανημένην ἔχομεν ὑπόληψιν, τούτων ἀραρότως ἐστὶ τὰ κρείττονα ἡμῶν γνωστικά; οὐ γάρ ἐστι τὸ ἡμέτερον ἀσθενὲς κριτήριον τῆς ἐκείνων δυνάμεως, ὥςπερ οὐδὲ τὸ τῶν καταδεεστέρων τῆς ἡμετέρας φύσεως ἀλόγιστον τοῦ ἐν ἡμῖν

— *μὴ δὲ*] scr. *μηδὲ*. — *ἀφωρίζειν*] scr. *ἀφορίζειν*, ut est in Cod. E. — *διαστροφὰς*] A E et D *διαφορὰς*. B *διαφθορὰς*, et in marg. cod. B *ἴσως διαφορὰς*. Bene. — *ἀλλὰ μὲν*] F et A *ἀλλὰ μὴν*. B et D *ἀλλὰ μή*. Bene. — *γινώσκειν*] B .....*κει*. — *θείως*] B *τὸ μὲν θείως*. et post *θείως* omn. cett. add. *τὸ δὲ ἀνθρωπίνως*, excepto Cod. E. Sed addenda sunt haec, et Fic. quoque ea habuit, vertens: *quod humanum est, cognoscat humane.* — *μεριστὰ*] B *μάλιστα*. — *ἅτε γνώσονται*] A et B *οἵ τε γνώσονται*. F et D *οἵ τε θεοὶ γνώσονται*. Bene. Ita legit etiam Fic. — *καὶ τοῖς*] Cod. F *καὶ τῶν τοῖς*. bene. — *ἡμεῖς δὲ*] B om. *δὲ*. — *ἀραρότως*. Platonicum; vid. Ruhnken. ad Tim. p. 48. Eadem forma pro *ἀρηρότως* Euripidi nuper reddita ex cod. Flor. vid. Valckenaer. ad Hippolyt. vs. 1090. Quem secuti sunt Porsonus et Matthiae in Medea vs. 1189 (1201).

λόγου καὶ τῆς ἡμετέρας διανοήσεως ἀναστρεπτικόν. Πῶς δὲ ὅλως οὐκ ἄτοπον, στοχαστικὸν μὲν εἶναι τοῦ μέλλοντος πρὸς γνῶσιν, ἑστῶσαν δὲ καὶ ὡρισμένην καὶ ἀνενδοίαστον ἐν μηδὲ μιᾷ τάξει τῶν πραγμάτων ὑφιστάναι; οὐδαμοῦ γὰρ ἡ φύσις ἀπὸ τῶν ἀτελῶν ἄρχεσθαι πέφυκεν, οὐδὲ ἀπὸ τῶν μὴ εἰλικρηνῶν, οὐδὲ ἀπὸ τῶν τοῖς ἐναντίοις συμπεφυρμένων· ὁ δὲ στοχασμὸς τοῦ μέλλοντος μετέχει πως ἀγνοίας, καὶ οὐκ ἔστι· ποῦ δὴ οὖν ἡ αὐτογνῶσις τοῦ μέλλοντος; ποῦ δὴ τὸ εἰλικρηνὲς, ἀφ' οὗ καὶ τὸ δευτέρως ὂν καὶ τὸ ἐφιέμενον ἐκείνου τὴν ὑπόστασιν ἔλαχεν;

[κη.] Ἐπειδὴ τοίνυν αἱ τοιαῦται πᾶσαι ἀπαντήσεις σαθραὶ καὶ εὐδιάλυτοι πεφύκασιν, λέγομεν ἡμεῖς, ἑπόμενοι τῷ τε θείῳ Ἰαμβλίχῳ καὶ τῷ ἡμετέρῳ καθηγεμόνι, τρία ταῦτα χρῆναι διαφερόντως ἐν τῇ λύσει τῆς προκειμένης ἀπορίας διασώζειν· ἓν μὲν, τὸ πρέπον τῷ ἐφιέντι δαίμονι τὴν συνουσίαν· δεύτερον δὲ, τὸ καθῆκον τῷ Σωκράτει, τῷ καὶ πρότερον ὁρμήσαντι περὶ τὴν Ἀλκιβιάδου πρόνοιαν καὶ νῦν ἀπηντηκότι πρὸς αὐτόν· τρίτον δὲ τοῦ νεανίσκου συμφέρον. Δεῖ γὰρ αὐτὸν ἐκ τῆς συνουσίας ἐπιδεῖξαι ταύτης ἐφιέμενον· οὐ γὰρ ἀποχρῆναι μὴ χείρω γεγονέναι. Τοῦτο μὲν γὰρ ὅτῳ μοχθηρῷ καὶ τὸ χεῖρον

— στοχαστικὸν] cett. στοχαστικὴν, sed E nonnisi ex correctione, cum antea fuisset στοχαστικόν. Legendum ... κήν. — πρὸς γνῶσιν] F B et D πρόγνωσιν, ita et E in marg., sed in contextu πρόςγνωσιν, correctum ex πρὸς γνῶσιν. Fic. quoque legit πρόγνωσιν. — μηδὲ μιᾷ] B μὴ δὲ μιᾷ. D et E μηδεμιᾷ. — ὑφιστάναι] A et D ὑφεστάναι. B ὑφ^ε^ιστάναι (sic). — ἀτελῶν] B ἀτελῶς. — εἰλικρηνῶν] B εἰλικρινῶς. E εἰλικρινῶν et mox εἰλικρινές. Itaque scribendum. V. de hujus vocabuli scriptione Etymol. M. p. 299. 58. vel Ed. Lips. p. 270 sq. Phavorin. pag. 574 sq. Etymol. Gudian. p. 166. Ed. Sturz. De usu hujus vocis Platonico monuimus ad Plotin. de pulcr. p. 265 sq. — τοῖς ἐναντίοις] B ἐν τοῖς ἐναντ. — καὶ οὐκ ἔστι] A et D καὶ οὐκ ἔστιν. αὐτογνῶσις] B αὐτὴ γνῶσις. E αὐτογνῶσις, quod correxit alius in αὐτόγνωσις, bene, si vocabulum hoc inauditum neque in lexicis notatum, probum est. Fic. vertit: *ubinam ipsa est per se futuri notitia*? Amat Proclus ejusmodi compositiones, quales sunt αὐτοκινησία, αὐτοδύναμις, αὐτοαπειρία, αὐτοολότης, quae omnia absunt a Lexicis, ut iis locis, quibus leguntur, annotavimus. — ὑπόστασιν] D ὑποσχέσιν. quae jam sequuntur tres paginae non exstant in Ficini versione.

Ἀλκιβιάδου] D et F τοῦ Ἀλκιβιάδου. — ἀπηντηκότι] A ἀπηντικότι. Mox E τρίτον τῷ τοῦ, quod correctum est in τρίτον τὸ τοῦ. Bene. — ταύτης ἐφιέμενον] A F et D ὠφελημένον. Bene. B ὠφέλιμον. — ὅτῳ μοχθηρῷ] B ὁ τῷ μοχθ. F καὶ ὅτῳ μοχθηρῷ τὸ καὶ χ.

ἀποτελεσθῆναι, τῷ δὲ σπουδαίῳ πρέποι ἂν ἀμείνους δήπου τοὺς συνόντας ποιεῖν. Ὅτι μὲν τοίνυν ὁ νεανίσκος (ἵνα ἀπὸ τῶν ἀτελεστέρων ἀρξώμεθα) καλλίων ἀποτετελέσθαι, δηλοῖ καὶ τὸ Πλατωνικὸν συμπόσιον, ὅπου δὴ καὶ ταῦτα μεθύων ὁ Ἀλκιβιάδης ὑπόκειται, θαυμάζων περὶ τοὺς ἐν φιλοσοφίᾳ λόγους, ὡς δραστηρίους καὶ ἀγριώτερον ἐχίδνης τῶν εὐφυΐᾳ διαφερουσῶν ἀντιλαμβανομένους, ἐξομνύμενος δὲ καὶ καταψηφίζεσθαι ἑαυτοῦ καὶ τῆς ἑαυτοῦ ἀμαθίας, ὅταν ἀκούῃ διαλεγομένου τοῦ Σωκράτους καὶ ἀποθαυμάζων μὲν αὐτοῦ τὰ ἔνδον ἀγάλματα τῶν ἀρετῶν ὡς σεμνὰ καὶ τίμια· ἄθλιον δὲ ἑαυτὸν ἡγεῖσθαι τῆς ἕξεως ἕνεκα τῆς κατὰ τὴν ψυχήν. Πρὸς γὰρ ταῦτα ὠφελημένος ὑπὸ τοῦ Σωκράτους, οὐ μικράν, οἶμαι, προςθήκην ἔσχεν εἰς τὴν τῶν φυσικῶν πλεονεκτημάτων τελείωσιν. Εἰ δὲ καὶ πέπρακταί τινα αὐτῷ πλημελῆ, τὸ ἀτελὲς αἰτιώμεθα καὶ τὸ μὴ πάντῃ κατορθωμένον τῆς ἐν αὐτῷ ζωῆς. Οὐδὲ γὰρ τοῦτ' ἔφαμεν ὡς σπουδαῖον αὐτὸν ἡ Σωκράτους ἀπείργασται συνουσία, ἀλλ' ὡς ἀπώνατο λέγειν· ἔστω πρὸς τὸν παρόντα βίον μηδὲν αὐτῷ γεγονέναι διὰ τὴν συνουσίαν ἀγαθόν, ἀλλὰ πρός γε τὸν μέλλοντα προὔργου τί πάντως ἐγένετο; Καὶ νῦν

— τῷ δὲ σπουδαίῳ] A τὸ δὲ σπουδ. Statim E πρέπει. — καλλίων ἀποτετελέσθαι] A κακίων ἀποτετελέσθαι. B καλλίω ἀποτελεῖσθαι. D et F καλλίων ἀποτετέλεσται. Ita leg. — ὅπου δὴ] D ὅτι δή. — περὶ τοὺς ἐν φιλ.] D μὲν τοὺς ἐν φιλ. — εὐφυᾳ διαφερουσῶν] A εὐφυιάδι φερουσῶν. B et D εὐφυΐᾳ διαφερουσῶν et omnes addunt ψυχῶν. E in contextu εὐφυάδι, in marg. εὐφυΐᾳ, tum φερουσῶν, quod correctum est in διαφερουσῶν, cui in margine additum est ab al. manu ψυχῶν. Proba est lectio aut potius correctio Codicum B D et E. Locus Platonis est Sympos. cap. 30, 3. 4. et cap. 33, 3. 12. ed. Wolf. — p. 212. d. e. p. 216. e. p. 218. a. Bip. T. X. Bekk. II, 2. p. 447 sqq Ad argumentum cf. Phavorini locum. ap. Stob. Serm. 63 p. 407. Et composuerat apologiam Alcibiadis in Platonico Symposio perorantis Diophanes, uti prodit Porphyrius in vita Plotini cap. 15. p. 117 Fabric. — ἐξομνύμενος] A ἐξομνυόμενος. — καὶ καταψηφίζεσθαι] cett. om. καί. Mox E ἀμαθείας, — τοῦ Σωκράτ.] D om. τοῦ, itemque Cod. F. — ἀποθαυμάζων] cett. ἀποθαυμάζειν. — τὰ ἔνδον] B τὰ ἔνδοθεν. — ταῦτα ὠφελημένος] B τὰ ὠφελημένα. — οὐ μικράν] cett. οὐ σμικράν. — οἶμαι] B εἶναι et in marg. γρ. οἶμαι. — πλημελῆ] scr. πλημμελῆ v. Etym. M. et Phavor. s. v. — κατορθωμένον] A κατωρθομένον. B κατορθούμενον. scr. κατωρθωμένον. — ἡ Σωκράτους] B δὲ Σωκράτ. — συνουσία] B ....αν. — μηδὲν αὐτῷ] B μηδενὶ αὐτῷ. — διὰ τὴν συνουσίαν] A ἢ διὰ τὴν συν. F E B et D τι διὰ τὴν συνουσ. — προὔργου] A et E προὔργον (sic). B πρόεργον.

μὲν ὡς τὸ εἰκὸς ὑπὸ μοχθηρᾷ πολιτείᾳ τρεφόμενος, οὐκ ἔσχε τελέως ἀπώνασθαι τῶν λόγων, πολλῶν ὄντων τῶν ἀνθελκόντων· ἀποπλήσας δὲ τὰς ἐμπλήκτους ὁρμὰς τῆς ψυχῆς καὶ ἐν γαλήνῃ τῶν τοιούτων γενόμενος κακῶν κατασχολὴν προβάλλων τοὺς τοιούτους λόγους, ὁρᾷ τὸ διάφορον τῆς ἑαυτοῦ ζωῆς πρὸς τὴν φιλόσοφον συμβουλήν· οὕτω γὰρ καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης περὶ Θρασυμάχου φησὶν, ὅτι εἰ καὶ πρὸς τὸ παρὸν μὴ πέπεισταί μοι, πρός γε τὸν ἔπειτα βίον εἴη ἄν τι προὔργου γεγονός· καὶ θαυμαστὸν οὐδὲν, καὶ τὸν δαίμονα, πρὸς τὴν ὅλην περίοδον ἀποβλέποντα τῶν ψυχῶν, ἐφιέναι τῷ Σωκράτει διαλεχθῆναι. Καθάπερ γὰρ οὖν καὶ τὰς κολάσεις, ἃς ἐπάγουσιν οἱ δαίμονες, οὐκ ἀξιοῦντες πρὸς ἕνα βίον μόνον ἀναφέρειν, ἀλλὰ πρὸς ἅπασαν τὴν πρόοδον· κατὰ τὰ αὐτὰ δὴ καὶ τὰ ἀγαθὰ τὰ ἀπ' αὐτῶν προτεινόμενα καὶ τὰς ὠφελείας εἰς τὸ ὅλον τῆς περιόδου τέλος ἀνενεκτέον· οὐ γὰρ ἐπὶ βραχὺ βλέπουσιν οἱ κρείττους ἡμῶν, οὐδ' ὥςπερ ἡμεῖς οἱ ἄνθρωποι, ἀλλά γε τοὺς βίους ἡμῶν ἐπεσκεμμένοι πάντας καὶ τὰς ὅλας περιόδους ἐκείνων στοχαζόμενοι πολλὰ δρῶσιν εἰς ἡμᾶς, ὡς πρὸς ἕνα βίον ἀσύμφωνα τοῖς πολλοῖς φαινόμενα· διὸ καὶ θαυμάζεται ὑπ' αὐτῶν, εἰ κατὰ δαίμονα τὰ τοιαῦτα δίδυται. Καὶ μὴν κἀκεῖνα ῥητέον πρὸς τήνδε τὴν ζήτησιν, ὅτι καὶ οἱ δαίμονες καὶ τῶν ἀνθρώπων οἱ σπουδαῖοι δι' ἑαυτοὺς ἐνεργοῦσι καὶ τὸ ἐν αὐτοῖς ἀγαθόν· καὶ πράττουσιν, ἃ ἂν πράττωσιν, διὰ τὸ τέλος, ὅπερ ἐνεστήσαντο τούτων ἑκάτεροι τῆς ζωῆς· καὶ οἱ μὲν δαίμονες προτείνουσι τὰς τῶν ἀγαθῶν δόσεις ἀφθόνως, οἱ δὲ εὐεργετεῖν σπουδάζουσι τοὺς

*ἀπώνασθαι*] A et B recte *ἀπόνασθαι*. D *ἀπ.'νασθαι* (sic). — *τῶν ἀνθελκόντων*] B om. *τῶν*. — *ἀνθελκεῖν* ex loco Platonis de Legg. I. p. 644. p. 219 Bekk. ductum indeque multis scriptoribus frequentatum, quorum aliquot locos laudavi ad Plotin. de pulcr. p. 254 sq. — *τὰς ἐμπλήκτους*] B om. *τάς*. — *κατασχολὴν*] A E et B *κατὰ σχολήν*. — *οὕτω γὰρ ..... Θρασυμάχου φησὶν*] haec omissa sunt in cod. B. Cod. E *οὕτω γὰρ δὴ καί*. Locus Platonis legitur libr. VI. cap. 12 de Republ. p. 498. p. 183 Ast. p. 300 sq. Bekk.: *πείρας γὰρ οὐδὲν ἀνήσομεν, ἕως ἂν ἢ πείσωμεν καὶ τοῦτον καὶ τοὺς ἄλλους ἢ προὔργου τι ποιήσωμεν εἰς ἐκεῖνον τὸν βίον κτλ.* — *διαλεχθῆναι*] B *διαπλεχθῆναι*. — *γὰρ οὖν καὶ*] B *γὰρ ἦν καί*. — *πρόοδον*] cett. *περίοδον*, excepto E, qui facit cum nostro. — *ἀνενεκτέον*] B *ἀνανεκτέον*. — *εἰς ἡμᾶς*] B *εἰς τιμάς*. — *καὶ θαυμάζεται*] D om. *καί*. — *κἀκεῖνα*] cett. *καὶ ἐκεῖνα*, excepto E, ubi est *κἀκεῖνα*.

συνόντας, καὶ ὥςπερ ἥλιος ἀφίησι τὸ φῶς οὐ διωρισμένως, ἀλλὰ πᾶσι τοῖς δυναμένοις ἀπολαύειν, μετέχειν δὲ ὁ δυνάμενος καὶ τοῦ μὲν ἡλίου πάντα μετέχει· τὸ δέ γε μὴ μετέχον διὰ τὴν ἀσθένειαν τὴν ἑαυτοῦ παραιτεῖται τῆς μεθέξεως· οὕτω δὴ καὶ τῶν ἀγαθῶν δαιμόνων, οἷς τὰ ἀγαθὰ διδόντων καὶ τῶν ἐκείνοις συντεταγμένων ἀνδρῶν τὸ μὴ διατίθεσθαι κατ' αὐτὰ συμβαίνει τοῖς ἄλλοις παρὰ τὴν αὐτῶν ἀνεπιτηδειότητα· καὶ εἰ προεγίνωσκεν οὖν ὁ δαίμων, ὡς οὐ πεισθήσεται ὁ νεανίσκος τῷ Σωκράτει, κατὰ τὴν αὐτοῦ ἀγαθότητα ἐνήργει τὸν Σωκράτην μὴ ἀεὶ τῆς πρὸς αὐτὸν ἀποτρέπων τοῦ μέλλοντος συνουσίας, καὶ τῷ μὲν δαίμονι καὶ οὗτος ὠφέληται, τῇ δὲ οἰκείᾳ αἱρέσει τῆς ὠφελείας ἀποπέπτωκεν, ἐπεὶ καὶ ὁ Πύθιος ὁ τῷ Λαΐῳ χρήσας μὴ σπείρειν τέκνων ἄλοκα δαιμόνων βίᾳ πάντως προΐδη (sic) τὸν Λάϊον μὴ πεισόμενον, ἀλλ' ὡς ἀγαθὸς ὢν προύτεινεν αὐτῷ τὴν ἀμείνω τῆς ζωῆς αἵρεσιν· καὶ ὁ Λάϊος αὐτῷ μὲν οὐχ ἥμαρτε, διὰ δὲ τὴν οἰκείαν ἄνοιαν τοῖς ὕστερον περιπετὴς ἐγένετο δυςτυχήμασι· καὶ τοίνυν καὶ ὅσων· πᾶσαι γὰρ αἱ τοῦ σπουδαίου πράξεις πρὸς αὐτὸν ἔχουσι τὴν ἀναφοράν. Εὐεργήσας οὖν εὐεργετικῶς καὶ θεοπρεπῶς ἐν τῇ ἐνεργείᾳ τὸ τέλος ἔχει· καὶ μὴν καὶ τὸ ἐνδεχόμενον αὐτοὺς καὶ τὴν ἐκτὸς ἐνέργειαν τετελείωται.

— *ἥλιος*] B et D *ὁ ἥλιος*. Ceterum haec Nostri sententia admonet locorum Script. Sacr. Jes. Siracid. XLII. 16. Evang. Matth. V. 45. — *πάντα μετέχει*] B *πάντα ἔχει*. — *οἷς τὰ ἀγαθὰ διδόντων*] cett. bene: *ἀεὶ τὰ ἀγ. δ.* excepto E, qui non habet *ἀεί*. — *τῷ Σωκράτει*] cett. omittunt. — *κατὰ τὴν αὐτοῦ*] cett. recte *κατὰ τὴν ἑαυτοῦ*. — *τὸν Σωκράτην*] F A et E *τὸν Σωκράτη*. Bene. — *μέλλοντος συνουσίας*] cett. om. *μέλλοντος*. — *τέκνων*] D *πᾶν*. Est versus Eurip. Phoeniss. 18. ubi vid. Valcken. qui ex hoc philosophorum genere Chalcidium laudavit in Plat. Tim. p. 244. Qui quidem ita vertit: „Cave ne vetitos liberûm sulcus seras." — *προΐδη*] cett. recte *προῄδει*, excepto E, qui in hoc quoque mendo cum nostro conspirat. — *ἀλλ' ὡς*] D *ἀλλά*, omisso *ὡς*. In Cod. F perperam est *σπειρόμενον* pro *πεισόμενον*. — *αἵρεσιν*] B *ἀναίρεσιν*. — *ἥμαρτε*] A *ἥμαρτεν*. Paulo post Cod. E post *ὅσων* in margine adscriptum habet: *ἴσως ὁ Σωκράτης* vel *ὁ δαίμων*. [illud addito fortasse *προὔτεινε τὴν αἵρεσιν* non displicet.] Quid legerit Fic. verbum *ἥμαρτε* vertens *credidit*, nisi forte voluit *cecidit*, haud facile dixeris. [Ficinus, non ad verbum quidem vertens, legisse tamen videtur: *αὐτῷ ... ἥμαρτε*, propr. *non eo sive propter eum peccavit, sed per* etc. de qua construct. cf. Plat. Theaet. p. 184 c. seq.] Voces *καὶ τοίνυν καὶ ὅσων* idem plane omisit. Mox leg. *ἐνεργήσας* pro *εὐεργήσας* cum Ficino. — *καὶ μὴν καὶ*] A et B *καὶ μὴ καί*. D et F *καὶ εἰ μή*. — *αὐτοὺς καὶ τὴν*] F et B bene *αὐτοῦ καὶ τήν*. D *αὐ* ...... (seq. lacunâ).

[κθ.] Ταῦτά μοι δοκεῖ καὶ τῷ Πλάτωνι σύμφωνα καὶ τοῖς πράγμασιν ὑπὸ τῶν ἐξηγητῶν εἰρῆσθαι πρὸς τὴν τῆς ἀπορίας διάλυσιν. Τὸ δὴ μετὰ τοῦτο, τί τὸ προςελήλυθα, σκοπήσομεν, καὶ λέγομεν, ὅτι πολλαχοῦ καὶ τὰ θειότερα δοκεῖ προςιέναι τοῖς καταδεεστέροις, οὐκ ἐξιστάμενα τῆς ἑαυτῶν ἕδρης, ἀλλ' ἐν ἑαυτοῖς μένοντα καὶ προϊέναι φανταζόμενα διὰ τὴν ἐπιτηδειότητα τοῦ μετέχοντος· ἐπεὶ καὶ ἐν ταῖς κλήσεσι καὶ ταῖς αὐτοψίαις προςιέναι τοῖς καταδεεστέροις πῶς ἡμῖν φαίνεται τὸ θεῖον, ἡμῶν ἐπανατεινομένων πρὸς αὐτό. Λέγοιτο δ' ἂν, ὅτι καὶ οἷον ἀγάλματι τοῦ νοητοῦ κάλλους πρόςεισιν ὁ Σωκράτης τῷ ἐμφανεῖ κάλλει· θεραπευτὴς γάρ ἐστι πάσης τῆς τοῦ κάλλους σειρᾶς· καὶ ὥςπερ οἱ περὶ θεουργίαν δεινοὶ καὶ τὰς φαινομένας εἰκόνας τῶν θεῶν σέβουσιν, οὕτω δὴ καὶ ὁ τελέως ἐρωτικὸς καὶ τὸ προςελθὸν ἐν ἐσχάτοις ἴνδαλμα τοῦ θείου κάλλους, ὡς ἐξηρτημένον ἐκείνου, μέτεισι· πρόςεισιν οὖν αὐτῷ, διότι τὴν ἀγάλματος ἐπέχει τάξιν· καὶ γὰρ τοῖς ἀγάλμασι προςιέναι λεγόμεθα. Καὶ μὴν καὶ τὸ εὔελπις θαυμαστῶς μὲν αὐτῷ τὸν νεανίσκον οἰκειοῖ· τὸ γὰρ εὐελπιστίαν ἑαυτοῦ τὴν ἐκείνου προςαγορεύειν ὠφέλειαν, πῶς οὐ παντάπασιν οἰκειωτικόν; ἔχει δὲ ὅλον αὐτῷ τὸ τῆς ἐλπίδος πρᾶγμα στοχασμοῦ δεόμενον ἀπὸ τῆς τοῦ πράγματος φύσεως, ὑπὲρ οὗ καὶ ὁ λόγος· ἄδηλον γὰρ, εἰ ἐπιστρέψει καὶ αὖθις διὰ τὸ ὑπο-

*πρὸς τὴν τῆς ἀπορίας*] D *διὰ τὴν τῆς ἀπ.* — *προςελήλυθα*] B ....... *θας.* — *σκοπήσομεν*] cett. *σκοπήσωμεν.* Bene. — *λέγομεν*] B *λέγοιμεν.* Scr. *λέγωμεν.* Mox F *προϊέναι* pro *προςιέναι.* — *ἕδρης*] cett. *ἕδρας*; recte. — *ἐν ἑαυτοῖς*] D *ἐν αὐτοῖς.* — *προϊέναι*] D *προςιέναι.* — *τοῖς καταδεεστέροις*] cett. om. haec, excepto E. Neque ea verba agnoscit Ficinus neque Galeus suo in codice legit. Apposuit enim haec verba in notis ad Jamblich. de Myster. p. 241. Pro *πῶς*, quod etiam Gal. codex offert, scribendum *πως*. Ceterum confer cum his Jamblich. de myster. III. 19. p. 85 et III. 26. p. 95. Gal. — *πρὸς αὐτὸ*] A et B *ἐπ' αὐτὸ.* D *ἐπ' ἀ....* seq. lacunâ. Inde ab h. l. Fic. omisit tres paginas. — *ἀγάλματι*] B et E *ἄγαλμά τι*, sed Cod. posterior a prima manu habebat *ἀγάλματι.* De hoc usu vocis *ἄγαλμα* videsis Ruhnkenium ad Tim. Lex. Plat. p. 4—8. et quae posui ad Plotin. de pulcrit. p. 369—371. — *θεραπευτὴς*] B *θεραπευτοῖς* (sic). — *καὶ ὥςπερ*] haec om. B. In Cod. F est *κάλλου* pro *κάλλους.* — *θεουργίαν*] B *θεουργίας.* Mox E *ἐκείας*, et in margine: *ἴσως εἰκόνας.* — *ἐρωτικὸς*] B *ἐρωτικῆς.* — *προςελθὸν*] A et B *προελθὸν.* — *ἐκείνου*] B *ἐκεῖνον.* — *ἀγάλμασι*] A et B *ἀγάλμασιν.* — *προςιέναι*] B *προϊέναι.* — *ὅλον αὐτῷ*] A et B *ὅλως αὐτὸ*, etiam D.

κείμενον ἄστατον ὄν. Τὸ μὲν οὖν ἀμφίβολον ἐκεῖθεν, τὸ δὲ εὖ καὶ τὸ ἀγαθὸν, ἀπὸ τῆς Σωκράτους σπουδαιότητος καὶ τῆς τοῦ δαίμονος ἀγαθότητος, ὥςτε τὸ ὅλον εὐελπιστίᾳ διὰ μὲν τὴν τῶν προνοούντων ἀρετὴν ἔχει τὸ εὖ, διὰ δὲ τὴν τοῦ προνοουμένου φύσιν εὐμετάβολον οὖσαν ἀμφιβολίας ἐνδεικτικόν. Ἀλλὰ πόθεν ὁ Σωκράτης ὅλως εἰς ἐλπίδα καθίστατο, μὴ ἐναντιώσεσθαι τὸ δαιμόνιον εἰς τὸ λοιπὸν, ἢ τὴν ἀρχὴν οὐκ ἐναντιωθὲν, ἀλλ' ἐφὲν αὐτῷ τὴν πρὸς τὸν νεανίσκον συνουσίαν ᾤετο καὶ τὸν λοιπὸν χρόνον ἀφέσειν; τὸ γὰρ ὅλως ἀφεῖναι, τεκμήριόν ἐστι τοῦ μὴ παντάπασιν ἀλλοτριώτατον εἶναι τὸν Ἀλκιβιάδην εἰς τὴν παρ' αὐτοῦ σπουδήν· οὐκοῦν ὅσῳ μᾶλλον ὁ νεανίσκος ἐπιδίδωσιν ἐκ τῶν ἐν φιλοσοφίᾳ λόγων, τοσούτῳ πλέον ὑπελάμβανε καὶ τὸν δαίμονα συλλήψεσθαι αὐτῷ πρὸς τὸν ἔρωτα. Δοκεῖ δέ μοι καὶ ὡς προτρεπτικὸν αὐτὸ τοῦ ἐρωμένου παραλαβεῖν· τὸ γὰρ κατὰ δαίμονα αὐτὸν ὑπολαμβάνειν ἀεὶ τὸν Σωκράτην πρὸς αὐτὸν ποιεῖσθαι διαλόγους, ἐῤῥωμενέστερον αὐτὸν ἀπειργάζετο πρὸς τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν· οἱ γὰρ λόγοι τοῦ Σωκράτους ἐπὶ ταύτην ἐποιοῦντο τὴν παράκλησιν. Μέγιστον οὖν τεκμήριον τοῦτο τῷ Σωκράτει μεμηχάνηται πρὸς τοὺς προτρεπτικοὺς λόγους ἡ τοῦ δαιμονίου βούλησις, ἐπειδὴ κατὰ φύσιν ἅπαντες ἄνθρωποι πεπείσμεθα, τὸ κατὰ δαίμονα ζῆν μακάριον εἶναι καὶ εὔδαιμον· ἐγγὺς γὰρ τῶν θεῶν ὑπάρχει τὸ δαιμόνιον γένος καὶ πρὸς τὴν θείαν ζωὴν τὰ μέγιστα συντελεῖ ταῖς ψυχαῖς· δι' αὐτοῦ γὰρ καὶ ἡ ἄνοδος καὶ ἡ συναφὴ πρὸς τοὺς θεούς.

[λ.] „Σχεδὸν οὖν κατανενόηκα ἐν τούτῳ τῷ χρόνῳ σκο„πούμενος, ὡς πρὸς τοὺς ἐραστὰς ἔσχες· πολλῶν γὰρ

— εὐελπιστίᾳ] Cod. E εὐελπιστία. — καθίστατο] B καθίσταται et deinceps addit τὸ. — ἐφὲν] cett. ἐφ' ἓν, sed in Cod. E alia manus correxit ἐφέν, et ita legendum. — ἀφέσειν] cett. bene ἐφήσειν, excepto E. — ἀφεῖναι] cett. ἐφεῖναι. Quod probum est. — συλλήψεσθαι αὐτῷ] B συλλ. αὐτῶν. — αὐτὸ τοῦ ἐρωμένου] B αὐτὸν τοῦ ἐρωμένου. D αὐτοῦ τοῦ ἐρ. — διαλόγους] cett. λόγους, et paulo ante E τοὺς πρὸς αὐτόν. Sed F exhibet λόγοις. Unice verum est λόγους. — ἀπειργάζετο] A ἀπήργαζετο, ita etiam E ex corr., cum antea fuisset ἀπειργάζετο, quod tenendum fuit. — αἱ γὰρ λόγοι] cett. οἱ γὰρ λόγοι, et ita legendum. — τεκμήριον] A ὁρμητήριον. F B et D ὁρμητήριον, quod probum videtur. — ὑπάρχει] D et E ὑπάρχον. — τὰ μέγιστα] B μετάγει καί. — πρὸς τοὺς θεοὺς] D om. τούς.

„γενομένων καὶ μεγαλοφρόνων οὐδείς ἐστιν, ὃς οὐχ „(Edd. οὐθεὶς ὃς οὐχ) ὑπερβληθεὶς τῷ φρονήματι „ὑπὸ σοῦ πέφευγεν.“ (p. 103. b. Bekk. p. 299.)

Πολλὰ μὲν ἑώρα καὶ θαυμαστὰ ὁ Σωκράτης ἐν τῷ Ἀλκιβιάδῃ φυσικὰ συνθήματα τῆς πρὸς ἀρετὴν ἐπιτηδειότητος· καὶ γὰρ τὸ φαινόμενον κάλλος καὶ τὸ μέγεθος σημεῖα τῆς κατὰ τὴν ψυχὴν ὑπῆρχε μεγαλουργοῦ καὶ ἁδρᾶς καὶ διαπρεποῦς ὑπεροχῆς. Καὶ τούτων ἡ φύσις ἡ τοῦ ὀργάνου δημιουργικὴ τῷ φαινομένῳ σύμβολα ἅττα περιῆψεν, ἃ δὴ καὶ ὁ Σωκράτης θεώμενος ἐπιμελείας ἄξιον εἶναι ὑπέλαβε τὸν νέον· καὶ τοῦτο ἦν ἄνωθεν τῶν πυθαγορείων ἔθος, τὸ διὰ τῶν περὶ τὸ σῶμα σημείων διακρίνειν τὰς τῶν προςιόντων ἐπιτηδειότητας εἰς κρείττονα ζωήν· ἐπειδήπερ ἡ φύσις, ἡ τὰ σώματα πλάττουσα ταῖς ψυχαῖς, προςήκοντα αὐταῖς ὄργανα ὑποτίθησι, καὶ εἰκόνας αὐτῶν ἐν τοῖς σώμασι προτείνειν, δι’ ὧν καὶ τὰς τῶν ψυχῶν ἰδιότητας οἱ ταῦτα δεινοὶ κατανοεῖν ἐκφαίνειν δύνανται. Πολλὰ μὲν οὖν, ὅπερ ἔφην, καὶ διὰ τοῦ σώματος Σωκράτης ἑώρα φυσικὰ τοῦ Ἀλκιβιάδου πλεονεκτήματα, μειζόνως δὲ αὐτὸν ἔτι καὶ τελειότερον ἔκρινε παρεπόμενος

*φυσικὰ συνθήματα*] B *φησὶ καὶ συναντήματα*. Mox *ἁδρᾶς*. Hic locus egregie commonstrat tralatam vim vocabuli. De eo vide Hesych. I. p. 100 ibiq. interprr. unde profecit Zonaras L. Gr. p. 39 p. 46. cf. Biel. Thes. V. T. I. p. 27. Heynii Observv. ad II. 857. Quo cum loco comparandus Plutarch. in Lycurg. cap. 17. ubi perperam in aliquot libris scriptum fuerat *ἀνδροῖς* pro *ἁδροῖς*. F. A. Wolfius in Homeri l. l. *ἁδροτῆτα* revocavit. Praecipue vid. Corai. ad Isocrat. Paneg. cap. 41. p. 192, qui *τοῖς ἁδροτέροις*. explicat: *τοῖς ἐπισημοτέροις*. Dionysius Areopagita Platonicorum scriptorum imitator ita de Divinn. nomm. IV. 25. p. 582: *τὸ μὲν ἁδρὸν καὶ γαῦρον ὁ λέων ἀπολέσας, οὐδὲ λέων ἔσται.* Paullo post in Nostro legitur: *φρόνημα ἁδρόν*, et cap. 31 jungit et ipse *γαυροτέραν* et *ἁδροτέραν*. Ita enim legendum docebimus. — *ἅττα*] A et E *ἄττα*, bene. — *ἄξιον εἶναι*] cett. om. *εἶναι*, excepto E. — *ὑπέλαβε*] cett. *ὑπέλαβεν*, excepto E. Quae sequuntur vertit Fic. usque ad *ἐκφαίνειν δύνανται*. Tum omittuntur duae paginae. — *εἰς κρείττονα*] D *εἰς τὴν κρείττονα*. Paulo superius voces *διὰ τῶν* in Cod. E ab alia manu sunt additae. Ad rem consule Schefferum de philosophia Italica pag. 113. et quos ille laudat auctores, in primis Porphyr. de Vita Pythag. 13. p. 16 Kust. ibiq. Rittershus. p. 15. — *πλάττουσα*] D *προςπλάττουσα*. — *προςήκοντα αὐταῖς*] B *προςῆκον τὰ ἑαυτῆς*. — *προτείνειν*] D *προτείνει*, ita etiam in Cod. E alia manus correxit ex *προτείνειν*. Merito; et legit idem Fic. — *ἐκφαίνειν*] A et B *ἐκφαίνει*.

αὐτοῦ τοῖς ἔργοις καὶ τῷ βίῳ. Καὶ ὥςπερ ὁ ἀγαθὸς δαίμων τῶν τε λόγων αὐτῶν καὶ τῶν ἔργων κριτὴς γενόμενος, πῶς μὲν ἐν τῷ ἰδίῳ βίῳ, πῶς δὲ ἐν ταῖς πρὸς ἄλλους ὁμιλίας γίνεται· καὶ πότερον ἀποδέχεται τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα, τὰ δὲ τῆς κακίας ἀποστρέφεται, ἢ τῶν φιληδόνων τῆς ψυχῆς ἐνδίδωσι καὶ ῥέπει πρὸς τὸ χεῖρον καὶ ὑπὸ τῶν παθῶν ἀνδραποδίζεται. Ταῦτα δὴ οὖν πάντα κατανοῶν καὶ ἀνασκοπούμενος εὗρεν αὐτὸν ἀδούλωτον ὑπὸ τῶν ὅλων ἐραστῶν, ἀνίκητον ὑπὸ τῆς φιλοχρημάτου ζωῆς, φρονήματος ἀντεχόμενον ἁδροῦ καὶ σμικρὰ πάντα τὰ ἀνθρώπινα νομίζοντα· καὶ ταῦτα θεασάμενος οὕτω δὴ μεταδίδωσιν αὐτῷ τῶν οἰκείων συμβουλιῶν, ἀνακαθαίρων μὲν αὐτοῦ τὰς ἐννοίας, τελειῶν δὲ αὐτοῦ τὰς φυσικὰς ἀρετὰς, ἀνάγων δὲ εἰς τὴν ἐπιμέλειαν τῆς ἐλευθέρας ὄντως ζωῆς. Εἰκότως δὴ οὖν φησιν, ὅτι σκοπούμενος αὐτὸν ἐν τῷ πρόσθεν χρόνῳ καὶ κατανοῶν διετέλει. Δεῖ γὰρ τὸν ἐρωτικὸν ἀπὸ τῆς γνώσεως ἀρχόμενον οὕτω τελευτᾷν εἰς τὴν περὶ τὸν ἐρώμενον πρόνοιαν· ἀνάλογον γάρ ἐστι τῷ πολιτικῷ, πάντως δὲ οὐκ ἄδηλον, ὅτι κἀκεῖνος ἀπὸ τῆς θεωρίας ἄρχεται καὶ τῆς ἐξετάσεως, ἐπειθ' οὕτω τὴν ὅλην διακοσμεῖ πολιτείαν, τὰ τῆς θεωρίας συμπεράσματα διὰ τῶν ἔργων δεικνύς. Κατὰ τὰ αὐτὰ τοίνυν καὶ ὁ ἐρωτικὸς γινώσκει πρότερον τὸν ἐραστὴν, ὁποῖόν τί ἐστιν, ἔπειθ' οὕτως αὐτῷ μεταδίδωσι τῆς ἑαυτοῦ προνοίας· ἀλλ' εἰ μὲν ἦν τὸ γνωστὸν τοῦτο ἄϋλον, καὶ καθαρὸν, καὶ ἑστὼς, εἶπεν ἂν αὐτοῦ δήπου καὶ τὴν γνῶσιν ἀραρυῖαν εἶναι καὶ ἀναμφιςβήτητον. Ἐπειδὴ δὲ πᾶν τοὐναντίον ἀόριστόν ἐστι καὶ ἀτελὲς, καὶ δυνάμει μόνῃ προςτίθησι τῇ κατανοήσει τὸ δὲ σχεδὸν, ὡς οὐ πάντα τὸ ἀκριβὲς ἐχούσῃ· καθάπερ γὰρ οἱ δεινοὶ τὰ διαλεκτικὰ

— *τῶν τε λόγων*] B om. *τε*. Tum F *αὐτῷ* pro *αὐτῶν* et mox idem *διαγίνεται* pro *γίνεται*. — *ὁμιλίας*] cett. *ὁμιλίαις*, et ita scribendum fuit. — *τῶν φιληδόνων*] D et F *τῷ φιληδόνῳ*. bene. — *ἀνάγων δὲ*] B add. *αὐτοῦ τὰς*. — *ἐλευθέρας*] B *ἐλευθερίας*. in marg. *γρ. ἐλευθέρας*. — *ἄδηλον*] B *εὔδηλον*. — *κἀκεῖνος*] B *ἐκεῖνος*. — *οὕτω τὴν ὅλην*] B *οὕτως τὴν ὅλην*. — *συμπεράσματα*] D *συμπαντ*... (sic). — *τὸν ἐραστὴν*] cett. bene. *τὸ ἐραστὸν*, excepto E. — *ἀναμφιςβήτητον*] B *ἀναμφίρηστον*. D *ἀναμφιςβῆτον*. — *δυνάμει*] varie eleganterque usurpatur scriptoribus; de Demosth. usu imititatorumq. vid. Wyttenb. Philom. II. p. 24. h. l. tenendus est usus Aristot. de quo ipse dixi in Dionys. I. p. 80 sq. — *τὸ δὲ σχ.*] dele *δὲ*, quod nec Cod. Vatic. agnoscit. neque est supra p. 93. — *οὐ πάντα τὸ*] A *οὐ πάντῃ τὸ*, bene. B *οὐ πάντῃ τὸ*. D *οὐ πάντα*, omisso *τὸ*. Pergit h. l. Fic.

φασιν, κἂν μυρίαις προτάσεσιν ἀναγκαίαις χρήσηταί τις, μίαν δὲ ἐνδεχομένην προςλάβῃ, τὸ συμπέρασμα πάντως ὁμοιοῦται τῷ χείρονι· κατὰ τὰ αὐτὰ δὴ καὶ εἰς τὸ γνωστὸν ἔχει τι παρ' ἑαυτῷ τῆς ὑλικῆς καὶ ἀστάτου φύσεως συμπεπλεγμένον, καὶ τὴν περὶ αὐτὸ γνῶσιν ἡμῶν ἀόριστον ἀπεργάζεται καὶ ἀμφίβολον. Οὐ γάρ εἰσιν αἱ τῶν μὴ ἑστώτων ἀεὶ ὡςαύτως γνώσεις ἀνέλεγκτοι, ἀλλὰ διὰ τῆς εἰκασίας τὰ τοιαῦτα μόλις ἁλίσκεται· τοιοῦτον δὲ ἡ *φυσικὴ* ἀρετή· διότι δὲ πανταχοῦ τὸ ἀτελὲς, ἅτε τῇ ὕλῃ συγγενὲς ὑπάρχον, εὐμετάβλητόν ἐστι. Ταύτης γοῦν ἔτι τὴν *ἠθικὴν* ἀρετὴν εἴποις ἂν μᾶλλον ἔχειν τὸ βέβαιον καὶ τὸ ἑστώς· καὶ ταύτης τὴν *πολιτικὴν*, ἤδη μετ' ἐπιστήμης οὖσαν, καὶ ὅσῳ δήπου πρὸς τὸ ἄναντες καὶ τὸ ὑψηλότερον μεταβαίνομεν τῶν ἀρετῶν εἶδος, τοσούτῳ πλέον εἰς τοὺς ἀνελέγκτους περὶ αὐτῶν καθιστάμεθα λόγους· τὸ δ' αἴτιον, ὅτι τῆς νοερᾶς οὐσίας ἐγγυτέρῳ γινόμεθα, παρ' ἧς τὸ μόνιμόν ἐστι, τὸ ὡρισμένον καὶ ἀεὶ ὡςαύτως ἔχον. Τὸ μὲν οὖν *σχεδὸν* τὴν ἀμυδρότητά μοι δοκεῖ σημαίνειν τῶν φυσικῶν ἀρετῶν· ἔσχαται γὰρ οὖσαι καὶ πόῤῥω τοῦ νοῦ καὶ τῇ ὕλῃ συμμιγεῖς καὶ ἀτελεῖς, ἔχουσί τι διάγνωστον καὶ εἰκαστὸν καὶ τοῖς ἀνελέκτοις τῆς ψυχῆς λογισμοῖς οὐχ ἁλωτόν. Τὸ δὲ οὖν κατανενοηκέναι δηλούτω μὲν καὶ τὴν σύντονον τοῦ Σωκράτους βάσανον τῶν τοῦ νεανίσκου λόγων τε καὶ ἔργων, ἐνδείκνυται δὲ καὶ τὴν τοῦ χείρονος γνῶσιν καὶ τὴν εἰς τὸ κάτω βλέπουσαν καὶ πρὸς τὸ ἐκτὸς ἀποτεινομένην. Διαφέρει

φασιν] cett. φασι. Bene. — *Προτάσεσιν propositionibus, enuntiationibus*, Vid. vetter. rhetorum locos ab Ernesto in Lex. technolog. p. 297 seq. congestos. — *ἐνδεχομένην*] B *οὐ δεχομένη*. — *τὸ συμπέρασμα*] D *τὸ σύμπαν*. — *εἰς τὸ γνωστὸν*] B *εἰ τὸν γνωστὸν*. D *εἰ τὸ γνωστὸν*. Bene. — *ἀστάτου*] A *ἄστατον*. — *συμπεπλεγμένον καὶ*] cett. om. *καὶ*. B habet *συμπεπλεγμένου*. E habet *καὶ*, sed additum ab alia manu. — *ἀόριστον*] hoc om. B. — *Ταύτης γοῦν*] Inde ab hoc loco in Ficini versione omissa sunt quinque folia. — *λόγους*] B *λόγου*. — *ἐγγυτέρω*] scr. *ἐγγυτέρῳ*, ut est in Cod. E. — *παρ' ἧς*] A et D *παρ' ᾗ*. — Mox *ἀμυδρότητα*. De hoc usu cum substantivi tum adjectivi *ἀμυδρὸν* dixi ad Plotin. de pulcr. pag. 247 sq. Delectantur autem his vocibus recentiores maxime Platonici. Mox ad vocem *βάσανον* vid. quae ibid. p. 340 ex Platone et Maximo Tyrio exhibui. — *διάγνωστον*] cett. rectius *δύςγνωστον*, excepto E. — *εἰκαστὸν*] B *ἀκουστόν*. — *ἀνελέκτοις*] scr. *ἀνελέγκτοις*, ut est in Cod. E. — *τὸ δὲ οὖν*] D *τὸ δὲ αὖ*. — *ἔργων*] B *ἔργου*. — [pro *ἐκτὸς* scr. *ἐκτὸς*, ut supra notatum.]

δὲ τοῦ σκοπεῖσθαι, καθόσον τὸ μὲν διέξοδον ἔχει διὰ πάντων τῶν λόγων καὶ τῶν ἔργων ἐξεταστικήν· τὸ δὲ συμπέρασμά ἐστιν ἐκ τῆς διεξόδου ταύτης συνηρηκὸς τὴν ὅλην ἐπιτηδειότητα τοῦ νεανίσκου. Τοιοῦτον γὰρ τὸ κατανενόηκα· καὶ ἔχει πάλιν ἐκ τούτων, ὅπως τὴν μὲν ἀθρόαν γνῶσιν, ἅτε τοῦ νοῦ φέρουσαν ἴνδαλμα, κατανόησιν προςείρηκε, τὴν δὲ ἐξέτασιν, τὴν διεξοδικὴν ἐν χρόνῳ γινομένην, ψυχικῷ προςηγόρευσεν ὀνόματι. Τὸ γὰρ σκοπεῖσθαι ψυχῆς ἐστι κίνησις, ὥς φησιν ὁ Ἀθηναῖος ξένος.

[λα.] Τοιαῦτα μὲν οὖν τὰ τοῦ Σωκράτους· ὁ δ' Ἀλκιβιάδης, διατί θαύματος ἄξιος καὶ πρὸς ἐπιμέλειαν οὐκ ἀνεπιτήδειος; ὅτι, φήσω, τὸν πολλὺν ἐραστὴν ἀπεσείσατο καὶ φορτικόν· πολλῶν γὰρ γεγονότων φησί. Τοῦτο μὲν αὐτῶν τῆς ποσότητος δηλοῖ τὴν ὑπερβολὴν καὶ μεγαλοφρόνων· τοῦτο δὲ αὖ τῆς ποιότητός ἐστιν ἐνδεικτικὸν, πάντας φυγάδας ἀπέφηνας, καὶ δῆλον μὲν, ὅτι τὸ μεγαλόφρον οὐκ ἔστιν ἐπὶ τούτων ἀληθινὸν, ἀλλὰ φαινόμενον. Ποῦ γὰρ ἂν εἴη μεγαλοφροσύνη, φρονήσεως καὶ ἐπιστήμης οὐκ οὔσης; ποῦ δ' ἂν εἴη φρόνησις, τῆς ἡγεμονίας μὴ ἡγεμονευούσης; Ἀλλ' ἐπειδήπερ ἑλεῖν σπουδάζοντες τὸν ἐρώμενον, οἱ μὲν ἵππους, οἱ δὲ κύνας θεραπευτικὰς, οἱ δὲ ἄλλα ἄττα προςήγαγον ἐκθεραπεύοντες αὐτοὺς καὶ κολακεύοντες καὶ τῶν ὑπαρχόντων κατεφρόνουν, μεγαλόφρονες ἐπονομάζονται, καὶ ὥςπερ ἐραστὰς

— καθόσον τὸ] B om. τὸ. D καθ' ὅσον τὸ. — συμπέρασμα] D σύμπαν. — συνηρηκὸς] B συνειρηκὸς. A B D et E addunt ἤδη. Bene. — ἔχει] cett. ἔχεις, et ita legendum. — ὥς φησιν ὁ Ἀθηναῖος ξένος] Nimirum in libris de Legg. Tu vid. X. 8. p. 896 extr. p. 392 Ast.

Τὰ τοῦ Σωκρ.] B om. τοῦ. — θαύματος] B θαυμαστός. — οὐκ ἀνεπιτήδειος] B τοῦ καὶ ἐπιτηδειότητος (ὡς supra) (sic). — πολὺν ἐραστὴν] B πολυεραστὴν. — μεγαλοφρόνων] B μεγαλοφροσύνην τε et in marg. φρόνων γρ. ut scriptum est in Platonis contextu. Alc. I. p. 107. ed. Ast. p. 103. b. Bekk. p. 299. — ἀπέφηνας] B ἀπέφηνε. — ἡγεμονίας μὴ] cett. om. μὴ. B pro ἡγεμονίας habet ἡμεγίας et in marg. γρ. ἡγεμονίας. Cod. E habet μὴ, sed à secunda manu additum. — τὸν ἐρώμενον] B τῶν ἐρώμενον. — θεραπευτικὰς] Voluit fortasse θηρατικάς, sed θηρευτικὸς de canibus usitatius. A et B θηρευτικὰς. D θηρευτικοὺς. placet utrumque. — ἄττα] A ἅττα, bene. [Viger. de idiotism. ling. gr. p. 35 sq. Herm.] — προςήγαγον] cett. προςῆγον. — αὐτοὺς] cett. αὐτὸν, et ita etiam E, sed ex corr. cum antea perperam fuisset αὐτούς. — ἐραστὰς] cett. ἐρασταί. Sic legendum.

καλοῦνται, τοῦ ἀληθοῦς ἔρωτος ἀποπεσόντες, οὕτω δὴ καὶ μεγαλόφρονες τῆς ἀληθινῆς μεγαλοφροσύνης ἐστερημένοι. Πάντες δὴ οὖν εἰκότως τους τοιούτους ὁ Ἀλκιβιάδης ὑπερεβάλετο τῷ φρονήματι, φύσιν γαυροτέραν τινὰ καὶ ἀβροτέραν λαχὼν καὶ ψυγάδας αὐτοὺς ἀπέδειξεν, οὐκ ἐνεγκόντας τὸ φρόνημα αὐτοῦ τὸ ὑπέρογκον. Καί μοι δοκεῖ καὶ τῷ ὀνόματι τούτῳ τοὺς φορτικοὺς ἐραστὰς περιλαβεῖν, πρῶτον μὲν, ἵνα αὐξήσῃ μειζόνως τὴν νεανίσκου κατ' ἐκείνων ὑπεροψίαν, οἷον στρατηγικήν τινα αὐτῷ μαρτυρήσας δύναμιν κατ' αὐτῶν· ἔπειτα, ἵνα κἀκείνων ἐμφανῆ ποιήσῃ τὴν ζωὴν κατὰ τὸ ἔσχατον μόριον τῆς ψυχῆς χαρακτηριζομένην· τὸ γὰρ δειλὸν τῇ ἐπιθυμίᾳ μάλιστα προσήκει. Φυγάδες οὖν οἱ διὰ τὴν ἐπιθυμίαν καὶ τὸν ταύτης οἶστρον ἐρασταί. Καὶ τρίτον, ὕμνος τίς ἐστιν οὗτος τῶν ὡς ἀληθῶς ἀξιεράστων, ὅτι τοῖς πολλοῖς εἰσὶ καὶ ἀγενέσιν ἀνέραστοι. Λέγει οὖν καὶ ὁ Ἀντισθένους Ἡρακλῆς περί τινος νεανίσκου παρα τῷ Χείρωνι τρεφομένου· μέγας γάρ φησι καὶ καλὸς καὶ ὡραῖος, οὐκ ἂν

— *πάντες δὴ*] cett. *πάντας δὴ*. Ita leg. — *τοὺς τοιούτους*] haec om. D. — *ὑπερεβάλετο*] A *ὑπερεβάλλετο*. — *ἀβροτέραν*] A et B *ἀδροτέραν*. D *ἀμυδροτέραν*. Neque hoc, neque *ἀβροτ.* convenit voci *γαυροτέραν*. Legendum *ἀδροτέραν*, quod vocabulum etiam pag. seq. adjungitur voci *ὑψηλά*, et paulo post vocibus *μεγαλόφρον* et *ἡγεμονικόν*. Vid. etiam supra annot. ad cap. 30. — *περιλαβεῖν*] A *περιβαλλεῖν*. B et D *περιβαλεῖν*. E *περιβαλεῖν*, et in marg. *ἴσ. λαβεῖν*. — *μειζόνως τὴν νεανίσκου*] cett. *τοῦ νεανίσκου μειζόνως τὴν*. Magis placeret *ἵνα αὐξήσῃ μειζόνως τὴν τοῦ νεαν. κτλ.* — Ceterum omnia alia ex Platone de Alcibiade refert in loco contumeliae in illum pleno Athenaeus V. 12. p. 224 seq. Schwgh. *τὸν μὲν γὰρ Ἀλκιβιάδη φησὶν (ὁ Πλάτων) ἐν τῷ ὁμωνύμῳ διαλόγῳ παρακμάσαντα, τότε πρῶτον ἄρξασθαι τῷ Σωκράτει λαλεῖν, ὅτε πάντες αὐτὸν κατέλιπον οἱ τοῦ σώματος ἐπιθυμηταί.* Quibus prima dialogi nostri verba tanguntur. — *τινα αὐτῷ*] B *τινα αὐτῶν*. — *φυγάδες οὖν*] B *φυγάδες αὖ*. — *τῶν ὡς ἀληθῶς ἀξιεράστων*] haec om. B. — *ἀγενέσιν*] A *ἀγενέσι*. D *συγγενέσι*. Proxima lin. Cod. E *Χείρ*ω*ονι* (sic). — *οὐκ ἂν*] B *οὐ κἂν*. Vide de Antisthene Fabric. Bibl. Gr. T. I. p. 331. inprimis vero T. II. pag. 360 sq. ed. 3. Ceterum, si Athenaeo fides habenda, idem Antisthenes Alcibiadem ipsum nota censoria inurere non dubitavit. Ita enim ille refert, V. 20. p. 220. p. 347 Schwgh.: *Ἀντισθένης δ' ἐν θατέρῳ τῶν Κύρων κακολογῶν Ἀλκιβιάδην καὶ παράνομον εἶναι λέγει καὶ εἰς γυναῖκας καὶ εἰς τὴν ἄλλην δίαιταν· συνεῖναι γάρ φησι αὐτὸν καὶ μητρὶ καὶ θυγατρὶ καὶ ἀδελφῇ ὡς τοὺς Πέρσας* Similia de eodem ex Aeschinis Axiocho profert Athenaeus l. l. quae in eo qui hodieque Aeschinis Socratici nomen mentitur Axiocho frustra quaeres.

*αὐτοῦ ἠράσθη δειλὸς ἐραστής.* Τοιοῦτος δὴ καὶ ὁ Ἀλκιβιάδης ἐν τῶν προκειμένων ἀναφαίνεται· τὸ γὰρ τῶν μὲν ἀναξίων τοῦ ἔρωτος ὑπεριδεῖν, τὸν δὲ ἄξιον θαυμάσαι, πολλὴν αὐτῷ μαρτυρεῖ τὴν πρὸς τὸ καλὸν οἰκειότητα καὶ εἰς ἀρετὴν παρασκευήν. Ἴσως δ' ἄν τις ἐπιποθήσειε μαθεῖν, τί δήποτε τὰ ὑψηλὰ καὶ ἁδρὰ φρονήματα κινεῖ τοὺς θείους ἐραστάς, καὶ σπουδῆς ἄξια εἶναι δοκεῖ; Ῥητέον δὴ οὖν, ὅτι τὰ τοιαῦτα ἤθη συγγένειαν ἔχειν δοκεῖ πρὸς αὐτὸ τὸ θεῖον κάλλος· τὸ γὰρ τῶν παρόντων μὲν ὑπερφρονεῖν ὡς ἐσκιαγραφημένων καὶ οὐδενὸς ἀξίων, ἄλλο δέ τι πρὸ τούτων ἐπιζητεῖν μέγα καὶ θαυμαστὸν καὶ ὑπερέχον τῶν πολλῶν τεκμήριόν ἐστιν ἐμφανὲς τῆς περὶ αὐτὸ τὸ καλὸν ὠδῖνος τῶν ψυχῶν. Τοῦτο δὲ καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης ἀνέφηνε τῶν ἀπ' οὐρανοῦ κατιουσῶν ψυχῶν τὸ ἡγεμονικὸν καὶ ἁδρὸν καὶ μεγαλόφρον ἐν ταῖς αἱρέσεσι τῶν βίων ἴδιον εἰπών· ἔτι γὰρ ἀπήχημα φέρουσι τῆς ἐκεῖ ζωῆς καὶ διὰ τοῦτο ταῖς δυνάμεσιν ἐπιτρέχουσι, καὶ τῶν ἄλλων ἁπάντων ὡς μικρῶν καὶ οὐδενὸς ἀξίων ὑπερορῶσιν. Ἔστι δὲ τοῦτο τὸ πάθος, εὖ παι-

— *τοιοῦτος δὴ*] cett. add. *οὖν*, excepto solo Cod. E. — *ὑψηλὰ*] D *ὑψηλότερα*. A B E et D addunt *φρονήματα*, quod omittunt post *καὶ ἁδρά*. — *ὑπερφρονεῖν*] D *καταφρονεῖν*. — *καὶ οὐδενὸς ἀξίων*] B *οὐδενὸς ἄξιον*, omisso *καί*. De *ἐσκιαγραφ*. cf. annot. nostr. ad Plotin. de pulcrit. p. 203 seq. et p. 366 sq. Proxime *ὠδὶς* de amore pulcri Platoni debetur. Vid. de Republ. VI. 5 p. 490. pag. 174 Ast. Sympos. cap. 31. p. 70 Ast. Unde sumpsit etiam Plotinus Ennead. VIII. 3. 4. cf. IV. 7. 13. — *ἔτι γὰρ*] B *ὅτι γάρ*. Tu confer hos locos Platonis de Republ. VII. 3 p. 517 sq. p. 201 sq. Ast. p. 332 sq. Bekk. itemque ibidem X. 12—14. p. 614—620. p. 304—310 Ast. p. 503—512 seq. Bekker. — Mox *ἀπήχημα τῆς ἐκεῖ ζωῆς*. Suidas III. p. 649 Kuster. *Διαπορουμένῳ γοῦν τῷ Πρόκλῳ περὶ τῶν Ἰσιδώρου μιμήσεων τῶν ὀρνέων καὶ τῶν φωνῶν τῶν ἀπηχημάτων κτλ.* Inde ad alios significatus transfertur. Longinus de Subl. IX. 2: *μεγαλοφροσύνης ἀπήχημα echo magnitudinis*, ubi vid. Toup. p. 293. p. 269 Weisk. Adde Fischeri indic. Aeschin. Socrat. in voc. Classicus est locus et valde aptus ad nostri loci intelligentiam Dionysii Areop. de caelest. hierarch. II. 4. p. 38. unde insigniora tantum delibabo: *Θεὸς δὲ ψυχὴν καὶ τοῖς ἐκεῖσε καλοῖς ἐπεντρανίζειν* (adde Lexicis.) *παρέχει. Τὰ αὐτὰ γὰρ οὐ ταὐτῶς λαμβάνονται, πρὸς τὴν φυσικὴν δὲ ἰδιότητα τοῦ ὑποκειμένου καὶ ὁρίζονται καὶ νοοῦνται· διὰ τοῦ γὰρ καὶ ἀπηχήματα λέγονται ἐκείνων ταῦτα.* Deinde vocabulum a re musica ductum subtilius explanat. Eadem voce iisdemque sententiis Platonicis utitur Noster infra cap. 47. — *ἐπιτρέχουσι*] A et B .....*ιν*.

δαγωγηθὲν, ἀρχὴ τῆς σωτηρίας τῶν ψυχῶν· το γὰρ σμικρα μὲν ὑπολαβεῖν τὰ ἀνθρώπινα καὶ ἀτιμάσαι τὰ παρόντα ὡς φορτικὰ καὶ εὐτελῆ καὶ οὐκ ἄξια σπουδῆς, ἐπιζητῆσαι δὲ τὸ ἐν ἐκείνῳ τῆς ζωῆς εἶδος τὸ τοῦ πλήθους ἐξῃρημένον καὶ ἄφατον τοῖς πολλοῖς ἐφόδιόν ἐστιν ἱκανὸν εἰς τὴν τῆς ἀρετῆς ἐπιτήδευσιν.

[λβ.] „Τὸν δὲ λόγον, ᾧ ὑπερπεφρόνηκας, ἐθέλω διελ-„θεῖν· οὐδενὸς φῂς ἀνθρώπων ἐνδεὴς εἶναι εἰς οὐδέν· „τὰ γὰρ ὑπάρχοντά σοι μεγάλα εἶναι, ὥςτε μηδενὸς δεῖ-„σθαι, ἀπὸ τοῦ σώματος ἀρξάμενον τελευτῶντα εἰς τὴν „ψυχήν."

Εἰ καὶ ὁ νεανίσκος διά τινα χαυνότητα καὶ μεγαλαυχίαν ὑπερεώρα τῶν πολλῶν περὶ αὐτῶν (leg. vid. αὐτὸν) ἐραστῶν, ἀλλ' ὁ Σωκράτης εἰς λόγον ἀναφέρει τὴν τοιαύτην ὑπεροψίαν, ἅμα καὶ προτρέπων αὐτοὺς εἰς τὸ κατὰ λόγον ζῆν καὶ διὰ τὴν κατὰ λόγον ζωὴν ἀποσείεσθαι τὸ πλῆθος τῶν οἰκείων ἀνθρώπων, ἵνα λόγῳ τὰ πάθη διαφεύγωμεν, ἀλλὰ μὴ παθῶν ἄλλων ἄλλα ἀντικαταλλαττώμεθα. Θαυμαστὸν δὲ οὐδὲν καὶ τὸν Ἀλκιβιάδην κατὰ λόγον ἐκείνων ὑπεριδεῖν· πολλαχῶς γὰρ ὁ λόγος ἄλλος μέν ἐστιν ὁ ἐπιστημονικὸς λόγος, ἄλλος δὲ ὁ δοξαστικός. Κωλύει τοίνυν οὐδὲν κατὰ δόξαν αὐτὸν ἐνεργοῦντα ἀληθῆ καὶ ἀδιάστροφον, ἄμικτον ἑαυτὸν φυλάξαι τοῖς φορτικοῖς ἐρασταῖς· ἔστιν οὖν οὐ μόνον ἔπαινος τοῦ νεανίσκου, ἀλλὰ καὶ προτροπὴ εἰς εὐζωΐαν. Τὸ γὰρ μὴ χείρονας φαίνεσθαι τῆς τῶν ἄλλων ἀνθρώπων ὑπολήψεως ἱκανόν ἐστιν ἡμᾶς ἀνεγεῖραι πρὸς τὴν ἑαυτῶν ἐπιμέλειαν. Ἀλλὰ τί, φαίης ἂν, ὁ Σωκράτης εἰς ἔπαινον καθίησι τοῦ νεανίσκου;

— τὸ γὰρ σμικρὰ] D καὶ γὰρ σμικρά. et in marg. cod. D: ὅρα ἕλληνος λόγον. Nimirum Christianus homo demiratur hanc pagani philosophi orationem. — ἐν ἐκείνῳ] B ἐν ἐκεῖνο. Voluit ἓν ἐκεῖνο. — τοῖς πολλοῖς] D om. τοῖς. Mox E ἐς pro εἰς. — ἐθέλω] B ἐθέλων.

Ἀρξάμενον] A B et E ἀρξάμενα ut est apud Platonem. D omisit cum lacuna. cf. Heind. ad Gorg. 60. p. 83. Heusden. Spec. in Platon. p. 39. In Scholio p. 69 Ruhnken est: ἀπὸ τοῦ σώματος ἀρχόμενα. — προτρέπων αὐτοὺς] cett. bene προτρέπων αὐτὸν, excepto E. Mox idem in contextu οἰκείων, sed in margine εἰκαίων, quod optime huic loco convenit. — κατὰ λόγον ἐκείνων] B καταλόγων ἐκείνων. — ἄλλος μέν ἐστιν] A et B ἄλλος μὲν γάρ ἐστιν. Bene; si post γὰρ ὁ λόγος colon ponas. in marg. cod. D σῆ. ὡς Φαίδωνι λέγ.

οὔτε γὰρ παρόντα ἐπαινετέον, κολακείας γὰρ τὸ τοιοῦτον ἔργον· οὔτε νέον, χαυνότητος γὰρ ποιητικόν· οὔτε ἐρώμενον, ἐμπόδιον γὰρ πρὸς τὸ πεῖσαι τὸν ἐρώμενον αὐτῷ προσέχειν τὸν νοῦν· οὐδέ γε ὁ Σωκράτης καὶ ἐρώμενον ἐπαινεῖν προτίθεται καὶ νέον καὶ παρόντα τοῖς ἐπαίνοις· λεκτέον τοίνυν, ὅτι πᾶς οὗτος ὁ λόγος δοκεῖ μὲν ἔπαινος εἶναι τοῦ νεανίσκου, καὶ ἔστι κατὰ τὸ φαινόμενον ἐγκωμιαστικὸς, κατηγορία δὲ μᾶλλόν ἐστι λεληθυῖα καὶ ἐσχηματισμένη· τοῦ δὲ τοιούτου τρόπου δεδέηται λόγων· πρῶτον μὲν, ἐπειδὴ καὶ ἡ φυσικὴ ἀρετὴ τοιάδε τίς ἐστιν ἐσκιαγραφημένη ὑπὸ τῆς φύσεως καὶ ἀτελὴς καὶ οὔτε ἐπαινετὴ ἁπλῶς οὔτε ψεκτὴ, ἀλλὰ μετέχουσά πως ἀμφοῖν εἰκότως. Καθ' ὅσον μὲν γὰρ ἀρετή τίς ἐστι καὶ ἔσχατον ἴχνος τῆς ἀληθοῦς, ἔχει τι ἐπαινετόν· καθ' ὅσον δ' αὖ ἀτελής ἐστι καὶ ἔνυλος καὶ σωματοειδὴς, κατὰ τοσοῦτον ψεκτή. Μεμίμηται γοῦν ὁ τῶν λόγων τρόπος τὴν ἰδιότητα τῆς φυσικῆς ἀρετῆς· φαινόμενον γὰρ ἔχον τὸ ἐγκωμιαστικὸν, ὥςπερ ἐκείνη τὸ ἐπαινετόν· κρυπτόμενον δὲ τοὐναντίον, ὥςπερ ἐκείνη τὸ ψεκτόν· δεύτερον δὲ καὶ ἀμφοῖν ὁ Σωκράτης ποιεῖται λόγον, τοῦ τε οἰκειώσασθαι τὸν ἐρώμενον· (τί γὰρ ἄλλο ἐρωτικῷ τούτου προηγούμενόν ἐστι;) καὶ τοῦ μὴ χαυνότερον ποιῆσαι πρὸς ἀρετὴν ἐπιτήδειον. Ὁ τοίνυν ἐσκιαγραφημένος οὗτος ἔπαινος οἰκειοῦται μὲν αὐτὸν τῷ φαινομένῳ, συστέλλει δὲ τῷ λεληθότι τῆς κατηγορίας· καὶ εἴ πέρ τις ἄλλος, ῥήτωρ ἢ συγγραφεὺς, ἐσχημάτισε τὸν λόγον καὶ ὁ Πλάτων ἐν τού-

— *κολακείας*] cett. *κολακικὸν*. In Cod. E fuit *κόλακι*, quod alia manus delevit et in margine ejus loco posuit *κολακικόν*. Illud *κόλακι* ortum est ex male intellecto scripturae compendio, cum fuisset *κολακίας*. — *οὐδέ γε ὁ Σωκρ.*] D *ὁ δέ γε Σωκρ.* — *καὶ ἐρώμενον*] B *ἐρωμένου*, omisso *καί*. — *λεληθυῖα*] B *λελη*..... seq. lacuna. — *τοῦ δὲ τοιούτου*] B *τοῦδε τοιούτου*. — *ἐσκιαγραφημένη*] A et D add. *τις*, B *τῆς*. — *καὶ οὔτε*] B om. *καί*. — *μετέχουσά πως*] B *μετέχουσα πῶς*. — *φυσικῆς ἀρετῆς*] B om. *ἀρετῆς*. Mox Cod. E *μὲν* pro *γὰρ* et *ἔχων* ex corr., cum antea fuisset *ἔχον*. Bene utrumque. — *ἐπαινετόν*] D *ἐπαινετικὸν*. — *κρυπτόμενον*] B *κρυπτομένου*. — *μὴ χαυνότερον*] B om. *μή*. — *ἐπιτήδειον*] cett. *ἀνεπιτήδειον*, excepto E, qui cum nostro facit, ut plerumque. Aut legendum *τὸν πρὸς ἀρ. ἐπιτ.* aut, quod magis placet, omisso *τὸν*, scribendum: *καὶ ἀνεπιτήδειον*. — *ἐσκιαγραφημένος*] D *σκιαγραφ.* — *ῥήτωρ ἢ συγγραφεὺς*] A et E *ἢ ῥήτωρ ἢ συγγραφέων*. B *ἢ ῥήτωρ ἢ συγγραφεύς*. D *ἢ ῥητόρων ἢ συγγραφέων*. Alterutra ex posterioribus lectionibus eligenda.

τοις· καὶ ἔξεστιν ἕκαστον τῶν λεγομένων βασανίζοντας δεικνύναι συνυπάρχοντα τὸν τῆς ἀμαθείας ἔλεγχον, καὶ φυσικὴν μέν τινα δεικνυμένην ἐν τῷ νεανίσκῳ παρασκευὴν, ἀτελῆ δὲ ταύτην καὶ ἀδιάρθρωτον καὶ τῆς ἀληθοῦς ἀρετῆς ἁμαρτάνουσαν. Ἔτι δὲ καὶ κατ' ἄλλον λόγον ὁ Σωκράτης φαινομένως ἐγκωμιάζει, κακίζει δὲ λεληθότως· πρὸ γὰρ τῶν ἀμίκτων ἐλέγχων κεκραμένως παρέχεται τοῖς ἐπαίνοις αὐτοὺς, κατὰ μικρὸν ἐθίζων τὸν νεανίσκον ὑποφέρειν τοὺς ἐλεγκτικοὺς λόγους. Ἄρχεται δὴ οὖν ἀπὸ τῶν ἐσχηματισμένων ἐγκωμίων τοῦτον τὸν τρόπον τὸν λόγον ἁρμοσάμενος, ἵνα πείσῃ καὶ τῶν ἀτοπωτέρων εὐμενῶς ἐπακοῦσαι ῥημάτων καὶ προςδέξηται ὁ ἀκροατὴς τὸ ἀμαθίᾳ γὰρ συνοικεῖς τῇ ἐσχάτῃ· φορητὸν γοῦν τὸ τοιοῦτον γίνεται τῶν λόγων εἶδος διὰ τῆς νῦν ἐπιτηδευομένης κράσεως. Πῶς οὖν, ἅπερ εἴπομεν, ἐν τοῖς προκειμένοις ἔνεστι, καὶ πῶς ἡ εὐφημία συμμιγής ἐστι τοῖς ἐλέγχοις; πρῶτον μὲν τὸ οὐδενὸς φῂς ἐνδεὴς ἐν προςθήκης μοίρᾳ τοῦτο παραλαμβάνεται τὸ φῄς, ἀλλότριοι μὲν ἀπὸ τοῦ Σωκράτους τὸν λόγον, ἐπ' αὐτὸν δὲ ἐκεῖνον ἀναπέμπει πάντα τὰ ῥηθησόμενα. Μονονουχὶ γὰρ τοῦτο λέγει σαφῶς, ὅτι ἀνενδεὴς ἦ, ὡς σὺ λέγεις, οὐχ ὡς ἐγὼ, καὶ τάδε σοι πρόςεστι κατὰ τὴν σὴν οἴησιν, οὐ κατὰ τὴν ἐμήν· ἔστιν οὖν ἐπαινέτης αὐτὸς ἑαυτοῦ, πρᾶγμα φορτικὸν ποιῶν ὁ νέος. Τούτου δὲ αἴτιον ἡ διπλῆ ἄγνοια· αὐτὸς γὰρ περὶ αὐτοῦ ἀμαθὴς ὢν, αὐτὸ τῆς ὑπερβολῆς μέγιστον ἔτι κατηγόρημα

— *δεικνύναι*] A et D recte add. *τῷ ἐγκωμίῳ*. B *τῷ ἐγκοσμίῳ*. — *ἀμαθείας*] cett. *ἀμαθίας*. Bene. — *παρασκευὴν*] cett. *πρὸς τὸ καλὸν παρασκευὴν*, quod probum videtur. — *καὶ ἀδιάρθρωτον*] A et D *καὶ διάρθρωτον*. B *τὴν διάρθρωτον*. — *τοῖς ἐπαίνοις*] D .... *ἐπ* ..... (sic). praeterea hoc loco et aliis locis permultas parvas lacunas habet codex D (Vatic.), quas tunc modo notavimus, cum varians lectio in cett. codd. occurrit. — *εὐμενῶς*] D *α* . . . *νῶς* (sic). — *φορητὸν γοῦν*] D *φορητὸν οὖν*. — *λόγων εἶδος*] B *λόγων οἶδα*. — *οὐδενὸς φῂς ἐνδεής*] cett. om. *ἐνδεής*. Male. D hoc loco lacunam habet. — *παραλαμβάνεται*] cett. *παραλαμβάνων*. Cod. E in seqq. *ἀλλοτριοῖ*, bene utrumque. — *ἀνενδεὴς ἦ*] B et D *ἀνενδεὴς εἶ*, quod praestat. — *σὺ λέγεις*] A *σὺ λέγει*. — *ἔστι οὖν*] cett. *ἔστιν οὖν*, recte. — *γὰρ περὶ αὐτοῦ*] D *γὰρ περὶ ἑαυτοῦ*. Bene. — *ἀμαθὴς ὢν, αὐτὸ*] cett. omitt. *αὐτὸ*, et pro eo addunt haec: *οὐκ οἶδε τὴν ἑαυτοῦ κακοδαιμονίαν, ἀλλ' οἴεται εὐδαίμων εἶναι καὶ αὐτάρκης. Δεύτερον τό.* Sed Cod. E plane ut noster. Placent vero illa addita.

τοῦ λέγοντος· τὸ γὰρ μηδενὸς εἰς μηδὲν δεῖσθαι τῆς ἀνθρωπίνης οὐ στοχάζεται φύσεως καὶ τῆς ἀσθενείας τοῦ γένους ἡμῶν, οὐδὲ ἐννοεῖ τὸ *κούφων γὰρ καὶ πτηῶν λόγων βαρυτάτη* ζημία. Πᾶσι γὰρ τοῖς τοιούτοις ἐπίσκοπος ἐτάχθη δίκης Νέμεσις ἄγγελος. Ἔδει δὴ οὖν αὐτὸν μὴ μέχρι τοσούτου μέγα φρονεῖν, ὥςτε τοὺς ὅρους ὑπερβαίνειν τῆς ἀνθρωπίνης ζωῆς. Τρίτον τὸ τὰ ὑπάρχοντα μεγάλα εἶναι δείκνυσιν ἐπικτήτῳ μεγάθει κοσμούμενον, ἀλλ' οὐ τῷ οἰκείῳ τῶν ψυχῶν, οὐδὲ τῷ αὐτοφυεῖ. Πᾶσα γὰρ ἡ φανερωμένη δύναμις ἐν δοκήσει ψιλῇ τὸ μέγεθος ἔχει· τὸ δὲ οὕτως ὑψηλὸν καὶ μέγα καὶ ὑπερέχον ἐν αὐτῇ κεῖται τῇ ζωῇ τῶν ψυχῶν· μονοειδὴς δὲ αὕτη καὶ οὐ πεπληθυσμένη, καὶ αὐτοφυὴς, ἀλλ' οὐκ ἔξωθεν ὑπάρχουσα. Τέταρτον τὸ ἀπὸ τοῦ σώματος ἄρχεσθαι τὰ ἀγαθὰ, τελευτᾷν δὲ εἰς τὴν ψυχὴν τὸ σαθρὸν αὐτῶν καὶ εἰδωλικὸν διασαφεῖ, καὶ διελέγχον τὸν οἰόμενον εὐδαίμονα εἶναι καὶ τὴν ἀρχὴν τῶν οἰκείων ἀγαθῶν ἀπὸ τοῦ σώματος ὁρμᾶσθαι νομίζοντα. Προςτίθησι γὰρ οὗτος τὰ ἀναγκαῖα τῶν ἀρετῶν καὶ τὰ ἑπόμενα τῶν ἡγουμένων· ὡς γοῦν ὁ Ἀθηναῖος λέγει ξένος, θεῖα μέν ἐστι τὰ ψυχικὰ, ἀνθρώπινα δὲ τὰ θνητὰ, καὶ τὰ μὲν ἄρχειν προςήκει, τὰ δὲ ἐκείνῃ ἐπακολουθεῖν· οὐδὲ ἀνάπαλιν ἀπὸ τῶν σωματικῶν ἄρχεσθαί φησι τὴν ἑαυτοῦ εὐδαιμονίαν· πολλοῦ ἄρα δεῖ εἶναι εὐδαίμων καὶ ἀνενδεής. Ταῦτα μὲν οὖν ἐστι, δι' ἅ φημι τὸν Σωκράτην φαινομένως μὲν ἐπαινεῖν, ἀληθῶς δὲ ἐξελέγχειν τοῦ νεανίσκου τὴν ἀμάθιαν.

— *πτηῶν λόγων*] B *πτηνῶν λόγον*. Leg. *πτηνῶν λόγων*. D om. cum lac. Sunt haec verba Platonis, in Legibus IV. 8. p. 717. p. 147 Ast. p. 357 Bekker. — *ἀνθρωπίνης ζωῆς*] cett. *ἀνθρωπίνης φύσεως*. Bene. Mox Cod. E bene. *μεγέθει*. — *φανερωμένη*] cett. *φαινομένη*, quod praestat. — *οὕτως ὑψηλὸν*] B et E *ὄντως ὑψ.* Sed E nonnisi correctum ex *οὕτως*. *ὄντως* unice verum. — *σαθρὸν*. Plutarch. in fragm. de Amicitia (ap. Stob. Eclog. II. 360 et in Fragg. p. 827 Wytt.) *εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ ἐπίκηρον* uti Wyttenbachius emendavit pro *ἐπίκαιρον*. — *Ἀθηναῖος*] A *Ἀθήναιος*. D *Ἀθήναῖος* (sic). [recte ut noster. vid. Cyrilli aut Philoponi Collect. in Steph. Thes. s. v.] — *λέγει*] A et B *λέξει*. cf. Plat. de Legg. I. p. 631. b. Bip. T. VIII. Bekk. III, 2. p. 192 sq. — *ἐκείνῃ*] B *ἐν ἐκείνοις*. D *ἐκείνοις*, hoc etiam fuisse videtur in Cod. E et placet sane. — *οὐδὲ*] cett. *ὁ δὲ*, Bene. — *φαινομένως*] B ......*ας*. — *ἀμάθιαν*] B et D *ἀμαθίαν*, bene.

[λγ.] Ὅλως δὲ αὐτὸ τοῦτο ζητητέον, ἀπὸ ποίας αἰτίας ὁ Ἀλκιβιάδης τὸ ἀνενδεὲς τοῦτο στοιχεῖον ἐτίθετο τῆς εὐδαιμονίας ζωῆς· καὶ λεκτέον, ὅτι τὸ αὔταρκες πρώτως ἐν αὐτοῖς ἐστι τοῖς θεοῖς· ἀγαθοὶ γάρ εἰσιν οἱ θεοὶ, καὶ ἀγαθότητος ὑπερούσιοι, καὶ πληρώματα τῶν ὄντων ἁπάντων, δι' οὓς καὶ τοῖς ἄλλοις πᾶσι τὸ αὔταρκες, καὶ τοῖς νοῖς, καὶ ταῖς θείαις ψυχαῖς, καὶ τοῖς δαίμοσι καὶ ἡμῖν· καὶ τὰ μὲν ἄλλα κατὰ μέθεξιν αὐτάρκη, θεοῖς δὲ καθ' ὕπαρξιν· διὰ τοῦτο δὴ οὖν ἡ κοινὴ καὶ ἀδιάστροφος ἔννοια τὴν εὐδαιμονίαν τῇ αὐταρκείᾳ χαρακτηρίζει· παρ' ὧν γὰρ τὸ εὖ, παρὰ τούτων καὶ τὸ αὔταρκες. Καὶ ὁρᾷς δὴ πάλιν, ὅπως ἐνταῦθα καὶ ὁ Ἀλκιβιάδης κατορθοῖ μὲν κατὰ τὴν μείζονα, σφάλλεται δὲ κατὰ τὴν ἐλάττονα πρότασιν· συλλογίζεται γὰρ οὕτως· ἐγὼ διὰ σῶμα, καὶ γένος, καὶ φίλους, καὶ πλοῦτον εὐδαίμων, ἀνενδεής· ἐγώ φησιν ἀνενδεής· οὐκοῦν ὅτι μὲν ὁ εὐδαίμων ἀνενδεὴς ἀληθὲς, ὅτι δὲ αὐτὸς εὐδαίμων ψευδές· τὸ γοῦν συμπέρασμα ψευδὲς διὰ τὴν ἐλάττονα. Καὶ οὕτως εὑρήσεις καὶ τὸν φιλήδονον καὶ τὸν φιλοχρήματον διὰ ταύτην ψευδόμενον· ὁ μὲν γὰρ ἡδονὴν, ὁ δὲ χρήματα τίθεται τὸ ἀγαθόν· ὅτι δὲ πᾶν τὸ ἀγαθὸν ἐφετὸν, κοινόν ἐστιν αὐτοῖς καὶ, συνελόντι φάναι, τὰς μὲν μείζους τῶν προτάσεων ἕκαστον τιθέασιν ἀπὸ τῶν κοινῶν ἐννοιῶν καὶ τοῦ λόγου ταύτας προβάλλοντες, τὰς δὲ ἐλάττους ἀπὸ φαντασίας, ἀπὸ αἰσθήσεως, ἀπὸ τῶν ἀλόγων προφέρονται παθῶν· διὸ καὶ ταύταις μὲν διαφέρονται πρὸς ἀλλήλους, ἐκείναις δὲ ὁμοφρονοῦσι· τὰ μὲν γὰρ πάθη μερισμοῦ καὶ διαστάσεώς εἰσιν αἴτια ταῖς ψυχαῖς. Τιτανικὰ γάρ ἐστι καὶ διασπᾷ καὶ διαταράττει τὸν ἐν ἡμῖν νοῦν, ὁ δὲ λόγος κοινός

— *ποίας αἰτίας*] cett. melius *ποίας ἐννοίας*, excepto Cod. E. — *πρώτως*] B *πρότερον*. Pergit h. Fic. p. 216. med. sed mox in vocibus *καὶ τὸ αὔταρκες* desinit, et quinque, quae insequuntur, folia omittit. — *μέθεξιν αὐτάρκη*] B *μέθεξιν αὐ...* (seq. lac.) — *θεοῖς δὲ καθ'*] cett. *θεοὶ δὲ καθ'*. et Cod. E ex correctione additum habet ς. Sed Fic. quoque legit *θεοί*, quod probum videtur. — *συλλογίζεται*] in marg. cod. D *σῆ· τὸν συλλογισμόν*. — *πλ. εὐδαίμων*] cett. *εὐδαίμων· ὁ εὐδαίμων*, sed E ut noster. — *ἀνενδεής· ἐγώ φησιν ...... ἀληθὲς*] B *ἐνδεὴς ἀληθές*. ceteris omissis. Ceterum cf. Solon. ap. Herodot. I. 32 sub fin. — *ψευδὲς*] B *ἀψευδὲς*. — *συμπέρασμα*] D *σύμπαν*. — *εὑρήσεις*] D *εὑρήσει*. — *ψευδόμενον*] A *ψευδόμενος*. B et D non male *ψευδομένους*. Paulo post Cod. E *ἕκαστοι* pro *ἕκαστον*. — *διαταράττει*] cett. bene

ἐστι πᾶσι καὶ ἡ τοῦ λόγου προβολή, καὶ διὰ τοῦτο κοινὸς ὁ Ἑρμῆς, ἵνα δὴ καὶ ἠθικῶς αὐτοῦ ποιησώμεθα τὴν ἐξήγησιν.

[λδ.] „Οἴει γὰρ δὴ εἶναι πρῶτον κάλλιστός τε καὶ μέ„γιστος· καὶ τοῦτο μὲν δὴ παντὶ δῆλον ἰδεῖν, ὅτι οὐ „ψεύδη· ἔπειτα νεανικωτάτου γένους ἐν τῇ σαυτοῦ πόλει „οὔσῃ μεγίστῃ τῶν Ἑλληνίδων· καὶ ἐνταῦθα πρὸς πατρός „τέ σοι πλείστους φίλους καὶ ξυγγενεῖς εἶναι καὶ ἀρίστους, „οἵ, εἴ τι δέῃ, ὑπηρετοῖεν ἄν σοι· τούτων δὲ τοὺς πρὸς „μητρὸς οὐδὲν χείρους οὐδὲ ἐλάττους· ξυμπάντων δέ, ὧν „εἶπον, μείζω οἴει σοι δύναμιν ὑπάρχειν Περικλέα τὸν „Ξανθίππου, ὃν ὁ πατὴρ ἐπίτροπον κατέλειπε (κατέλιπε „edd.) σοί τε καὶ τῷ ἀδελφῷ· ὃς οὐ μόνον ἐν τῇδε τῇ „πόλει δύναται πράττειν, ὅ τι ἂν βούληται, ἀλλ' ἐν „πάσῃ τῇ Ἑλλάδι, καὶ τῶν βαρβάρων ἐν πολλοῖς καὶ „μεγάλοις γένεσι· προσθήσω δὲ καί, ὅτι τῶν πλουσίων· „δοκεῖς δέ μοι ἐπὶ τοῦτο ἥκιστα μεγαλοφρονεῖν.“ (p. 104. a. b. Bekk. p. 300.)

Ἡ διὰ τῶν καθ' ἕκαστα τοῦ νεανίσκου φαντασιῶν διέξοδος ἐναργέστερον μὲν τὸν φαινόμενον ἔπαινον ποιεῖ, πληκτικώτερον δὲ τὸν ἔλεγχον· ἓν γὰρ εἶναι δοκεῖ τὸ κυρίως ἀγαθόν,

σπαράττει. Quod mox sequitur proverbium κοινὸς ὁ Ἑρμῆς explicitum vide in Adagiorum collectione Erasmi et aliorum p. 448 sq. Frcof. 1556. fol. Adde Wolf. ad Platonis Sympos. IV. p. 14. Theodorus Metochita cap. 8. de Socrate ac Platone ἔστω γε κοινὸς ἀμφοῖν ὁ Ἑρμῆς κατὰ τὴν παροιμίαν.

Κάλλιστός] B κάλλιστόν. Apud Platonem est πρῶτον μὲν κ. — μέγιστος] B μέγιστον. — παντὶ δῆλον] B πάντα δῆλον. — ὅτι οὐ ψεύδη] A et B post haec habent. κτλ., omniaque omittunt usque ad μεγαλοφρονεῖν. Pro ψεύδη scrib. ψεύδῃ vel, ut ediderunt Astius et Bekkerus, ψεύδει. — πατρός τέ σοι] D πατρός γέ σοι. — πλείστους φίλους καὶ ξυγγενεῖς] D et E φίλ. κ. ξυγγ. πλείστους. ut est in Edd. — εἴ τι δέῃ] D εἴ τι δέοι (η superscr.) (sic). Δέοι est in Edd. δέοι habent etiam libri optimi Prisciani, qui hunc locum laudat lib. XVIII. cap. 14. 122. pag. 1156 Putsch. p. 160 Krehl. Alii tamen ibidem pro δέοι offerunt χρεία et in antecedentibus: γνωρίμους pro ξυγγενεῖς, βελτίστους pro ἀρίστους, denique λειτουργοῖεν pro ὑπηρετοῖεν vid. Krehlii Viri doctissimi annot. Vertit autem haec Platonica Priscianus sic: „Ex patre tibi amicos et agnatos plurimos esse et optimos, qui, si quid opus sit, ministrent tibi.“ Haec adponenda duxi non quo istis lectionibus multum tribuam, verum quod interprr. Priscianum silentio praetermiserunt. — In editionibus Platonis scribitur οὐδὲ χείρους. — ἐπὶ τοῦτο ἥκιστα] D ut Edd. ἐπὶ τούτῳ ἥκιστα.

ἅτε ἐκ τοῦ ἑνὸς ἐφῆκον καὶ ἴχνος τι φέρον τῆς οἰκείας πηγῆς· τὰ δὲ νῦν ὡς ἀγαθὰ προτεινόμενα συμπεφορημένα παραδίδοται καὶ πρὸς ἓν οὐκ ἀναφέρεται. Πῶς ἂν οὖν εἴη ταῦτα τῆς αὐταρκείας αἴτια, τὰ δεόμενα τοῦ συνάπτοντα (sic) αὐτὰ ἀλλήλοις καὶ ἑνοποιοῦντος ἑτέρου δή τινος; Πάλιν τὸ μὲν αὔταρκες ἐν αὐτῷ τῷ εὐδαίμονι θεωρεῖται· τὸ γὰρ ἑαυτῷ ἀρκεῖν, τουτέστι, τὸ μηδὲν εἰςδέχεσθαι τῶν ἐκτός· ὁ δὲ πρὸς πάντα μᾶλλον ἀναφαίνεται βλέπων, ἢ πρὸς ἑαυτόν. Πρὸς γὰρ τὸ σῶμα καὶ τὸ γένος καὶ τοὺς φίλους καὶ τὸν Περικλέα βλέπει, καὶ ἐν τούτοις ἔχει τὰς ἐλπίδας τῆς εὐδαιμονίας· αὐτὸς δὲ εἰς ἑαυτὸν οὐκ ἐπιστρέφει, οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ὁρᾷ, ὥςτε οὐδ' ἂν αὐτάρκης εἴη· οὐ γὰρ ἑαυτῷ ἀρκεῖται, ἀλλὰ ἄλλοις τοῖς ἔξω κειμένοις· καὶ μηδενὸς ἐνδεής. Καὶ ὁρᾷς πάλιν τοῦτο, παρ' ἣν αἰτίαν πέπονθεν ἡ τοῦ νεανίσκου ψυχή· διὰ γὰρ τὴν πρὸς τὸ σῶμα ῥοπὴν καὶ τὸ αὐτῆς ἀγαθὸν κρίνει σωματικῶς. Νοῦς μὲν γὰρ ἐν αὐτῷ καὶ παρ' ἑαυτοῦ τὸ ἀγαθὸν ἔχει τὸ νοερὸν, διότι καὶ τῷ ὄντι αὐτάρκης· ἅπαν δὲ σῶμα κομίζεται παρ' ἑτέρου τὸ ἀγαθὸν, ὥςπερ καὶ τὸ εἶναι. Καὶ γὰρ ἑτεροκίνητόν ἐστι κατὰ τὴν ἰδίαν φύσιν, καὶ ψυχὴ τοίνυν, εἰ μὲν νῷ ὁμοιουμένη ζητεῖ τὸ ἀγαθὸν ἐν αὐτῇ, καὶ

— τὰ δὲ νῦν] B τάδε νῦν. — παραδίδοται] B παραδίδωσι. — τοῦ συνάπτοντα] cett. (excepto Cod. E, ubi est συντάττοντος, non male) τοῦ συνάπτοντος. Et ita legendum. — τῶν ἐκτὸς] cett. τῶν ἐκτὸς. Merito. — πρὸς πάντα] B πρὸ πάντα. — βλέπει] B βλέπειν. — ἔξω κειμένοις] B ἐξωμένοις. — καὶ μηδενὸς] cett. καὶ ὁ μηδενὸς. Bene. — ἐνδεὴς] D addit: ἀναπέφανται πολυδεὴς, quod addendum videtur. — καὶ παρ' ἑαυτοῦ] B om. καὶ. Vocabulum praecedens αὐτῷ correctum est in Cod. E in αὑτῷ. Bene. — διότι καὶ] cett. διὸ καὶ. Bene. — παρ' ἑτέρου] B παρ' ἐκείνου. — Ἑτεροκίνητόν ἐστι (τὸ σῶμα) Vid. Platon. Phaedr. p. 245. p. 38 Bekk.: Ψυχὴ πᾶσα ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον· τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς κτλ. Quae expressit Cic. Tuscul. I. 23. Somn. Scip. 8. itemque Origenes περὶ ἀρχ. III. 1. Vol. I. p. 108 ed. Ruaei alii. Ad nostrum locum faciunt inprimis haec Simplicii in Epict. p. 228 Heins. p. 365 Schweigh. Τί οὖν ἐστι τὸ αὐτοκίνητον, ὅ φαμεν κινητικὸν ὑπάρχον τῶν σωμάτων ἑτεροκινήτων ὄντων, ἀρχῆς ἔχειν πρὸς αὐτὰ λόγον· ἢ τοῦτό ἐστι τὸ ἔνδοθεν κινοῦν. Noster in Platon. Theolog. cap. XIII. p. 35 infr. Σῶμα μὲν ἄρα καὶ πᾶν τὸ αἰσθητὸν τοῦτο τῶν ἑτεροκινήτων ἐστί· ψυχὴ δὲ αὐτοκίνητος κτλ. cf. Plotin. IV. 7. p. 459 sqq. coll. II. 2. p. 108 sq. — ἰδίαν φύσιν] D οἰκείαν φύσιν. — εἰ μὲν νῷ] D ἡ μὲν νῷ. Bene. — ἐν αὐτῇ] A D et E ἐν ἑαυτῇ. Recte.

ἔστιν ὡς ἀληθῶς αὐτάρκης· εἰ δὲ σωματοειδής, τὸ τῶν σωμάτων ὑπομένει πάθος, καὶ τὸ ἀγαθὸν ἐν ἑτέροις οἴεται κεῖσθαι τὸ ἑαυτῆς, ἢ χρήμασιν, ἢ φίλοις, ἢ τιμαῖς, ἢ ἄλλοις τισὶ τοιούτοις· ὥςτε φάντασμα μὲν αὐταρκείας ἔχειν· τὸ γὰρ μὴ ἑαυτῷ ἀρκούμενον, ἀλλ' ἑτέρων ἐξηρτημένον καὶ τούτων παντοδαπῶν καὶ ἀστάτων, οὐκ ἂν εἴη τῆς αὐτάρκου φύσεως.

[λε.] Ἔτι τοίνυν καὶ τῶν ῥημάτων ἕκαστον θεασώμεθα· τὸ μὲν δὴ οἴει πρόςκειται ἐν τοῖς κειμένοις ῥήμασιν ἱκανὸς ἔλεγχος τῆς ψευδοῦς ὑπολήψεως. Τί γὰρ ἄλλο διὰ τῆς προςθήκης ἐνδείκνυται ταύτης, ἢ ὅτι οἴει μέν, οὐ μέντοι ἔχει ταῦτα οὕτως; καὶ πρόςεστι καὶ τὸ ἀλαζονικὸν καὶ τὸ φορτικὸν αὐτὸν εἶναι τὸν κήρυκα τῆς εὐδαιμονίας, αὐτὸν τὸν κηρυττόμενον, αὐτὸν τὸν ἐπαινέτην, αὐτὸν τὸν ἐπαινούμενον· τὸ δὲ αὐτὸ κάλλος ἐννοεῖν τοῦ σώματος καὶ τὸ μέγεθος, ὡς εἰς αὐτάρκειαν συντελοῦντα, πῶς οὐκ ἔμαθες; οὐ γάρ ἐστιν ἐν αὐτῷ ταῦτα, ἀλλ' ἐν τοῖς αὐτοῦ. Πῶς οὖν, τῆς αὐταρκείας ἐν αὐτῷ οὔσης, τὰ μὴ ὄντα ἐν αὐτῷ συμπληροῖ τὴν αὐτάρκειαν ἐν τοῖς αὐτοῦ; ὅμοιον γάρ, ὥςπερ εἴ τι τῆς σκιᾶς τὰ παθήματα συντελεῖν ἔλεγε πρὸς τὸ τοῦ σώματος ἀγαθόν, οὗ ἐστιν ἡ σκιά. Καὶ μὲν δὴ καὶ τῷ παντὶ δῆλον εἶναι ἰδεῖν τὸ λεγόμενον ἀγαθόν, εὐκαταφρόνητον αὐτὸ παντελῶς ἀπέφηνε. Τὸ γὰρ ἀληθινὸν ἀγαθὸν ἄγνωστόν ἐστι τοῖς πολλοῖς καὶ τοῖς ἐπιστήμοσι μόνοις καταφανές, καὶ διανοήσεως ληπτόν, ἀλλ' οὐκ αἰσθήσεως· πᾶν γὰρ τὸ αἰσθητὸν ἐν κινήσει τὴν ὑπόστασιν ἔλαχε, στοιχεῖον δὲ τοῦ ἀγαθοῦ πρὸς τοῖς ἄλλοις ἅπασι καὶ τὸ δυςκίνητόν ἐστι καὶ δυςμετάβλητον. Πάλιν οὐκ εἶπεν, ὅτι ἀληθεύεις κάλλιστος εἶναι καὶ μέγιστος οἰό-

— *εἰ δὲ σωματοειδὴς*] cett. bene *ἡ δὲ σωματ.* excepto Cod. E. — *οἴεται κεῖσθαι*] B *οἴεσθαι*, sed in marg. corr. — *αὐταρκείας ἔχειν*] cett. add. *αὐτὴν δὲ μὴ ἔχειν*, quae abesse nequeunt. — *ἀλλ' ἑτέρων*] B *ἀλλ' ἕτερον* (sic). Paulo inferius scrib. *αὐτάρκους*.

*Ἐν τοῖς κειμένοις*] D *ἐν τοῖς ἐκκειμένοις*. — *ἐν τοῖς αὐτοῦ*] B *ἐν τοῖς αὐτοῖς*. — *ἐν αὐτῷ*] B *ἐν αὐτοῖς*. — *αὐτάρκειαν ἐν τοῖς αὐτοῦ*] D om. *ἐν τοῖς αὐτοῦ*. — *εἴ τι τῆς σκιᾶς*] D bene *εἴ τις τῆς σκιᾶς*. — *καὶ τῷ παντὶ*] A et D *καὶ τὸ παντί*. — *παντελῶς*] D *πάντως*. — *ἀπέφηνε*] A et B *ἀπέφηνεν*. — *διανοήσεως*] A E et D *διὰ νοήσεως*. Bene. — *ἄλλοις ἅπασι*] B *ἄλλοις πᾶσι*. — *τὸ δυςκίνητον*] B om. *τό*. — *καὶ μέγιστος*] B om. *καί*.

μενος, ἀλλ᾽ ὅτι οὐ ψευδῆ· τὸ γὰρ ἀληθεύειν μάλιστα προςήκει τοῖς ἀΰλοις γνωστοῖς, τὸ δὲ μὴ ψεύδεσθαι ἐπὶ τῶν αἰσθητῶν· καὶ διαφερόντως, ὅταν τὰ εἴδη κρατεῖ τῆς ὕλης, εἴπερ ἡ ὕλη τὸ ἀληθινόν ἐστι ψεῦδος, καὶ μὴν καὶ τὸ ἄρχεσθαι τῶν φαινομένων ἐγκωμίων ἀπὸ τοῦ σώματος, ἱκανὸς ἔλεγχός ἐστι τῆς ἀμαθείας τοῦ μέγα διὰ ταῦτα σωφρονοῦντος. Τὸ γὰρ ἔσχατον πρῶτον τίθεται καὶ τὸ ἑπόμενον ὡς ἡγούμενον παραλαμβάνει· καὶ ἅμα δῆλον ἐκ τούτων, ὅτι ἡ πρώτη τῆς οἰήσεως αἰτία καὶ τοῦ τύφου καὶ τῆς ἀπάτης ταῖς ψυχαῖς τὸ σῶμά ἐστι καὶ ἡ ὕλη, καὶ ἡ περὶ αὐτὴν εἰδωλικὴ σκιαγραφία τῶν εἰδῶν· ἐπιτρέχομεν γὰρ αὐτοῖς ὡς ἀληθέσι, καὶ θαυμάζομεν αὐτὰ ὡς ὄντα, καὶ μέγα φρονοῦμεν ἐπ᾽ αὐτοῖς, ὡς τοῖς εἰλικρινέσιν ἀγαθοῖς ἀπατώμενοι ὑπ᾽ αὐτῶν. Καὶ ἡ πρώτη τοίνυν κάθαρσις ἀπὸ τούτων γίνεται τῶν σωματικῶς εἰδώλων, πρὸς ἃ καὶ ἐνδεσμεῖται πρώτως ἡ ψυχὴ κατιοῦσα εἰς τὴν γένεσιν καὶ τὴν θνητὴν φύσιν· ἔτι δὴ οὖν καὶ ἡ εὐγένεια, καὶ ἡ πρὸς πατρὸς καὶ ἡ πρὸς μητρός, καὶ ἡ περιβολὴ τῶν φίλων καὶ τῶν συγγενῶν οὐκ ἔστιν αὐτῆς ἀγαθὰ τῆς ψυχῆς, ἀλλὰ περὶ τὸν φαινόμενον ἄνθρωπον ὁρᾶται καὶ πολλοῖς ὑπάρχει καὶ τῶν μὴ σπουδαίων κατὰ ἦθος· οὐδὲν δέ ἐστιν ὄντως ἀγαθόν, ὃ κοινόν ἐστι προς τοὺς πολλούς, ἀλλ᾽ ὃ μόνον ἐξαίρετόν ἐστι τῶν σπουδαίων. Οὔπω τοίνυν οὐδὲ ἐν τούτοις ὁ Ἀλκιβιάδης εὐδαίμων, πρὸς τῷ καὶ ἄτοπον εἶναι τὸ τὸν εὐδαίμονα τοσούτων ἐν χρείᾳ καθεστάναι φίλων τε καὶ συγγενῶν, καὶ ἐν ταῖς ἀλλοτρίαις σχέσεσι καὶ ζωαῖς ὑφε-

— ἀΰλοις] B ἄλλοις. — κρατεῖ τῆς ὕλης] A κρατῇ τῆς ὕλης. Recte. — ἐστι ψεῦδος] In marg. codic. Leidensis et in contextu Cod. E leguntur haec: καὶ τὸ ὄντως μὴ ὂν, ὡς οἱ ἐξηγηταὶ τοῦ Πλάτωνος ἐνθέως εἰώθασι λέγειν. quae in cett. codd. post ἐστι ψεῦδος leguntur hoc ordine: καὶ τὸ ὄντως μὴ ὂν, ὡς εἰώθασι λέγειν οἱ τοῦ Πλάτωνος ἐνθέως ἐξηγηταί. Et addenda sunt sane illa. — ἀμαθειας] cett. ἀμαθίας, ut supra. — σωφρονοῦντος] cett. φρονοῦντος, Cod. E habet quidem σωφρ. sed punctulis merito notata est syllaba σ̄ω̄. Vide quae mox sequuntur: καὶ μέγα φρονοῦμεν. — ἀπατώμενοι ὑπ᾽ αὐτῶν] In marg. Cod. D leguntur haec: τίς ἡ αἰτία τοῦ τοὺς ἀνθρώπους ἀπατᾶσθαι καὶ τῶν προςκειμένων ἐφίεσθαι; quod glossatoris est. — καὶ ἡ εὐγένεια] D om. καί. — κατὰ ἦθος] B et D κατὰ τὸ ἦθος. — ὄντως] B ὄντος. — πρὸς τῷ] B πρὸ.... (sic). — τὸ τὸν εὐδαίμονα] D om. τό. B τῶν τὸν εὐδαίμονα. — φίλων τε καὶ] cett. om. τε. — — καὶ ἐν ταῖς] B καὶ ὡς ταῖς.

στῶσαν ἔχειν τὴν εὐδαιμονίαν. Εἰ δὲ ὑπηρέτας οἴεται τοὺς φίλους ἔχειν, ὧν δεῖται, πάντως καὶ ὁμοίως ἐστὶν ἐκείνων ὑπηρέτης· τοῖς γὰρ φίλοις ὁ αὐτός ἐστι πρὸς ἀλλήλους λόγος· οὐκ ἄρα εὐδαίμων ἐστὶν ὑπηρέτης ὢν τῶν ἄλλων. Ἔτι δὲ ἡ φιλία τῶν ἀγαθῶν ἐστιν ἀνθρώπων καὶ σπουδαίων, ἐν δὲ μοχθηροῖς τὸ ἦθος οὐκ ἀναφέρεται· τὸ δὲ αἴτιον, ὅτι ἡ φιλία καὶ τὸ ἀγαθὸν ἀφ' ἑνὸς ἥκει καὶ ἐμιᾶς (sic) αἰτίας· ὅθεν γὰρ ἑκάστῳ τῶν ὄντων ὑπάρχει τὸ ἀγαθὸν καὶ ἐκεῖθεν καὶ ἡ ἕνωσις, καὶ ὅθεν ἡ ἕνωσις, ἐκεῖθεν καὶ τὸ ἀγαθόν· ὥςτε, εἰ μὲν ἀγαθός ἐστιν ὁ Ἀλκιβιάδης, δύναιτο ἂν καὶ φιλίας ἄλλοις τοῖς ὁμοίοις κοινωνεῖν, εἰ δὲ μή ἐστιν ἀγαθὸς, ἄμοιρός ἐστι φιλίας ἀληθινῆς. Πρὸς δὴ τούτοις ἡ τοῦ Περικλέους δύναμις καὶ ἐπιτροπία τῆς μὲν αὐταρκείας αὐτὸν ἀφαιρεῖται καὶ τῆς ἀνενδεοῦς ζωῆς, ἐξάπτει δὲ αὐτοῦ τὰ πράγματα τῆς ἄλλου δυναστείας· τοῦτο δὲ οὐκ ἔστιν εὐδαιμονικὸν, οὐδὲ μακάριον. Εἰ γὰρ δόξειε τῷ Περικλεῖ τῆς περὶ αὐτὸν ἀποστῆναι προνοίας, ἀφῄρηται τῆς εὐδαιμονίας ὁ Ἀλκιβιάδης· ἀλλὰ γὰρ οὐκ ἔστιν ἡ ἀληθὴς εὐδαιμονία ἡ τὰς ἀρχὰς ἐν τοῖς ἐκτὸς ἡμῖν ἔχουσα κειμένας, ἀλλ' ἐν ἡμῖν· ὥςτε καὶ εἰ τὰ μάλιστα μεγάλα δύναται Περικλῆς ἐν Ἕλλησι καὶ βαρβάροις, οὔπω διὰ τοῦτο εὐδαίμων ἐστὶν Ἀλκιβιάδης· εἰ δὲ μὴ εὐδαίμων ἐκεῖνος ὁ τοσούτῳ δυνάμενος, πῶς ἂν ἄλλῳ γίγνοιτο τῆς εὐδαιμονίας αἴτιος;

— *καὶ ὁμοίως*] cett. *καὶ αὐτὸς ὁμοίως*. Bene. — *ἀναφέρεται*] A et B *ἐκφαίνεται*. E *ἐκφέρεται*. D *ἐμφαίνεται*. Pergit Cod. E *τὸ δ' αἴτιον*. — *ὅτι ἡ φιλία*] cett. *ὅτι καὶ ἡ φιλία*, excepto E, qui omittit *καὶ* cum nostro. — *καὶ ἐμιᾶς*] cett. *καὶ μιᾶς*. Et ita scribendum. — *καὶ ἐκεῖθεν*] D om. *καὶ*. — *φιλίας ἀληθινῆς*] cett. *καὶ φιλ. ἀληθ*, excepto E, qui facit cum nostro. Sed placet additum *καὶ*. — *ἐπιτροπία*] D *ἡ ἐπιτροπία*. — Ceterum huc pertinet illud Persii Sat. IV. 3: „Dic hoc magni pupille Pericli." docente Politiano Miscellan. cap. 4, qui ejus satirae haud paucas sententias ex hoc dialogo ductas commonstrat. — *τῆς ἄλλου δυναστ.*] B *τῆς ἄλλῆς* (sic) *δυναστ*. — *εἰ γὰρ δόξειε*] D *οὐ γὰρ δόξειε*. — *ἀλλὰ γὰρ οὐκ*] cett. *ἀλλ' οὐ γὰρ οὐκ*, excepto Cod. E. — *ἡ τὰς ἀρχὰς*] cett. om. *ἡ* excepto E. In seqq. legendum *ἐκτός*, pro *ἐκτὸς*, quod est etiam in Cod. E. — *εἰ τὰ μάλιστα*] D *εἰ* om. — *εἰ δὲ μὴ*] D *εἰ δὲ μὴ δὲ*. — *εὐδαίμων ἐκεῖνος*] cett. *ἐκεῖνος εὐδαίμων*, excepto E, qui nostrum verborum ordinem exhibet. — *τοσούτῳ δυνάμενος*] cett. bene *τοσοῦτον δυνάμενος*, praeter E, qui item nostro adstipulatur; perperam.

[λϛ.] Λοιπὸν δὴ τὸ περὶ τῶν χρημάτων, ὅπερ ὡς ἂν προςθήκης μοίρᾳ παρέλαβεν ὁ Σωκράτης. Σφόδρα γάρ ἐστι ψυχῶν εὐτελῶν καὶ ἀγεννῶν ἐκ τοῦ πλούτου καὶ τῆς περιουσίας κρίνειν τὴν εὐδαιμονίαν. Διὸ καὶ αἱ τῶν ψυχῶν ταπεινότεραι καὶ εὐηκώτεραι τοῖς πάθεσιν ἁλίσκονται τοῖς τῆς φιλοχρηματίας. Εἴωθε δὲ ὁ Σωκράτης καὶ ὅσα βούλεται ζηλοῦν τοὺς ἀφ' ἑαυτοῦ τελειουμένους, ταῦτα ὡς ἤδη προειληφόσιν αὐτοῖς τὰ πλεονεκτήματα μαρτυρεῖν, προςκαλούμενος αὐτοὺς εἰς τὸ μὴ χείρους ὀφθῆναι τῆς παρ' αὐτῷ περὶ αὐτῶν ὑπολήψεως. Διὸ δὴ καὶ ἐν τούτοις τῷ Ἀλκιβιάδῃ μεμαρτύρηκεν, ὡς ἥκιστα μεγάλα φρονοῦντι διὰ χρήματα. Τοῦτο δὲ καὶ ἐκ τῆς ἱστορίας δῆλον. Φασὶ γὰρ αὐτὸν ἔτι παῖδα ὄντα καὶ πυθόμενον, ὅτι Ἀθηναῖοι περὶ πόρου βουλεύοντα χρημάτων ἐπιδοῦναι τῇ πολιτείᾳ τάλαντα δέκα· καὶ δὴ καὶ τῶν ἐραστῶν τινι τὸν ἀγρὸν ἀποδομένῳ δραχμῶν ἑκατὸν, παρασκευάσαι τάλαντα δέκα δοθῆναι παρὰ τῶν τὰ δημόσια τέλη μισθωσαμένων· τοῦτό γε μὴν τὸ καταφρονητικὸν τῶν χρημάτων τοῖς εὖ πεφυκόσιν ἔοικεν ὁ Πλάτων μάλιστα μαρτυρεῖν. Καὶ γὰρ ἐν Θεαιτήτῳ πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι, καὶ τοῦτο τῷ νεανίσκῳ μεμαρτύρηκεν· ἐπεὶ καὶ ἐν Πολιτείᾳ στοιχεῖον ἔφατο καὶ τοῦτο τῆς φιλοσόφου φύσεως εἶναι τὸ τῶν χρημά-

*ὡς ἂν*] cett. *ὡς ἐν*. — *ἀγεννῶν*] B *ἀγ....ῶν* (sic). — *ἐκ τοῦ πλούτου*] B *αὐτοῦ πλ.* — *εὐηκώτεραι*] cett. *ἐνυλότεραι*, praeter Cod. E, qui item exhibet *εὐηκώτεραι*, quae vox est nihili. Scribendum videtur *εὐηκοώτεραι*, quo sensu est ap. Theophrast. de caus. plant. I. 19. *εὐηκοώτατος εἰς μεταβολήν*. Aristot. Ethic. I, 13. circa finem: *πειθαρχεῖ γοῦν τῷ λόγῳ τὸ τοῦ ἐγκρατοῦς. ἔτι δὲ ἴσως εὐηκοώτερόν ἐστι τὸ τοῦ σώφρονος καὶ ἀνδρείου*. Adverbio utitur Polyb. XXVII. 6. 7. *εὐηκόως διακεῖσθαι πρὸς τὸ λεγόμενον*. Omnino vid. Interprr. ad Hesych. Vol. I p. 1501. not. 2. et 7. Alb. et Biel. Thes. V. T. I. p. 656. — *τοῖς τῆς φιλοχρημ.*] D om. *τοῖς*. — *προςκαλούμενος*] cett. bene *προκαλουμένος*, excepto E. — *διὰ χρήματα*] A *διὰ χρῆμα*. B *διαχρῆμα*. D *διὰ τοῦ ...* (sic). In Cod. E erat *διὰ χρῆμα*, quod correxit alia manus in *διὰ χρήματα*. Aliam tamen quodammodo famam accepisse videtur Aelianus vid. V. H. III. 28. — *πολιτείᾳ*] B et D *πόλει*. Primum legendum *βουλεύονται* pro *βουλεύοντα* ex Cod. E. Tum non displicet *πόλει*. Quae sequuntur vide apud Plutarch. in Alcib. c. V. — *δέκα*] D *διακ...* (sic). — *τοῦτό γε μὴν*] D *τοῦτο γοῦν*. Mox E a prima manu *Θαιετήτῳ*, correctum ab altera in justam vocabuli formam. Locus in Theaeteto est p. 144. d. Bip. T. II. Bekk. II, 1. p. 180. — *ἐν Πολιτείᾳ*. Vid. de Republ. VI. 2. VI. 6. p. 485 sq. 491. p. 169. 175 Ast. p. 277 seq. 287. Bekk.

των ὑπεροπτικόν· ἡ γὰρ πρὸς τὴν ἀρετὴν ἐπιτηδειότης ἀνθέστηκε πρὸς τὴν περὶ τὰ χρήματα πτοίαν. Ὅπου γὰρ καὶ τοῦ σώματος ὑπερορᾶν δεῖ τὸν τῆς ἀρετῆς γνησίως ἀντεχόμενον, πῶς οὐ πολλῷ μᾶλλον τῶν τοῦ σώματος ὑπερφρονεῖν δεῖ τὸν τῶν ἀγαθῶν τῆς ψυχῆς ἐξηρημένον;

[λζ.] Ταῦτα μὲν οὖν ἐν τοῖς περὶ τῆς τῶν ἐλέγχων ἐγκωμίοις τούτοις συμμίξεως ἡμῖν εἰρήσθω. Πάλιν δὲ ἄνωθεν ἀρξάμενοι λέγομεν, ἀπὸ ποίας ἐννοίας ἐπὶ τούτοις αἱ ψυχαὶ μέγα φρονοῦσι σωμάτων κάλλεσι καὶ μεγέθεσι, καὶ εὐγενείᾳ, καὶ φιλίᾳ, καὶ δυναστείᾳ. Εἴδωλα γάρ ἐστι ταῦτα τῶν ἀληθινῶν ἀγαθῶν ταῖς ψυχαῖς προτεινόμενα, ὧν αἱ μὲν εὔφρονες ὑπερορῶσιν, αἱ δὲ ἀνόητοι λιπαρῶς ἀντέχονται. Λέγομεν τοίνυν, ὅτι τὸ κάλλος καὶ τὸ μέγεθος ἐν ταῖς πρωτίσταις ἀνεφάνη τάξεσι τῶν ἀγαθῶν, τὸ μὲν ἐραστὰ πάντα τὰ θεῖα ποιοῦν καὶ ἐφετὰ τοῖς δευτέροις, τὸ δὲ ὑπερέχοντα τῶν ὅλων καὶ ἐξῃρημένα τῶν οἰκείων γεννημάτων, καὶ τὸ μὲν τῇ πείρᾳ συγγενὲς ὄν, ὡς εἶδος εἰδῶν καὶ ὡς ἐπανθοῦν ἅπασι τοῖς νοητοῖς εἴδεσι, τῷ δὲ τῷ ἀπείρῳ καὶ τὸ ἀπερίληπτον καὶ τὸ πάντα περιλαμβάνον καὶ κρατητικὸν τῶν πάντων. Διὸ δὴ καὶ ἡ Διοτίμα τῷ μὲν κάλλει τὴν πρωτίστην δέδωκεν ἀξίαν, τῷ δὲ μεγέθει τὴν δευτέραν· τὸ μὲν γὰρ ἐραστὸν τὸ καλόν ἐστιν· ὁ δὲ Ἔρως δαίμων μέγας ὁ τοῦ κάλλους πρῶτος

— πρὸς τὴν ἀρετὴν] B πρὸς τὴν δ.... (sic). — πτοίαν] D σπουδ:: (sic). vid. supra ad cap. 14. — ἐξηρημένον] cett. optime ἐξηρτημένον, excepto Cod E.

Ἐν τοῖς περὶ τῆς τῶν ἐλέγχων] cett. bene. περὶ τῆς. τ. ἐλ. ἐν τοῖς, sed E ut noster; perperam. — ἐγκωμίοις] D ἐγκοσμίοις. — λέγομεν] cett. λέγωμεν, excepto E. Sed praestat conjunctivus. — καὶ μεγέθεσι] B om. καὶ. — δυναστεία] cett. δυναστείαις. Bene. — ἐστι ταῦτα] B ἐς ταῦτα. — λιπαρῶς ἀντέχονται, i. e. assidue amplectuntur s. pressule continenterque adhaerescunt, a voce λιπαρὸς aut potius λιπαρής. De illius formae significationibus vid. Wyttenb. ad Julian. Or. I pag. 49. p. 144 seq. ed. Lips. de hujus vi ac potestate. Solan. et Reiz. ad Lucian. Vol. IV. p. 381 et p. 470 Bip. Abr. Gronov. ad Herodot. p. 731. Schweigh. Indic. Polyb. in λιπαρεῖν. Irmisch. Ind. Herodian. in λιπαρεῖν et Schaefer. ad Longi Pastor. p. 385. — τάξεσι τῶν ἀγαθῶν] cett τάξεσι τῶν θεῶν, excepto E. — τὸ δὲ ὑπερέχοντα] B τὰ δὲ ὑπερέχ. — τῇ πείρᾳ] cett. τῷ πείρατι, E τῷ πέρατι. Bene. — εἶδος εἰδῶν] D εἴδη συνιδὼν (sic). — ἐπανθοῦν. De hac locutione et similibus cf. annot. ad Plotin. de pulcr. p. 232. — καὶ τὸ ἀπερίληπτον] B κατὰ τὸ ἀπερίλ.

ἐξῃρημένος. Ἄνωθεν δ' οὖν ἀπὸ τῶν πρωτίστων ἀρχῶν πρόεισι διὰ πάντων τῶν μέσων διακόσμων ἄχρι τοῦ ἐμφανοῦς κόσμου, καὶ τοῦτον ἀποτελοῦντα μέγιστον τῶν αἰσθητῶν θεῶν καὶ κάλλιστον, ὡς ὁ Τίμαιος λέγει. Ταῦτα δὴ οὖν αἱ ψυχαὶ κατὰ τὰς αὐτοφυεῖς ἐννοίας ἐν τοῖς θείοις διαλάμπει προειληφυῖαι, καὶ τὸ ἐν τοῖς θνητοῖς δὴ σώμασι κάλλος καὶ μέγεθος τεθήπασιν, ὡς ἔμφασιν ἐκείνων ἔχοντα· διὰ τὴν ἄγνοιαν ἐκείνων τῶν ἀληθινῶν ἐν τούτοις καταμένουσι, καὶ ταῦτα μόνον θαυμάζουσι. Τὸ δὴ δεύτερον ἡ εὐγένεια πρώτως ἐστὶν ἐν αὐτοῖς τοῖς θεοῖς· τὰ γὰρ ἀπὸ τῶν ὑψηλοτέρων αἰτίων ὑφιστάμενα κατὰ γένος ὑπερέχει τῶν ἐν τοῖς δευτέροις ἀπογεννωμένων. Δηλοῖ που τοῦτο καὶ Ὅμηρος, τὴν Ἥραν λέγουσαν πρὸς τὸν Δία ποιῶν.

. . . γένος δέ μοι ἔνθεν, ὅθεν σοί·
Καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομῆτις.

Ὁρᾷς γὰρ, ὅτι τῆς τοῦ γένους ἀξίας ἀντιλαμβάνεται, καὶ διὰ ταύτην ἴσην ἔχει τὴν ἐπικράτειαν ἐν τῷ παντὶ βούλεται τῷ Διί. Κατὰ δὴ ταύτην τὴν ἐπιβολὴν φαίης ἂν καὶ ἐν ἡμῖν τὴν λογικὴν ψυχὴν εὐγενεστέραν εἶναι τῆς ἀλόγου, διότι τὴν μὲν δημιουργὸς πρῶτος ὑπέστησε, τὴν δὲ οἱ νέοι θεοὶ παρήγαγον. Τῆς δὴ τοιαύτης εὐγενείας εἴδωλόν ἐστιν ἡ κατὰ φυσικὴν διαδοχὴν, εἰς ἣν αἱ ψυχαὶ μόνον ὁρῶσαι φρονήματος ἐμπίπλανται διακένου, μηδὲ αὐτὸ τοῦτο γινώσκουσαι τὸ ἐν Θεαιτήτῳ ῥηθὲν, ὅτι θαυμαστὸν οὐδὲν ἐν τῇ ἀπείρῳ γενέσει τὸν ἐπὶ καταλόγῳ προγόνων πέντε καὶ εἴκοσι σεμνυνομένων ἀπὸ

— *ἐξῃρημένος*] cett. *ἐξηρτημένος*. Optime. — Locum in Platonis Symposio saepe laudavimus. Timaei Platonici locum post haec significat p. 29. a. Bip. T. IX. Bekk. III, 2. p. 24. — *διαλάμπει*] D *διαλάμπειν*, quod non displicet, quamquam non plane satisfacit. — *καὶ τὸ ἐν τοῖς*] B om. *τὸ*. — *διὰ τὴν ἄγνοιαν*] D *διὰ δὲ τὴν ἄγν.* — *ταῦτα μόνον*] D *ταῦτα μόνα*. — *λέγουσαν*] A et B *λέγουσα*. — *ἀγκυλομῆτις*] B *ἀγκηλομῆτις*. Versus Homeri sunt Il. *δ*, 58 sq. leg. *ἀγκυλομήτης*. — *ἴσην ἔχει*] D *ἴσην ἔχειν*. Bene. Pergit Ficini versio inde a verbis *τὴν λογικὴν ψυχήν*. p. 216. — *δημιουργὸς πρῶτος*] cett *ὁ δημιουργὸς ὁ πρῶτος*, sed E *ὁ δημιουργὸς πρῶτος*. — *ψυχαὶ μόνον*] B et D *ψυχαὶ μόνην*. — *ὁρῶσαι*] B *ὁρώσαις*. — *μηδὲ αὐτὸ*] B *μηδὲ αὐτόν*. — *τὸν ἐπὶ καταλόγῳ*] B *τῶν ἐπὶ κατ' ἄλλο λόγῳ*. D *τῶ ἐπὶ καταλόγῳ*. Tu vid. Platon. Theaet. pag. 175. pag. 394 seq. Heindorf. pag. 245 Bekker. ubi verba ita disposita sunt — *ἐπὶ πέντε καὶ εἴκοσι καταλόγῳ προγόνων σεμν.* — *σεμνυνομένων*] D *σεμνυνόμενον*. Bene;

δούλων τῶν ἀνωτέρω γεγονέναι. Πολλὰς γὰρ τοιαύτας μεταβολὰς ἐπιδέχεται· ἡ δὲ ἑστῶσα καὶ ἀΐδιος εὐγένεια τῶν ψυχῶν ἀπὸ τῶν θεῶν ἤρτηται, περὶ οὓς ἐσπάρησαν, καὶ τῶν θείων δυνάμεων, ἐφ' ἃς ἐτάχθησαν· εὐγενέστεραι γὰρ αἱ τῶν θεῶν ὑψηλοτέρων ὀπαδοὶ καὶ αἱ δυνάμεις μειζόνων ἐξημμέναι κατὰ τὴν ἐν τῷ παντὶ διακλήρωσιν. Τὸ δὲ αὐτὸ λέγω καὶ περὶ τῶν πόλεων· ἄνωθεν γὰρ ἡ κατὰ κλήρους διαφορὰ διήκει καὶ μέχρι τῶν ψυχῶν· καί φαμεν τοὺς μὲν ἐμπυρίους εἶναι θεοὺς, τοὺς δὲ αἰθερίους, τοὺς δὲ χθονίους· καὶ τῶν ψυχῶν τὰς μὲν τῆς ἡλιακῆς εἶναι σφαίρας, τὰς δὲ τῆς ἑρμαϊκῆς, τὰς δὲ τῆς σεληνιακῆς. Καὶ ἔστιν ἡ τοιαύτη κατὰ τόπους διακλήρωσις τῶν ψυχῶν ὄντως ἀξία φρονήματος· ἡ δὲ εἰς τὰς παρ' ἡμῖν πόλεις καὶ τοὺς ἐν γῇ τόπους ἀποβλέπουσα διάκρισις ἄτοπός ἐστι καὶ χαυνότητος αἰτία ταῖς ψυχαῖς. Πάλιν δὴ οὖν ἡ ἀληθινὴ φιλία καὶ τῶν θεῶν ἐστιν αὐτῶν καὶ τῶν κρειττόνων ἡμῶν γενῶν· ἥκει δὲ καὶ εἰς τὰς ψυχὰς τὰς ἀγαθάς· ἡ δὲ φαινομένη φιλία κατὰ πάθος συνισταμένη φάντασμα φέρεται τῆς ἀληθοῦς, ὃ τὰς ψυχὰς παρακρούεται καὶ μέγα φρονεῖν ἐπ' αὐτῷ παρασκευάζει. Δέον δὲ γιγνώσκειν, ὅτι σεμνὸν μὲν καὶ τίμιον ἡ φιλία ἐστί· δεῖται δὲ ζωῆς θεοπρεποῦς καὶ νοερᾶς, ἐπεὶ καὶ τὴν πρώτην ἐν τοῖς θεοῖς ὑπέστη καὶ τῇ νοερᾷ ζωῇ καὶ τῷ κατὰ τὸν Ἐμπεδοκλέα νοητῷ θεῷ· σφαῖρον δὲ αὐτὸν ἐκεῖνος εἴωθεν ἀποκαλεῖν. Τὸ τοίνυν τῆς τοῦ Περικλέους ἐπιτροπίας πόθεν ἐξαπατᾷ τὸν νεανίσκον;

et ita fuit etiam in Cod. E a prima manu. Eadem lectio in textu Platonis est. — *ἀπὸ δούλων*] B *ἀποδούλων*. — *τοιαύτας μεταβολὰς*] D *τὰ τοιαῦτα πάντα μεταβολάς*. — *ἀπὸ τῶν θεῶν*] B *ὑπὸ τῶν θεῶν*. — *ἐφ' ἃς ἐτάχθησαν*] cett. *ὑφ' ἃς ἐτάχθ*. Bene. Et legit ita Fic. — *αἱ δυνάμεις*] B om. *αἱ*. — *αἰθερίους*] cett. cum Ficino add. *τοὺς δὲ οὐρανίους*, excepto E. — *σεληνιακῆς*] A *σηλήνης*. — *ὄντως ἀξία*] B *οὕτως ἀξίας*. Quae mox sequuntur inde a *πάλιν δὴ οὖν* usque ad *πόθεν δὴ ἄλλοθεν* omisit Fic. — *τῆς ἀληθοῦς*] D *τῆς ἀληθείας*. — *ὅτι σεμνὸν*] B *ὅτῳ σεμνόν*. — *Ἐμπεδοκλέα*] B *Ἐμπεδοκλέα* with *ός* written above (sic). — et in marg. Cod. D: *ὅτι τὸν θεὸν σφαῖρον ὁ Ἐμπεδοκλῆς ὠνόμαζε*. Empedocl. Carmm. I, 23 sq.

*ἀλλ' ὅγε παντόθεν ἶσος ἔφυ καὶ πάμπαν ἀπείρων*
*σφαῖρος, κυκλοτερὴς, κώνῃ περιήγεϊ γαίων.*

cf. Sturz. ad Empedocl. p. 277—292, inprimis vero ad hosce versus p. 543—548. — *ἐπιτροπίας*] A *ἐπιτροπείας*.

πόθεν δὲ ἄλλοθεν, ἢ τὴν τῶν ἀγαθῶν δαιμόνων τῶν κατ' οὐσίαν προεστηκότων ἡμῶν διαφορὰν ὀνειροπολεῖ καὶ τὰς δυνάμεις, ἃς ἐν τῷ κόσμῳ κεκλήρωται; καὶ ὅτι τῶν ψυχῶν αἱ μὲν τελεώτεραι τοῖς δυνατωτέροις εἰσὶν ὑποτεταγμέναι δαίμοσι καὶ σώζονται ὑπ' ἐκείνων καὶ κατευθύνονται δεόντως, αἱ δὲ ἀτελέστεραι τοῖς ὑφειμένοις. Ὡς γὰρ καὶ περὶ τοὺς θεοὺς καὶ κατ' ἀξίαν ἐσπάρησαν, οὕτω καὶ ὑπὸ τοὺς δαίμονας ἐτάχθησαν κατὰ τὸ προςῆκον· καὶ ὥςπερ θεοὺς ἡγεμόνας, οὕτω καὶ δαίμονας ἐπιτρόπους ὁ δημιουργὸς καὶ πατὴρ ἐπέστησε ταῖς ψυχαῖς. Διὸ καὶ ὁ Σωκράτης, μικρὸν προελθὼν, ἐπίτροπον ἑαυτοῦ καλέσει τὸν εὔφορον δαίμονα καὶ θεὸν, μονονουχὶ λέγων τῷ νεανίσκῳ σαφῶς, ὅτι οὗτός ἐστιν ὁ ἀληθινὸς ἡμῶν ἐπίτροπος ὁ τῆς εὐδαιμονίας ἡμῖν αἴτιος διὰ τὴν ἑαυτοῦ δύναμιν, ἀλλ' οὐχὶ Περικλῆς, ἀλλ' οὐδὲ ἀνθρώπων ἄλλος οὐδείς.

[λη.] Ταῦτα καὶ περὶ τούτων ἔχομεν λέγειν· ὅτι δ' αὖ μέγας ὁ Ἀλκιβιάδης ἐγένετο καὶ καλὸς, δηλοῖ μὲν καὶ τὸ κοινὸν αὐτὸν ἐρώμενον καλεῖσθαι τῆς Ἑλλάδος ἁπάσης, δηλοῖ δὲ ὁ Ἀντισθένης εἰπὼν, ὡς εἰ μὴ τοιοῦτος ἦν ὁ Ἀχιλλεὺς, οὐκ ἄρα ἦν ὄντως καλὸς, δηλοῖ δὲ καὶ τὸ τοὺς Ἑρμᾶς πλάττεσθαι κατὰ τὸ εἶδος αὐτοῦ, καὶ ὅλας πολλὰς τοιαύτας ἡ ἱστορία δίδωσιν ἀφορμάς. Καὶ μὴν καὶ, ὅτι εὐγενὴς κατὰ φυσικὴν εὐγένειαν, καὶ τοῦτο δῆλον. Ἦν γὰρ καὶ πρὸς πατρὸς

— *κεκλήρωται*] D *κεκλήρωνται*. — *τελεώτεραι*] D *τελειότεραι*. — *ἀτελέστεραι*] D *ἀτελέστεροις* (sic). — *καὶ κατ' ἀξίαν*] D om. *καί*. In seqq. *εὔφορον* quidem omnes libros occupat; sed scribendum vel invitis iis *ἔφορον*, (Fic. *praefectum*) quod in Cod. E alia manus adscribere voluisse videtur. Post *Περικλῆς* repetitum *ἀλλ'* delendum videtur.

*Ταῦτα καὶ περὶ*] D om. *καί*. In iis, quae praecedunt, significat Proclus locum in Alc. I. c. 20. Etwall. et Ast. pag. 124. c. Bip. T. V. Bekk. II, 3. pag. 345 sq. — *ἔχομεν λέγειν*] cett. *εἴχομεν λέγειν*, sed E perperam cum nostro facit. Inde ab hoc loco Fic. omisit tres paginas. — *ὅτι δ' αὖ*] cett. *ὅτι δὲ αὖ*, excepto E. — *δηλοῖ δὲ καὶ*] B om. *καί*. — *Ἑρμᾶς*] De Alcibiadis formositate vide Satyrum et Antisthenem ap. Athenaei. L. XII. p. 534. p. 484 sq. Schwgh. ibiq. interprr. De ejusdem nobilitate et imperandi cupidine Thucyd. V, 43. VI, 15. ib. interpp. Plut. Alcib. c. 1. 2. et passim. — De Antisthenis in Alcibiadem dicteriis supra vidimus ad cap. 31. — *καὶ ὅλας πολλὰς*] cett. *καὶ ὅλως πολλάς*. Bene. — *φυσικὴν*] D *τὴν φυσικήν*. — *ἦν γὰρ καὶ*] D om. *καί*.

μὲν Αἰακίδης, πρὸς μητρὸς δὲ Ἀλκμαιωνίδης· καὶ δὴ Περικλῆς ὅτι δυνάστης, καὶ τοῦτο Θουκυδίδης μαρτυρεῖ τὴν ἐκείνου πολιτείαν, εἰπὼν, λόγῳ μὲν δημοκρατίαν, ἔργῳ δὲ ἑνὸς ἀνθρώπου δυναστείαν. Διὸ καὶ τῷ Ἀλκιβιάδῃ πρὸς ἐκείνῳ ἦν ἡ ἅμιλλα· καὶ γὰρ ἤγειρεν αὐτοῦ τὸ φιλότιμον ὁ Περικλῆς, Εὔβοιαν μὲν παραστησάμενος, Σάμον δὲ κληρουχήσας, καὶ Νάξον καὶ Χεῤῥόνησον περιπλεύσας, τείχει δὲ οἰκοδομησάμενος. Ταῦτα δὲ πάντα φαινόμενα μέν ἐστιν ἀγαθὰ, μειζόνων δὲ αἴτια συμφορῶν τοῖς ἔχουσι χωρὶς φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς.

[λθ.] „Κατὰ πάντα δὴ ταῦτα σύγε μεγαλαυχούμενος „κεκράτηκας τῶν ἐραστῶν, ἐκεῖνοι δὲ ὑποδεέστεροι ὄντες „ἐκρατήθησαν· καί σε ταῦτα οὐ λέληθεν· ὅθεν δὴ εὖ „οἶδα, ὅτι θαυμάζεις, τί διανοούμενός ποτε οὐκ ἀπαλλάτ„τομαι τοῦ ἔρωτος, καὶ ἥντινα ἐλπίδα ἔχων ὑπομένω, „τῶν ἄλλων πεφευγότων.“ (p. 104. c. Bekk. p. 300.)

Πάλιν καὶ διὰ τούτων ἡμῖν γενέσθω σαφῶς, ὅπως ὁ ἔνθεος ἐραστὴς τῷ παντὶ διέστηκε τῶν πολλῶν καὶ πανδήμων ἐραστῶν. Οἱ μὲν γὰρ ἀπὸ τοῦ νεανίσκου μέγα φρονοῦντες ἐπὶ σμικροῖς κεκράτηνται πάθεσιν, ἀστειοτέροις ἡττηθέντες· ἦσαν γὰρ, ὥς φησιν αὐτὸς, ὑποδεέστεροι, κάτωθεν καὶ οἷον ἐκ τῆς ὕλης ὁρμώμενοι καὶ κατασπᾶν εἰς ἐκείνην τὸν νεανίσκον σπεύδοντες, ὁ δὲ μάταιον αὐτοῦ τὸ φρόνημα διέδειξεν εἰς τὴν ἐσχάτην ἀμαθίαν ἀγαγὼν ἅπασαν ταύτην τὴν φαινομένην μεγαλοφροσύνην καὶ τὴν ἄγνοιαν τὴν ἑαυτοῦ. Δηλοῖ δὲ αὐτῶν

— καὶ δὴ Περικλ.] cett. bene καὶ δὴ καὶ Περικ., excepto E. — Θουκυδίδης] Locus est L. II. c. 143. — Ἀλκιβιάδῃ] B Ἀλκιβιάδης. — πρὸς ἐκείνῳ] D πρὸς ἐκεῖνον. Bene. Σάμον — κληρουχήσας Diogen. Laert. X. 1: κληρουχησάντων Ἀθηναίων τὴν Σάμον, ubi vid. Menag. adde Davisium ad Cic. de N. D. I. 26. pag. 115 seq. nostr. ed. — τείχει δὲ] cett. τείχη δὲ, et ita legendum.

Σύγε] A D et E σύτε. B οὔτε. Σύ τε est in Edd. — ἐκεῖνοι δὲ] cett. ἐκεῖνοί τε ut in Edd., excepto E. Mox in Edd. est ταῦτ' pro ταῦτα, et paulo post in veteribus Edd. et Bip. θαυμάζοις. In seqq. Edd. exhibent ἥντιν' ἔχων ἐλπίδα. — τί διανοούμενός ποτε] B τὸ διανοούμενον ποτὲ. A et B τί διανοούμενος ποτὲ. — σαφῶς] cett. σαφὲς, quod unice verum est. — ὅπως ὁ ἔνθεος] D om. ὅπως. — ἐραστὴς .... πανδήμων] haec omissa sunt in cod. B. — ἀπὸ τοῦ νεανίσκου] cett. bene ὑπὸ τοῦ νεαν., praeter Cod. E. — μέγα φρονοῦντες] A μεγαφρονοῦντες. — αὐτοῦ τὸ φρόνημα] B τὸ φρόνημα αὐτοῦ.

ἱκανῶς διαφορὰν καὶ τὸ ἐκείνους μὲν φυγάδας ἐπονομάζεσθαι ὡς ἐμπαθεῖς καὶ ἀγεννεῖς καὶ μαλθακοὺς ἐραστὰς, τοῦτον δὲ μὴ ἀπαλλάττεσθαι τοῦ ἔρωτος, ἀλλ' ἀνδρεῖον εἶναι καὶ σύντονον ὄντως τῷ ἑαυτοῦ θεῷ παραπλήσιον. Καὶ τοῦτο συνέβαινεν εἰκότως, μέση γάρ ἐστιν ἡ ψυχὴ τοῦ νέου καὶ τῆς κοσμικῆς φαντασίας. Καὶ ὅταν μὲν εἰς νοῦν βλέπῃ καὶ τὸ ἐκεῖ καλὸν, ὁ ἔρως αὐτῆς μόνιμός ἐστιν, ὡς τῷ ἀκινήτῳ καὶ ἀμεταβλήτῳ δι' ὁμοιότητος συναπτόμενος· νοῦς γὰρ ἐν αἰῶνι τήν τε οὐσίαν ἑστῶσαν ἔχει καὶ τὴν ἐνέργειαν· ὅταν δὲ εἰς τὰ σώματα καὶ εἰς τὸ ἐπ' αὐτοῖς κάλλος, ἑτεροκίνητος γίνεται αὐτῆς ὁ ἔρως καὶ μεταβάλλει τῷ ἐραστῷ. Καὶ γὰρ τὸ σῶμα τοιοῦτόν ἐστιν ἑτεροκίνητον δήπου καὶ εὐμετάβολον. Μέσην τοίνυν ἔχουσα τάξιν καὶ αὐτοκινήτως ἐπ' ἄμφω φερομένη, καὶ τότε μὲν ὁμοιοῦται τῷ ἀκινήτῳ καὶ ἀεὶ ὡσαύτως ἔχοντι, τότε δὲ τῷ ἑτεροκινήτῳ καὶ εὐμεταβολῇ παντοίᾳ φερομένῳ. Εἰκότως οὖν ὁ μὲν ἔνθεος ἐραστὴς, ὁ πρὸς τὸ μόνιμον ἀνατεινόμενος καὶ ἑστὼς καλὸν, μόλις ἀπαλλάττεται τοῦ ἔρωτος· οὐ γὰρ προσποιεῖται τὴν σωματικὴν ῥοήν· ὁ δὲ γηγενὴς καὶ ἔνυλος ἀναπίμπλαται τῆς εὐγενέσι φερομένης μεταβολῆς. Διὸ δὴ καὶ αὐτὸς εὐκίνητός ἐστι καὶ εὔτρεπτος, ἐπειδὴ καὶ τὸ αἴτιον αὐτῷ τοῦ ἔρωτος κάλλος μεταβολικὸν ὑπάρχει· θέμις δὲ οὐκ ἔστι τοῖς αἰτιατοῖς ὑπεκδραμεῖν ποτε τὰ αἴτια τὰ αὐτῶν, καὶ

— *διαφορὰν*] D *τὴν διαφορὰν*. — *τοῦ ἑαυτοῦ θεῷ*] B om. *τῷ*. E *τῷ ἑαυτῷ θεῷ* corr. in *ἑαυτοῦ*. — *τοῦ νέου*] B et D *τοῦ νοῦ*. E *τοῦ τε νοῦ*, correctum ex *τοῦ νέου*. Bene. — *τῆς κοσμικῆς φαντασίας*] cett. *τῆς σωματικῆς φύσεως*, sed E mixtam ex utraque lectionem habet *σωματικῆς φαντασίας*, quae placet; sed verior fortasse est ceterorum librorum lectio. — *βλέπῃ*] B *βλέπει*. — *ὁ ἔρως αὐτῆς*] B *ὁ ἔρως αὐτοῖς*. — *γίνεται αὐτῆς*] D *γίνεται αὐτοῖς*. — *μεταβάλλει*] D *συμμεταβάλλει*, quod placet. — *εὐμετάβολον*] D *ἀμετάβολον*. — *ἐπ' ἄμφω*] A *ἀπ' ἄμφω*, et ita fuit in Cod. E, sed alia manus corr. *ἐπ' ἄμφω*. — *φερομένη*] B *φερομένην*. — *ἀκινήτῳ*] B *αὐτοκινήτῳ*. — *τότε δὲ*] In Cod. B sequitur: *τῆς φύσεως· καὶ ὅταν μὲν εἰς νοῦν κτλ.* (atque ita omnia superiora repetuntur, lectt. Augustano libro ubivis fere consentientibus.) — *εὐμεταβολῇ*] cett. *ἐν μεταβολῇ*, et ita legendum. — *ὁ μὲν ἔνθεος*] B om. *ὁ*. — *εὐγενέσι*] cett. bene *ἐν γενέσει*, sed E *ἐν γενέσι*. — *τοῦ ἔρωτος*] B om. *τοῦ*. Pergit Ficini versio inde a verbis *ἐπειδὴ καὶ τὸ* usque ad *γινόμενά ἐστι*, tum rursus deficit pagella. (p. 218). — *μεταβολικὸν*] A et B atque D *μεταβλητὸν*. — *αἰτιατοῖς*] B *αἰτιατικοῖς*, in marg. *γρ· αἰτιατοῖς*. — *ὑπεκδραμεῖν*] A *ὑπ' ἐκδραμεῖν*.

γενέσθαι κρείττω τῆς ἐκείνων φύσεως· ὅπου τοίνυν καὶ τῶν αἰτίων τεταγμένων ὄντων ἄτακτα φύεται τὰ ἀπ᾽ αὐτῶν, καὶ ἑστώτων ἐκείνων κινούμενα, καὶ ὡρισμένων ἀόριστα τὰ γινόμενά ἐστι. Τί χρὴ φάναι περὶ αὐτῶν τούτων, ὧν καὶ τὰ αἴτια εὔτακτα καὶ εὐμετάβολα καὶ ἀόριστά ἐστιν; οὐχ ὡς πολλῷ μᾶλλον εἰς ἀοριστίαν ἀποφέρεται καὶ μεταβολὴν παντοίαν; Εἰ τοίνυν τὸ αἰσθητὸν καὶ ἔνυλον κάλλος εὔτρεπτόν ἐστιν καὶ εὐκίνητον, τί χρὴ φάναι περὶ τοῦ ἔρωτος, ὃς ἐκ τούτου ταῖς ψυχαῖς ἐμφύεται; τοῦτο μὲν οὖν οὐκ ἂν ἄλλως ἔχει. Λεκτέον δὲ ἀπὸ τῆς αὐτῆς αἰτίας, καὶ ὡς μὲν θεῖος ἔρως ἐνέργειά ἐστιν, ὁ δὲ ὑβριστὴς πάθος· σύστοιχος γὰρ ὁ μὲν τῷ νῷ καὶ τῷ θείῳ κάλλει, ὁ δὲ τοῖς σώμασι· προςήκει δὲ τὸ μὲν τῆς ἐνεργείας ἀΰλοις εἴδεσι, τὸ δὲ τοῦ πάθους τοῖς ἐνύλοις. Τῶν γὰρ ἀσωμάτων τὸ ποιεῖν, τῶν δὲ σωματικῶν τὸ πάσχειν ἴδιον· ἀντίκεινται δὲ ἄρα οἱ ἔρωτες ἀλλήλοις, εἴπερ ὁ μὲν μόνιμός ἐστιν, ὁ δὲ εὐμετάβλητος, καὶ ὁ μὲν ἐνεργητικός, ὁ δὲ παθητικός, καὶ ὁ μὲν ἄϋλος, ὁ δὲ ὑληκός, καὶ ὁ μὲν ἔνθεος, ὁ δὲ ὑβριστής· οὕτω γὰρ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης ἐπωνόμασεν, ὥςπερ οἶμαι, καὶ τὰ λόγια, π ν ι γ μ ὸ ν ἔ ρ ω τ ο ς ἀ λ η θ ο ῦ ς.

[μ.] Τίς οὖν αἰτία τῆς τῶν ἐρώτων τούτων ἀντιθέσεως; ἡ τῶν πραγμάτων ὕφεσις. Ἄνωθεν γὰρ ἡ πρόοδος ἀρχομένη καταλήγει μέχρι τούτων, ἃ καὶ μεταβάλλειν δύναται καὶ παρυφιστάνειν παρατροπὴν ἑαυτοῖς· οἷον τὸ μὲν δίκαιον, τὸ μέν

— *ἄτακτα*] D *ἄλωτα*. — *φύεται*] B *κατὰ φύεται*. — *ὡρισμένων*] B *ὁρισμένων*. — *εὐμετάβολα ..... ἀποφέρεται καὶ*] haec omissa sunt in B. Ficinus autem ante *εὐμετάβολα* recte legit *ἄτακτα* pro *εὔτακτα*. — *ἄλλως ἔχει*] cett. bene *ἄλλως ἔχοι*, excepto E. — *ὡς μὲν θεῖος*] cett. *ὡς ὁ μὲν θεοῖς*, bene: in marg. Cod. D: *ὅτι ὁ μὲν θεῖος ἔρως ἐνέργειά ἐστιν, ὁ δὲ σωματικὸς πάθος*. Sed Cod. E cum nostro facit. — *τοῖς σώμασι*] A et B *τοῖς σώμασιν*. — *προςήκει δὲ*] B *προςήκει μηδὲν*. — *ἀΰλοις*] cett. *τοῖς ἀΰλοις*, excepto E; tum idem *εἴδεσιν*. — *ἀντίκεινται δὲ*] cett om. *δὲ*, E vero illud cum nostro exhibet. — *ὑληκὸς*] cett. *ὑλικὸς*, sed E ut noster perperam *ὕληκος*. — *οὕτω γὰρ*] cett. add. *αὐτὸν*. Bene. — *ἐπωνόμασεν*] Cf. Plat. Phaedr. p. 238. a. Bip. T. X. Bekk. I, 1. p. 23. — Quod sequitur hexametri fragmentum non est in Zoroastris Oraculis, quae saepe laudavimus. Tenenda autem haec significatio vocis *πνιγμός*.

*Ἡ πρόοδος*] B *τι πρόοδος*. Pergit h. l. Fic. — *παρυφιστάνειν*] B *παρύφιστάνει*. — *παρατροπὴν*] cett. *τινὰ παρατροπὴν*. Bene. — *τὸ μὲν*

ἐστι πρώτως δίκαιον καὶ αὐτοδίκαιον, καὶ οὐ κατὰ μετοχὴν τοιοῦτον· τὸ δὲ ἐκείνου πρώτως μετέχον, ὃ καὶ αὐτὸ μετέχει, τὸ δὲ ποτὲ αὐτοῦ μετέχει, ποτὲ δὲ ἀποπίπτει τῆς μεθέξεως. Οὔτε γὰρ τὸ αὐτοδίκαιον ἄγονον ἔδει προεστάναι, μηδενὶ μεταδιδὸν τῆς οἰκείας ἰδιότητος· οὐδὲν γὰρ τῶν πρώτων τοιοῦτον, ἀλλὰ τὸ ἄγονον τῇ ὕλῃ προςήκει μόνον ὡς ἐσχάτῃ τῶν ὄντων. Οὔτε μετεχόμενον ὑπ' ἄλλων ὑπὸ τῶν ποτὲ μὲν μετεχομένων ἔδει μετέχεσθαι πρώτως· τῷ γὰρ ἁπλῷ καὶ ἀμεταβόλῳ τὸ σύνθετον μεταβλητὸν ἀλλότριόν ἐστι καὶ δεῖται μέσον συνδέσμου τινὸς εἰς τὴν πρὸς αὐτὸ συναφήν· οὔτε ὑπὸ τῶν ἀεὶ δυναμένων ἐλλάμπεσθαι μετεχόμενον, ἔδει μέχρι τούτων ἱστάνειν τὴν ἑαυτοῦ δόσιν, ἵνα μὴ τὸ ἔσχατον ᾖ τὸ ἀεὶ τῶν ἀρχῶν ἐξηρτημένον. Ἀνάγκη ἄρα τριχῶς τὸ αὐτοδίκαιον ὁρᾷν, καὶ οὐ τοῦτο μόνον, καὶ τὰ ἄλλα πάντα εἴδη, τὸ αὐτοκαλὸν, τὸ ἴσον, τὸ ὅμοιον τῶν ἄλλων ἕκαστον, καὶ τὰ μὲν αὐτὰ καλεῖν, τὰ δὲ μετέχοντα, καὶ τὰς παρυποστάσεις ἐν τοῖς τρίτοις ἀπὸ τῆς ἀληθείας ὁρᾷν· οὔτε γὰρ τοῖς ἁπλοῖς παρυφίστασθαι τὸ δυνατὸν, οὔτε τοῖς ἀεὶ μετέχουσιν· οὐ μὲν γὰρ ἡ ἁπλότης κωλύει τὴν παρυπόστασιν, οὐ δὲ ἡ ἀϊδιότης τῆς μεθέξεως. Ἀνάγκη ἄρα τοῖς τριττοῖς, τοῖς ποτε μετέχουσι παρυφίστασθαι τὸ χεῖρον, τῷ μὲν ἐνταῦθα δικαίῳ τὸ ἄδικον, τῷ δὲ καλῷ τὸ αἰσχρὸν, τῷ δὲ ἴσῳ τὸ ἄνισον. Οὕτω τοίνυν

ἐστι πρώτως δίκαιον] haec omissa sunt in B. — αὐτοδίκαιον καὶ οὐ] B αὐτοδικαίων omisso καὶ οὐ. — αὐτὸ μετέχει] cett. bene cum Ficino. ἀεὶ μετέχει, excepto E. — τὸ δὲ ποτὲ] cett. rectius add. μὲν, neque vero E. — ἀποπίπτει] D ἀποπίπτον. — αὐτοδίκαιον] A αὐτὸ δίκαιον. — τῶν πρώτων τοιοῦτον] B τ. πρ. τοιούτου. — μετεχομένων ἔδει] D μετεχόντων ἔδει. — σύνθετον μετάβλητον] D bene σύνθ. καὶ μεταβ. — ἀλλότριον] D ἀλλοτριώτατον. — μέσον συνδέσμου] cett. rectius cum Fic. μέσου συνδέσμ. excepto Cod. E. — ἐξηρτημένον] A ἐξηρτημένος. — τὸ αὐτοδίκαιον] A τὸ αὐτὸ δίκαιον. — καὶ τὰ ἄλλα πάντα] A et B ἀλλὰ καὶ τὰ ἄλλα πάντα. D ἀλλὰ καὶ τὰ πάντα ἄλλα. Tres pagg. sequentes omisit Ficinus. — αὐτοκαλὸν] A αὐτὸ καλόν. — οὔτε γὰρ τοῖς ἁπλοῖς ..... δυνατὸν] haec omissa sunt in B. — οὐ δὲ ἡ ἀϊδιότης] B οὐ δὲ ἡ ἀϊδ.. Hac voce, quod sciam, primus usus est Aristoteles. Ita enim de coelo II. 1. p. 36. Sylb. — οὐ μόνον αὐτοῦ (οὐρανοῦ) περὶ τῆς ἀϊδιότητος οὕτως ὑπολαβεῖν ἐμμελέστερον. Inde frequentant Plotinus. Vid. v. c. p. 326 sqq. et Proclus. Vid. Theolog. Platon. pag. 439 lin. 8. a fin. pag. 454. infr.

καὶ ὁ ἔρως ὁ περιττὸς, ὁ μὲν αὐτὸς καὶ πρώτως, ὁ δὲ μετεχόμενος ἰδίως, ὁ δὲ ποτὲ μετεχόμενος· τούτῳ δὴ τῷ τρίτῳ παρυφέστηκεν ὁ ὑβριστὴς ἔρως· διὸ καὶ ἀντίκειται αὐτῷ καὶ τὰ τέλη τὰ ἐναντία προΐσταται καὶ σκοποῖς χρῆται διαφέρουσι, καὶ ζωαῖς ἐμφύεται ταῖς ἀντικειμέναις.

[μα.] Ταῦτα καὶ περὶ τούτων. Τί δὲ τὸ „καὶ σὲ ταῦτα οὐ λέληθεν;“ οὐκ ἐπιστρέφει μὲν τὸν νεανίσκον εἰς ἐξέτασιν τῶν ἐν αὐτῷ κινημάτων, δείκνυσι δὲ ἑαυτὸν οὐ μόνον ἔνθεον ἐρωτικὸν, ἀλλὰ καὶ μάντην καὶ σοφὸν, ὅλην αὐτοῦ τὴν ζωὴν ἐκφήναντα καὶ οἷον ἀνατεμόντα τὰ ἐν αὐτῷ πάθη, καθάπερ οἱ δεινοὶ τῶν ἰατρῶν πρὸ τῶν ἰάσεων ταῖς ἀνατομαῖς ἐγχειροῦσιν, ἵνα τὴν φύσιν τοῦ θεραπευομένου κατανοήσωσι, ταῖς ἀναστομώσεσι χρώμενοι τῶν ἑλκῶν, ἵνα προκαλέσωνται τὸν ἐνοχλοῦντα χυμὸν, καὶ ἐπιτήδειον ποιήσωσι τὸ σῶμα πρὸς τὴν ἴασιν. Ἔτι τοίνυν τὸ „εὖ οἶδ', ὅτι θαυμάζεις, τί διανοούμενος οὐκ ἀπαλλάττομαι τοῦ ἔρωτος“ οὐχὶ συνάπτει μὲν τῇ ἀρχῇ τοῦ λόγου τὸ πέρας, ἔνδειξιν δὲ παρέχεται τῆς νοερᾶς τοῦ Σωκράτους ἐπιστήμης; Τί δὲ οὐχὶ καὶ τῷ ἔρωτι προσῆκόν ἐστιν ὁ τρόπος οὗτος τῆς ἑρμηνείας τῷ πάντα ἐπιστρέφοντι πρὸς τὴν ἑαυτῶν ἀρχήν; τί δὲ οὐχὶ καὶ τῇ φύσει τῶν πραγμάτων καὶ τῇ διακοσμήσει προσφορώτατος, εἴπερ ἅπαντα καὶ πρόεισιν ἀπὸ τοῦ πρώτως καὶ ἐπέστραπται πρὸς αὐτό; Μὴ τοίνυν ἔτι θαυμάσῃς, εἰ τὸν ἐπιστήμονα λέγοιμεν ἀφομοιοῦν τοῖς πράγμασι τοὺς λόγους, ὧν εἰσιν ἐξηγηταί· ταῦτα γὰρ ἡμῖν ἱκανῶς καὶ διὰ τούτων ὁ Σωκράτης ἐνέφηνεν· εἰ δὲ πρότερον μὲν ἔλεγε τὸ

— ὁ περιττὸς] A τριτὸς. B τρίτος. D et E. τριττὸς. bene. — omnes om. ὁ, quod merito omittitur. — ὁ μὲν αὐτὸς] cett. ὁ μὲν αὐτὸ, excepto E. — καὶ πρώτως] D om. καὶ. B καὶ πρώτος (ως superscr.) (sic). — ἰδίως] B et D ἀϊδίως, recte. — τούτῳ δὴ τῷ τρίτῳ] A et B τούτω οὖν δὴ τῶ τρίτω. D τούτῳ δὴ οὖν τῷ τρίτῳ, quod nobis probatur. — καὶ τὰ τέλη] D om. τά.

Καὶ μάντην] cett. καὶ μάντιν. Bene. — ἀνατεμόντα] B ἀνατεμόντι. — τί διανοούμενος] B τὸ διανοούμενον. — προσῆκόν] Cod. E προσήκων. Bene. — τῷ πάντα] B τῷ παντί. — διακοσμήσει] B διαμιμήσει. — προσφορώτατος] D προσφορώτατον. — ἀπὸ τοῦ πρώτως] cett. bene ἀπὸ τοῦ πρώτου, excepto tamen Cod. E. — θαυμάσῃς] A et B θαυμάσας. D θαυμασεις. — ἡμῖν ἱκανῶς, καὶ] B add. δικάσας εἰς τὸν ἐπιστήμονα λέγοιμεν ἀφομοιοῦν κτλ. et sic reliqua hic iterantur.

„οἶμαι δὲ θαυμάζειν,“ νυνὶ δὲ τὸ „εὖ οἶδ', ὅτι θαυμάζεις,“ πάντως που καὶ τοῦτο προςῆκον ἂν εἴη τῷ ἐπιστήμονι. Πρὸ μὲν τῆς τῶν αἰτίων εὑρέσεως εὐλαβέστερον ἅπτεσθαι τῶν λόγων, μετὰ δὲ τὴν εὕρεσιν καὶ τὴν εἰς φῶς αὐτῶν προϊοῦσαν ἔκθεσιν θαῤῥαλεώτερον· καὶ οὖν καὶ ὁ Σωκράτης πρὶν μὲν κατασκευάσει διὰ τῶν λόγων, ὅτι θαυμαστός ἐστι τῷ νεανίσκῳ, τῷ οἶμαι ἐχρήσατο· μετὰ δὲ τὰς ὑπομνήσεις, τὰς δια τῶν προκειμένων, τῷ „εὖ οἶδ', ὅτι“ γνώριμον γὰρ ἤδη τὸ αἴτιον τοῦ θαύματος γέγονε.

[μβ.] „Καὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶςθ', ὅτι μικρόν „με ἔφθης· ἐγὼ γάρ τοι ἐν νῷ εἶχον πρότερόν σοι προς- „ελθὼν ταῦτα ἔρεσθαι, τί ποτε βούλει, καὶ εἰς τίνα „ἐλπίδα βλέπων ἐνοχλεῖς με ἀεὶ, ὅπου περ ἂν ᾧ ἐπιμε- „λέστατα παρών· τῷ ὄντι γὰρ θαυμάζω, ὅ τί ποτέ ἐστι „τὸ σὸν πρᾶγμα, καὶ ἥδιστα ἂν πυθοίμην.“ (p. 104, c. d. Bekk. p. 301.)

Εἴ πέρ που τὸ τὰς ψυχὰς εἶναι τοὺς καιροὺς τῶν θεραπειῶν ἀληθές ἐστιν, ὅ φησιν ὁ τῶν Ἀσκληπιαδῶν Ἱπποκράτης, καὶ ἐν ταῖς τῶν ψυχῶν ἰάσεσίν ἐστι ἐπανάληθες· καὶ γὰρ μαθημάτων παράδοσις κατὰ καιρὸν ἐπιμελουμένη καὶ ζωῆς κάθαρσις εὐκαίρως προςαγομένη πολλαπλασίαν παρέχονται τὴν ἀφ' ἑαυτῶν ὠφέλειαν τοῖς δεχομένοις. Ὥςπερ οὖν οἱ

— *καὶ οὖν καὶ ὁ Σωκρ.*] B *καίτοι οὖν κ. ὁ Σωκρ.* — *ὅτι θαυμαστὸς*] B *ὅτι θαυμαστόν.* — *μετὰ δὲ τὰς ὑπομν.*] B om. *δέ.* D habet *δὴ* pro *δὲ.* Mox Cod. E *προειρημένων* pro *προκειμένων.* — *τῷ „εὖ οἶδ' ὅτι“*] B *τὸ εὖ οἶδ' ὅτι.* — *ἤδη τὸ αἴτιον*] A *ἤδη τί αἴτιον.*

*Ὅτι μικρόν*] A et B *ὅτι μακρόν.* D *ὅτι σμικρόν.* E *μικρὸν* corr. ex *μακρόν.* In Edd. est *σμικρόν.* — *πρότερόν σοι*] B *πρότερός σοι,* ut est in Edd. D *πρό ..... ός σοι* (sic). In seqq. Buttm. et Bekk. ediderunt *αὐτὰ ταῦτ'* q. v., Astius *ταὐτὰ ταῦτ'* ut vulgo editum est. Tum in Edd. legitur *ὅπου ἂν ὦ* pro *ὅπου περ ἂν ὦ.* — *ὅ τί ποτέ ἐστι*] A et E *ὅτί ποτ' ἐστι,* ut Edd. B *ὅτί ποτέ ἐστι.* D *ὅτί ποτέ ἐστϊ.* Mox E *ἥδιστ' ἂν,* ut Edd. — *εἴ πέρ που*] A *ιπέρ που* omisso *ε.* et sic in cod. A litera initial. ubivis omissa. B *εἴπερ* omissa *που.* D *εἴ πέρ πω.* Atque A B et D post haec addunt: *ἄλλοθι.* — Loci Hippocratici de *καιροῖς* multi exstant. Vid. inprimis Praeceptiones p. 25 sq. ed. Foes., de morbis pag. 447 sqq. Hinc illud Galeni: *οἱ ὅλου τοῦ νοσήματος καιροί* vid. de tot. morbi temporr. Tom. VII. cap. 1. p. 304. Plura collecta praestat Hebenstreitii Palaelogia Therapiae pag. 137. ed. Gruneri. — *ἐπανάληθες*] cett. *πανάληθες.* bene. — *παράδοσις*] D *μετάδοσις.* — *κατὰ καιρὸν*] B om. *κατά.* D *καταχαιρὸν.* Inde ab *ὥςπερ οὖν* pergit Ficini versio p. 220.

θεοὶ τὰς ἰάσεις ταῖς ψυχαῖς τῶν ἁμαρτημάτων καὶ τὰς ἐπικαρπίας ἐν τοῖς προσήκουσι χρόνοις εὐτάκτως ἀπονέμοντες εὐεργετοῦσιν αὐτάς, οὕτω δὴ καὶ οἱ θεοπρεπεῖς ἄνδρες στοχάζονται δευτέρως τοῦ καιροῦ καὶ τῆς εἰς τὰ ἀτελέστερα κατὰ καιρὸν εὐποιΐας, θεὸν μὲν νοερῶς καὶ θείως ἀφορίζοντες τὰ μέτρα τῶν καιρῶν, ἄνθρωποι δὲ κατ' ἐπιστήμην αὐτὰ μεταδιώκοντες, οἱ δὲ καὶ κατὰ δαιμονίαν ἐπίπνοιαν τὴν θήραν αὐτῆς ποιούμενοι. Μεγάλη γὰρ ῥοπὴ ταῖς ἐν γενέσει ψυχαῖς τῆς ἀναμαρτήτου τῶν καιρῶν διαγνώσεως ἡ τῶν ἀγαθῶν δαιμόνων συνουσία· καὶ οὖν καὶ ὁ Σωκράτης ἐν τούτοις ὑπὸ τοῦ δαιμονίου κινούμενος καὶ ὑπ' αὐτοῦ τοῦ ἔρωτος ποδηγούμενος τὸν ἀόριστον καιρὸν ἀνεῦρε τουτονὶ τῆς εἰς τὸν ἐρώμενον εὐποιΐας. Ὥςπερ γὰρ τόπος ἐκ τῆς φύσεως ἑκάστῳ τῶν σωμάτων οἰκείως ἀφώρισται, οὕτω δὴ καὶ χρόνου μόρια ἄλλο ἄλλαις ἐφαρμόττει πράξεσι· καὶ ὥςπερ τοῦ ὅλου κόσμου περίοδοί τινές εἰσιν εὐγενείας αἴτιαι, καὶ ἀγενείας, καὶ ζώων, καὶ φυτῶν, οὕτω δὴ καὶ ταῖς καθ' ἕκαστον πράξεσιν ἄλλαις ἄλλος προςήκει χρόνος εἰς τελείωσιν. Καὶ ὁ τοιοῦτος δὴ χρόνος καιρός ἐστι πράξεως ἑκάστης, ὡς τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐπάγων τοῖς πράττουσι καὶ αὐτοῖς τοῖς πραττομένοις. Διὸ καὶ τὴν πρώτην αἰτίαν, ἀφ' ἧς πᾶσι τὸ ἀγαθὸν, οἱ Πυθαγόρειοι καιρὸν ἀπεκάλουν, ὡς πᾶσι τὸ τελείοις εἶναι δωρουμένην· πῶς οὖν ἐν τοῖς παροῦσι κατὰ καιρὸν ἡ τοῦ Σωκράτους ἐπιτελεῖται συνουσία, δεδήλωκεν αὐτὸς ὁ νεανίσκος, εἰπών,

— *στοχάζονται*] D *στοχάζοντες*. — *θεὸν μὲν νοερῶς*] cett. rectius cum Fic. *θεοὶ μὲν νοερῶς*, sed E nonnisi ex correctione. — *θήραν αὐτῆς*] D *θήραν αὐτοῖς*. Sequentia, inde a *μεγάλη* usque ad *εὐποιΐας* Ficinus ita expressit: „Sunt et qui inter homines ex inspiratione daemonica „eas aucupantur. Bonorum namque daemonum praesentia familiaritas„que praecipuam vim habet in nobis ad opportunitatem infallibiliter „ubique captandam, quod et Socrati contingebat." — *τῶν καιρῶν διαγνώσεως*] B *τῶν καρπῶν διαγν*. — *τὸν ἀόριστον*] D *τὸν ἄριστον*. — *εὐγενείας*] A et B *εὐγενίας*. D *εὐγονίας*. — *ἀγενείας*] A *ἀγενίας*. B *ἀγνοίας*. D *ἀγονίας*. Mox voci *αἴτιαι* in Cod. E suprascriptum est *αἴτιοι*. — *οὕτω δὴ καὶ*] A *οἴτω*. B *οὕτῳ*. — *ἄλλαις ἄλλος*] A *ἄλλαι* (sic) *ἄλλος*. B *ἄλλαι* (*ἄλλως* (sic). — *εἰς τελείωσιν .... δὴ χνόνος*] haec omissa sunt in B. — *Πυθαγόρειοι*] in marg. cod. D: *πῶς οἱ Πυθαγόρειοι λέγουσι τὸν καιρὸν*. — cf. Jamblich. de Vita Pythag. p. 152 sq. Kust. (181. 182); p. 378 Kiessling. — *κατὰ καιρὸν*] D *κατακαιρόν*.

ὅτι σμικρόν με ἔφθης· καὶ γάρ ἐγώ φησιν ὡρμήμην προςελθεῖν σοι καὶ περὶ τούτων ποιήσασθαι τοὺς λόγους· ἅπαντα γὰρ τὰ ὄντα τοῦτον ἀλλήλοις συνάπτεται τὸν τρόπον, καὶ πᾶσι κοινωνία τῶν ἀγαθῶν ἐπιτελεῖται πανταχοῦ, τῶν μὲν τελεσιουργῶν αἰτίων πρόχειρον ἐχόντων τὴν μετάδοσιν, τῶν δὲ μεταληψομένων ἐγηγερμένων πρὸς τὴν μέθεξιν, καὶ τῶν μὲν τὴν τελειωτικὴν δύναμιν προτεινόντων, τῶν δὲ τὴν κατ' ἐπιτηδειότητα δύναμιν προειληφότων. Διττὴ γὰρ ἡ δύναμις, ἡ μὲν τοῦ ποιοῦντος, ἡ δὲ τοῦ πάσχοντος, καὶ ἡ μὲν μήτηρ τῆς ἐνεργείας, ἡ δὲ ὑποδοχὴ τῆς τελειότητος. Καὶ δεῖ τό τε ποιῆσον ὑπερπλῆρες εἶναι καὶ περιττὴν ἐνέργειαν ἕτοιμον· οὕτως, ὡς, εἰ καὶ μὴ πάρεστι τὸ ὑποδεξόμενον, αὐτὸ τέλειον εἶναι καὶ περὶ τὴν μετάδοσιν κεκινημένον, τό τε πεισόμενον ὀργᾷν πρὸς τὴν μέθεξιν καὶ ἑαυτῷ προςάγειν τῇ τελεσιουργῷ δυνάμει· κἂν ἐκείνη μὴ παρῇ διὰ τῆς ἀνεπιτηδειότητος τῆς ἄκρας, ἐγηγέρθαι πρὸς τὴν μετουσίαν. Διττῶν γὰρ ὄντων τῶν αἰτίων, τῶν μὲν ἀκινήτων καὶ πανταχοῦ πᾶσι παρόντων, τῶν δὲ κινουμένων καὶ ποτὲ μὲν προςιόντων τοῖς τελειουμένοις, ποτὲ δὲ ἀφισταμένων, καὶ τῶν μὲν νοητῶν ὁμοίως πανταχοῦ παρόντων καὶ πᾶσιν ἐκλαμπόντων ἀεὶ καὶ ὡςαύτως τὰς ἑαυτῶν μεταδόσεις, τῶν δὲ αἰσθητῶν καὶ παρεῖναι καὶ ἀπεῖναι δυναμένων τοῖς μετέχουσιν αὐτόν· (ὥςπερ δὴ καὶ ὁ ἥλιος ποτὲ μὲν πάρεστι καὶ πληροῖ φωτός, ποτὲ δὲ ἄπεστιν·) ὅταν μὲν οὖν ἡ ἐπιτηδειότης ᾖ τοῦ μεθέξοντος πρός

— *με ἔφθης*] D *ἐμε* (sic) *ἔφθης*. — *φησιν*] A *φημι*. — *ὡρμήμην*] B *ὡς μὴ μέν*. — *ἡ δύναμις*] in marg. Cod. D leguntur: *δύναμις. μήτηρ ἐνεργείας. ἐνέργεια.* et tunc: *δύναμις. ὑποδοχὴ τῆς τελειότητος. πάθος.* — *ποιῆσον*] A *ποιήσον*. B *ποίησον*. — *περιττὴν*] cett. *περὶ τὴν*, et ita legendum. — *ἕτοιμον· οὕτως*] B *ἑτοίμου ὄντος*. — *αὐτὸ τέλειον*] D *αὐτοτέλειον*. Bene. Mox pro *ἑαυτῷ* leg. *ἑαυτὸ* ut est in cod. E et in Ficin. Idem proxime *τό τε πεισ. ὀργᾷν π. τ. μεθ.* vertit: „tum etiam quod passurum est ad participationem *gliscat*." Poterat item *gestiat*. Tu Vid. Ruhnken. ad Tim. p. 193 sqq. coll. p. 179 sq. — *τὴν μετάδοσιν*] D *τὴν μετάληψιν*. — *ἀνεπιτηδειότητος*] cett. cum Fic. bene *ἐπιτηδειότητος*, excepto Cod. E, qui eodem, quo Leid., mendo laborat. — *ἐκλαμπόντων*] cett. melius *ἐλλαμπόντων*. — *μετέχουσιν αὐτόν*] A et B *μετεχουσιν αὐτὸν*. D *μετέχ. αὐτῶν*. Quod placet. — *ὅταν μὲν οὖν*] cett. omittunt *οὖν*, sed Cod. E illud exhibet. Bene; redit enim oratio post parenthesin, cujus signa nos exposuimus ad propositum. Inde Fic. vertit: cum, *inquam*, ita se res habeant,

τι τῶν ἀκινήτων, ἅμα τε πάρεστιν αὐτη καὶ ἡ τοῦ ποιοῦντος ἐπιτελεῖται μετάδοσις. Κωλύει γὰρ ἐπὶ τούτων τὴν μετάδοσιν μόνη ἡ τῶν ἐπιδεχομένων ἀνεπιτηδειότης, ἐπεὶ τά γε μεταδώσοντα ἀεὶ δίδωσι καὶ πανταχοῦ ἐστιν ὁμοίως. Τὸ τοίνυν ἐπιτήδειον γεγονὸς μετέχει τοῦ αἰτίου λοιπὸν αὐτόθεν· ὅταν δὲ πρός τι τῶν κινουμένων, πολλάκις καὶ τὸ δεξόμενον ἐπιτήδειόν ἐστι καὶ τὸ μεταδῶσον ἄπεστι. Δεῖ γὰρ καὶ τοῦτο ἐν αὐτῷ γενέσθαι, τόπον δεόμενον εἰς τὴν μετάδοσιν. Ἀλλ' οὖν, ὅπερ ἐλέγομεν, ἀνάγκη κατὰ πάσας τῶν ἀγαθῶν κοινωνίας, τὰ δύο ταῦτα προϋπάρχειν, τὴν τελεσιουργὸν τοῦ δώσοντος δύναμιν, καὶ τὴν ἄκραν ἐπιτηδειότητα τοῦ ληψομένου, καὶ σύνδρομόν πως εἶναι τὴν τελειότητα τοῦ διδόντος τῇ ἐπιτηδειότητι τοῦ δεχομένου, καὶ μετὰ τῆς συνδρομῆς ταύτης κατ' οὐσίαν ὑπερφέρει τὸ ποιοῦν τοῦ πάσχοντος· καὶ μὲν δὴ καὶ τὴν συνδρομὴν οὐκ εἶναι τυχαίαν· οὐ γὰρ ἀπὸ τῶν ἀτάκτων γίνεται καὶ ἀσυντάκτων, ὥςπερ κατὰ τύχην συντρέχοντα ἀλλήλοις· ἀλλ' ὅπου μὲν ἀπὸ δαιμονίας, ὅπου δὲ θεόθεν ἐπιτελεῖσθαι.

[μγ.] Ταῦτα τοίνυν ἔξεστιν ὁρᾷν καὶ ἐπὶ τῆς προκειμένης ταύτης συνουσίας· ἔστι μὲν γὰρ ἐρωτικὴ καὶ ἐπιστημονικὴ τελειότης ἐν Σωκράτει πρόχειρον ἔχουσα τὴν εἰς τὸν ἐρώμενον εὐποιΐαν· ἔστι δὲ καὶ Ἀλκιβιάδῃ τῆς τελειώσεως ἐπιτηδειότης· διὸ καί φησι· μικρόν με ἔφθης, ὡς ἂν καὶ αὐτὸς ἤδη κεκι-

quando aptitudo etc. — *ἐπιδεχομένων*] cett. bene *ὑποδεχομένων.* — *ἐπεὶ τά γε*] A *ἐπὶ τά γε.* — *γεγονὸς*] B *γεγονώς. Τὸ τοίνυν — αὐτόθεν* ita vertit Fic.: „Quod igitur evasit, aptum fit, et causae subito particeps." Videtur corrigendum esse: „Quod evasit aptum, fit causae — particeps." Laborat enim haec versio haud paucis vitiis typographicis. — *δεῖ γὰρ*] B om. *δεῖ.* — *τόπον δεόμενον*] cett. cum Ficino rectius *τόπου δεόμενον.* Fic.: „Oportet enim hoc *et nuper* (?) adesse, quandoquidem locum requirit ad dandum." — *τῶν ἀγαθῶν*] cett. *τὰς τῶν ἀγαθῶν*, excepto Cod. E. — *ὑπερφέρει*] B *ὑπε$^{\varphi\varepsilon}$ραίρει* (sic) D *ἐπιφέρειν.* Fic., vertens *superferri*, legisse videtur *ὑπερφέρειν*, quod probum existimo. — *ὥςπερ κατὰ τυχὴν*] B *ὥςπερ γὰρ κατὰ τύχης.* D *ὥςπερ τὰ κατὰ τύχην.* Hoc placet. — *ἀλλ' ὅπου μὲν*] B et D addunt: *γίνεσθαι κατὰ φύσιν· ὅπου δὲ κατὰ νοῦν· καὶ ὅπου μέν.* Eademque addita sunt in versione Ficini, quare oculum librarii nostri (et Codd. A C et E) aberasse credo propter repetitum *ὅπου μέν.* — *ἀπὸ δαιμονίας*] cett. add. *αἰτίας.* Recte.

*Ἔξεστιν*] B *εἰ ἔστιν.* — *τῆς τελειώσεως ..... καὶ αὐτὸς ἤδη*] haec omissa sunt in B. — *διὸ καί φησι*] D *διό φησι.* — *μικρόν με ἔφθης*] D *σμικρόν με ἔφθης.*

νημένος ὑφ' ἑαυτοῦ πρὸς τὸν Σωκράτην· πρόεισι δὲ ὁ Σωκράτης ἐν τῷ νεανίσκῳ· (τῶν γὰρ κινουμένων ἦν πραγμάτων) καὶ συντρέχουσιν ἀλλήλοις· ὅ τε ἐραστὴς ὁ θεῖος ἑαυτὸν ἔχων καὶ τὴν ἀφ' ἑαυτοῦ πρόνοιαν εἰς τὸν ἐρώμενον καὶ ὁ ἐρώμενος ἐγείρων ἑαυτὸν εἰς τὴν τοῦ ἐραστοῦ μετουσίαν καὶ τῆς συνδρομῆς ταύτης ὁ δαίμων ἐστὶν ἡγεμὼν ἀγαθὸς τὸν καιρὸν ἀφωρίσας τῷ Σωκράτει τῆς συνουσίας. Ἄνωθεν γὰρ ὁ καιρὸς ἀπὸ τῶν θείων ἀρχόμενος πρόεισιν ἄχρι τῶν ἐσχάτων· καὶ ἄλλος μὲν ὁ παρὰ τῶν θεῶν ἀφοριζόμενος, ἄλλος δὲ ὁ δαιμόνιος, ἄλλος δὲ ὁ εἱμαρμένος, ἄλλος δὲ ὁ τυχαῖος· τύχη γάρ φησι καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι σύμπαντα. Διότι δὲ αὖ πανταχοῦ τὸ τελειοῦν προκατάρχει τῆς μεταδόσεως τῶν ἀγαθῶν, καὶ ἀνακινεῖ πως τὸ δυνάμει πρὸς τὴν μετουσίαν, διὰ τοῦτό φησι· μικρὸν ἔφθης. Ἔς τ' ἂν μὲν γὰρ ἀνεπιτήδειος ᾖν τὸ ληψόμενον, πολλή τίς ἐστιν αὐτῶν ἡ διαφορότης· ὅταν δὲ ἐπιτήδειον γίνηται, σμικρὸν φθάνει τὸ τελειοῦν, δι' ἣν εἴπομεν αἰτίαν· ὅταν δὲ ἤδη συναφθῇ ταῦτα ἀλλήλοις, τοσαύτην ἔχει πρὸς ἄλληλα κοινωνίαν, ὥστε καὶ τὸ ποιοῦν ἐν τῷ πάσχοντί πως θεωρεῖται καὶ τὸ πάσχον ἐν τῷ ποιοῦντι. Διὸ δὴ καὶ ἐν τῇ δημιουργίᾳ τοῦ παντός τινες εἰς τὴν κοινωνίαν ταύτην ἰδόντες, καὶ τὴν ὕλην αὐτὴν εἰς ἑαυτὴν ποιεῖν εἰρήκασι, καὶ αὐτὴν τελειοῦν ἑαυτὴν κοσμουμένην καὶ τὸ ποιοῦν ἔνυλον ἔθεντο, μήτε τὸ πάσχον τοῦ ποιοῦντος, μήτε τὸ ποιοῦν τοῦ πάσχοντος χωρίσαι δυνηθέντος. Ταῦτα μὲν δὴ

— ὑφ' ἑαυτοῦ] cett. ἀφ' ἑαυτοῦ, excepto E. — ἐν τῷ νεανίσκῳ] cett. om. ἐν, in Cod. E scriptum est, sed punctis subscriptis damnatum videtur. Fic. vertens: *Socrates cum Alcibiade opportune concurrit*, haec omnia pro more contraxit. Illud πρόεισι ὁ Σωκράτης ἐν τῷ νεανίσκῳ explicandum est ita, ut cogites quae deinceps sequuntur. ὥστε καὶ τὸ ποιοῦν ἐν τῷ πάσχοντί πως θεωρεῖσθαι. — ἡγεμὼν ἀγαθὸς] cett. ἀγαθὸς ἡγεμὼν, sed E nostrum verborum ordinem exhibet. — ἀπὸ τῶν θείων] B ὑπὸ τῶν θείων. — τυχαῖος] A τυρχαῖος. Quae sequitur sententia iisdem fere verbis legitur in sacro codice, Eccles. IX, 11. Post eam quindecim paginas in versione transiliit Fic. — τὸ τελειοῦν] D τὸ τέλειον. — μικρὸν ἔφθης] A E et B ὅτι μικρόν με ἔφθης. D ὅτι σμικρόν με ἔφθης. Bene. — ἐς τ' ἂν] D ὥστ' ἂν (sic). Scrib. ἔστ' ἂν. — ἀνεπιτήδειος ἦν] A et B ἀνεπιτήδειον ἦν. D ἀνεπιτήδειον ᾖ. Bene. — συναφθῇ] D συναφῇ. — ἐν τῷ πάσχοντι] D καὶ τῷ πάσχοντι. — θεωρεῖται] A θεωρῆσθαι. B θεωρήσασθαι. D θεωρεῖσθαι. Quod placet. — χωρίσαι] B χαρίσαι. — δυνηθέντος] cett. δυνηθέντες. Bene. — ταῦτα μὲν δὴ .... ὁρμηθέντες] haec omissa sunt in D.

περὶ τοῦ καιροῦ τῆς συνουσίας ἐκ τῶν προκειμένων ὁρμηθέντες ἔχομεν λέγειν. Δοκεῖ δέ μοι διὰ τῶν τοιούτων ὁ νεανίσκος δύο ταῦτα μάλιστα θαυμάσαι τοῦ Σωκράτους, τήν τε ἀγαθοειδῆ βούλησιν αὐτοῦ καὶ τὴν δύναμιν τὴν προνοητικήν· ἃ δὴ καὶ ἐν ταῖς ἀρχικωτάταις αἰτίαις τῶν ὄντων διαλάμπει καὶ ἐν τῇ δημιουργικῇ τάξει διαφερόντως προτίθεται καὶ τῆς ὅλης ἐξάρχει διακοσμήσεως. Βουληθεὶς γάρ φησιν ὁ θεὸς ἀγαθὰ πάντα εἶναι κατὰ δύναμιν διεκόσμησε τὸ πᾶν, τῇ μὲν βουλήσει προτείνων τὸ ἀγαθὸν τοῖς ὅλοις, τῇ δὲ δυνάμει πάντα καταγωνιζόμενος, καὶ πανταχοῦ διατείνων τὰς ἑαυτοῦ ποιήσεις. Ταῦτα δὴ οὖν καὶ ὁ Σωκράτης ἀπομιμούμενος βούλησιν τὴν ἄφθονον προεστήσατο τῆς τελειώσεως τῶν χειρόνων καὶ δύναμιν, πανταχοῦ τῷ ἐρωμένῳ παρὼν, καὶ εἰς τάξιν ἄγων αὐτὸν ἀπὸ τῆς ἀταξίας. Τοῦτο οὖν θαυμάζει καὶ ὁ νεανίσκος, τί ποτε βούλεται, καὶ ὅπως αὐτῷ συντόνως καὶ προνοητικῶς (τοῦτο γὰρ ἐπιμελέστατα πανταχοῦ πάρεστι) καὶ εἴπερ ἠδύνατο, καὶ τὸ πλημελῶς καὶ ἀτάκτως κινούμενον λέγειν τι πρὸς τὸν δημιουργὸν, τὰς αὐτὰς ἂν ταύτας φωνὰς ἀφῆκε· τῷ ὄντι σου θαυμάζω καὶ τὴν βούλησιν, καὶ τὴν ἀγαθουργὸν, καὶ τὴν δύναμιν, τὴν καὶ μέχρις ἐμοῦ διήκουσαν καὶ πανταχοῦ παροῦσάν μοι καὶ διακοσμοῦσαν πανταχόθεν. Δαιμόνιον οὖν τοῦτο

— *ἔχομεν λέγειν*] cett. melius *εἴχομεν λέγειν*. — *ἀρχικωτάταις*] cett. *ἀρχηγικωτάταις*. Bene. — *τῇ δὲ δυνάμει*] in marg. cod. D: *ση. περὶ τοῦ εἰς τὸν τίμαιον ῥητοῦ*. Vid. Platonis Timaeum p. 30 Part. III. Vol. II p. 25 Bekkeri. — *τῷ ἐρωμένῳ παρὼν*] B *τῶν ἐρωμένων παρών*. — Sequentia *εἰς τάξιν* — *ἀταξίας* leguntur in eodem loco Platonis praeter quam quod ibi est *ἐκ τῆς ἀταξ.* — *ἐπιμελέστατα*] A et B *τὸ ἐπιμελέστατα*. D *τὸ ἐπιμελέστερον*. Locus aperte est corruptus, neque, nisi rescissis aliquot vocabulis, sensus prodire videtur commodus. Ita igitur legerim: *Τοῦτο οὖν θαυμάζει καὶ ὁ νεανίσκος, τί ποτε βούλεται, καὶ ὅπως αὐτῷ συντόνως καὶ προνοητικῶς (τοῦτο γὰρ ἐπιμελέστατα) πανταχοῦ πάρεστι· καὶ εἴπερ ἠδύνατο λέγειν τι πρὸς τὸν δημιουργὸν, τὰς αὐτὰς ἂν ταύτας* (vel *ταύτας ἂν*) *φωνὰς ἀφῆκε·* Nisi forte ex codicum vestigiis ita legi malueris: — *πανταχοῦ πάρεστι, καὶ, εἴπερ ἠδύνατο καὶ τὸ πλημμελὲς καὶ τὸ ἀτάκτως κινούμενον λέγειν τι πρὸς τὸν δημιουργὸν, τὰς κτλ.* — *καὶ εἴπερ*] D om. *καί*. — *πλημελῶς* A et D *πλημμελῶς*. Recte. B *πλημμελές*. — *καὶ τὴν ἀγαθουργὸν*] cett. om. *καί*. In Cod. E vox *καὶ* punctis subscriptis spuria declaratur merito. — *παροῦσάν μοι*] B om. *μοι*. — *διακοσμοῦσαν*] D add. *με*. Proxime pro *τῷ μηδένα* fortasse aliquis conjiciat *τὸ μηδένα*. Ego hoc loco, ubi Socratis cura cum dei providentia componitur, haud alienum arbitror verba Galeni apponere, qui

καὶ θεῖον τῷ Σωκράτει μαρτυρεῖ καὶ τοῖς πάντα ἑαυτῶν πεπληρωκόσιν ὅμοιον, τῷ μηδένα καιρὸν, μηδὲ τόπον ἔρημον ἀφιέναι τῆς περὶ τὸν ἐρώμενον προνοίας. Διὸ καὶ εἰκότως ἐπήνεγκεν ἐκεῖνος, ὅτι δὴ τῷ ὄντι θαυμάζει τὸ κατ' αὐτόν· καὶ οὐκ οἴεσθαι δεῖν τοῦτο, καθάπερ ἔλεγεν ὁ Σωκράτης, ἀλλὰ πεσεῖσθαι· πάλιν τοίνυν τὸ μὲν ἴσως οὐκ οἶσθα καὶ μιμεῖται τὴν ἀρχὴν τῶν Σωκρατείων λόγων καὶ τὴν ὕφεσιν ἐνδείκνυται τὴν ἐν τῷ νεανίσκῳ πρὸς τὸν καθηγούμενον τῆς συνουσίας· τὸ μὲν γὰρ ἴσως ἔοικε τῷ οἶμαί σε θαυμάζειν, τὸ δὲ οἶσθα τῆς ἐπιστήμης ἀπολιμπάνεται τοῦ Σωκράτους· ᾔδει γὰρ ἐκεῖνος, ὅτι θαῦμα τῷ νεανίσκῳ κεκίνηκε· τὸ δὲ ἐν νῷ ἔχειν προσελθεῖν αὐτῷ πάνυ σφόδρα δεδήλωκεν, ὅτι διὰ νοῦ πρὸς τὸν ἔνθεον ἐραστὴν ἡμῖν ἡ συναφὴ, καθάπερ δὴ διὰ τῶν παθῶν πρὸς τὸ φορτικόν. Καὶ γὰρ νοῦς μὲν εἰς θεὸν ἄγει τὴν ψυχήν· πάθος δὲ εἰς ὕλην· τὸ δὲ τί ποτε βούλει σημαίνειν ἔοικεν, ὅτι τὸ μὲν ὄντως ἀγαθὸν πᾶσι πρόκειται εἰς θέαν· διὸ τὸ μὲν Σωκράτους ἄδηλόν ἐστι τῷ νεανίσκῳ τέλος, τὸ δὲ ἐν αὐτῷ ἀγαθὸν παντὶ δῆλον ἐλέγετο παρὰ τοῦ Σωκράτους· τὸ δὲ ἐνοχλεῖς με οὐκ ἔστι τοιοῦτον, οἷον τὸ πρόσθεν εἰρημένον, τὸ δι' ὄχλου ἐγένοντό σοι· ἀλλ' ὥς φησιν ὁ θεῖος Ἰάμβλιχος, ἴσον δύναται τῷ εἰς ἀπορίαν καταβάλ-

utrumque vocabuli significatum commoda explicat. Ita enim ille in Comm. in Prognost. Hippocr. p. 118 Basil. *Οὐ κατὰ τὸ κοινὸν τῶν Ἑλλήνων ὁ Ἱπποκράτης δοκεῖ χρῆσθαι τῷ τῆς προνοίας ὀνόματι· τὴν γάρ τοι φροντίδα καὶ τὴν ἐπιμέλειαν οὕτως ὀνομάζουσιν.* (sequitur locus ex Euripidis Hecuba desumptus vs. 569. al. 572). *Καὶ μὲν δὴ καὶ τὸ προνοεῖσθαι ῥῆμα κατὰ πάσας τὰς ἐγκλίσεις, ἄπειρον τῷ πλήθει παρὰ τοῖς Ἕλλησίν ἐστιν, ἐπὶ τοῦ φροντίζειν τινὸς, ἢ προπαρασκευάζειν ἀεὶ τὸ συμφέρον, λεγόμενον· ἀλλὰ καὶ τὸ προνοίᾳ τὸν κόσμον διοικεῖσθαι, τοῦτο δὴ τὸ πολυθρύλλητον πρόβλημα, ταὐτὸν ἐνδείκνυται σημαινόμενον.* — *ἐπήνεγκεν*] A *ἐπήναγκεν.* D *ἐπήν....* seq. parv. lac. — *οἴεσθαι δεῖν*] cett. *οἴεσθαι δεῖ.* Bene. — *πεσεῖσθαι*] cett. recte *πεπεῖσθαι*, excepto E. — *οὐκ οἶσθα*] B *οὐ μὴν οἶσθα.* — *τὸ δὲ οἶσθα*] A et D bene *τὸ δὲ οὐκ οἶσθα.* B *τὸν δὲ οὐκ οἶσθα.* — *καθάπερ δὴ*] B om. *δή.* — *τὸ φορτικὸν*] B et D bene *τὸν φορτικόν.* — *πάθος δὲ*] B om. *δὲ.* — *ὅτι τὸ μὲν ὄντως*] B *ἔτι τὸ μ. ὄ.* — *ὄντως ἀγαθὸν*] cett. addunt: *ὃ καὶ βουλητόν ἐστι, ἄγνωστον καὶ ἄβατον τοῖς ὄμμασιν τῶν πολλῶν· τὸ δὲ δοκοῦν εἶναι ἀγαθόν.* Sed eadem absunt a Cod. E. Verumtamen addi debent illa sensu flagitante. — *Ἰάμβλιχος*] in marg. cod. D. *ση. τὴν Ἰαμβλίχου ἐξήγησιν· καὶ ὅτι ἡ ἀπορία δεσμός τίς ἐστι τῆς ἀπορούσης ψυχῆς.* Hac explicatione Jamblichi augeri poterunt Scholia in hunc dialogum edita. — *καταβάλλεις*] B *καταβάλλειν.* D *με*

λεις ζητοῦντα τὴν αἰτίαν καὶ τὸ τέλος τῆς σιωπῆς καὶ τῆς συντόνου ταύτης παρακολουθήσεως. Καὶ γάρ ἐστιν ὄντως τὸ ἀπορεῖν δεσμός τις ἀπορούσης ψυχῆς καὶ κώλυσις τῆς ἐνεργείας καὶ οἷον ὄχλησις. Τὸ δὲ ἥδιστα ἂν πυθέσθαι τὴν τοῦ ἀντερῶντος ἤδη προφαίνει δύναμιν· τὸ γὰρ ἐπιστρέφειν τὸ χεῖρον εἰς τὸ βέλτιον, καὶ ὀρέγεσθαι τῆς ἐκείνου συνουσίας ἀρχή τίς ἐστι καὶ οἷον ἐμπόρευμα τοῦ ἀντέρωτος. Καὶ ὁρᾷς πάλιν, ὅτι τοῖς μὲν φορτικοῖς ἐρασταῖς συνὼν οὐ καθ' ἡδονὴν ἐλέγετο συνεῖναι, ἀλλὰ δι' ὄχλου ἑαυτῷ ἐγίνοντο· τῷ δὲ Σωκράτει πρόεισι μεθ' ἡδονῆς. Τοῦτο δὲ ἐνδείκνυταί που τὴν μὲν εἰς ὕλην ῥέπουσαν ζωὴν ἀσχάλλειν καὶ λυπεῖσθαι διὰ τὰ ἐκεῖθεν ἐμπόδια τῆς ζωῆς ἐκ τῆς ὕλης ἐφήκει ταῖς ψυχαῖς, ἡ δὲ ῥαστώνη καὶ τὸ εὔλυτον ἀπὸ νοῦ καὶ θεῶν· ἐκεῖ γάρ ἐστι τὸ ῥεῖα ζῆν παρὰ τοῖς θεοῖς.

[μδ.] „Ἀκούσῃ μὲν ἄρα μου, ὡς τὸ εἰκός, προθύμως, εἴ„περ, ὥς φῃς, ἐπιθυμεῖς εἰδέναι, τί διανοοῦμαι καὶ ὡς „ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω. — Πάνυ μὲν οὖν· „ἀλλὰ λέγε. — Ὅρα δή· καὶ γάρ τοι εἴη ἂν θαυμαστὸν, „εἰ, ὥςπερ μόγις ἠρξάμην, οὕτω μόγις καὶ παυσαίμην. —

*καταβάλλεις*. Praestat hoc lectioni Codicis Leid. — *ἀπορούσης*] cett. *τῆς ἀπορούσης*, excepto E. — *ἀντερῶντος*] A *ἀντέρωντος*. B *ἀντέροντος*. D *ἀντέρωτος*. — *πρόεισι*] D *πρόσεισι*, quod placet. Paulo superius pro *ἑαυτῷ* malim *αὑτῷ*. Proxime verbo *ἀσχάλλειν* Proclus adjunxit *λυπεῖσθαι*, quo ipso Grammatici illud explicare solent. Hesych. I. 1663: *ἤσχαλλον· ἐλυποῦντο*. cf. idem p. 592 Alb. Suid. I. pag. 364 Kust. Etym. magn. p. 161 Heidelb. p. 146 Lips. Etymol. Gud. p. 88. p. 100. De constructione ejusdem verbi usuque consule Sturz. Lex. Xenoph. I. p. 454. Schweigh. L. Polyb. p. 99. Irmisch. Indic. Herodian. p. 455. — *ἐκεῖθεν ἐμπόδια*] cett. addunt: *τὴν δὲ εἰς νοῦν ἀναγομένην, εὐφροσύνης πληροῦσθαι· τὰ μὲν γὰρ ἐμπόδια..* et haec addenda sunt. Mox *ῥεῖα ζῆν* respicit ad Il. ζ,138.

In Platonis loco scribendum *ἀκούσῃ* aut potius *ἀκούσει*. Paulo inferius in Cod. E recte scriptum est *ὡς φῄς*, ut infra pag. 129. — *τί διανοοῦμαι*] B om. *τι*. Ante haec vocabula in Edd. est *καὶ ἀκοῦσαι* et adesse debet. Mox pro *καὶ γάρ τοι* in Edd. legitur *οὐ γάρ τοι*, et ita ipse Proclus infra, tertia post hanc pagina, et Priscianus XVIII. 14 p. 1136 Putsch. p. 161 Krehl. eo in loco ubi de subjunctivo latinorum pro Optativo Graecorum sine *ἄν* praecipit, atque haec verba ita vertit: „Vide autem: non enim sit mirum, si, quomodo vix coepi, sic vix desiero." — *περιμενοῦντι*] B *περὶ μὲν οὖν τί*. — *καὶ παυσαίμην*] D om. *καί*.

„Ὦ ἀγαθὲ, λέγε· ἀκούσομαι γάρ. — Λεκτέον ἂν εἴη.“ (p. 104. d. e. Bekk. p. 301.)

Τὰς ὑποθέσεις πανταχοῦ τῶν λόγων ἐλαχίστας εἶναι δεῖ καὶ ἁπλουστάτας· ὅσῳ γὰρ ἂν μᾶλλον ὦσι τοιαίδες, τοσούτῳ τῆς ἀνυποθέτου λεγομένης ἐπιστήμης ἐγγυτάτω τυγχάνουσιν οὖσαι. Σκέψαι δὴ οὖν, ὅπως καὶ τοῦτο ὁ Σωκράτης ἄκρως παραφυλάττει· προςαγαγέσθαι γὰρ καὶ τελειῶσθαι τὸν νεανίσκον βουλόμενος, οὔτε προοιμίων δεῖται μακρῶν, ὥςπερ οἱ ῥήτορες, οὔτε ὑποθέσεων ποικίλων καὶ πολλῶν, ἀλλ᾽ ἀπαιτεῖ τοσοῦτον μόνον, νῦν μὲν αὐτὸν ἀκροάτην γενέσθαι τῶν λόγων, ὡς ἐρεῖν, μικρὸν δὲ ὕστερον καὶ ἀποκρίνεσθαι ταῖς ἐρωτήσεσι· τοσαύτην ἑαυτῷ μαρτυρεῖ καὶ ἐπιστήμην τῶν πραγμάτων καὶ δύναμιν διαλεκτικήν· καὶ τούτων αὐτῷ μόνον συγχωρηθέντων, ἀνύσει τὸ προκείμενον· Διατί οὖν, φαίης ἂν, προηγεῖται τὸ ἀκοῦσαι μόνον τοῦ διδόναι λόγον; ὅτι, φήσω, διὰ τῆς ἀκοῆς ἀνακινηθῆναι δεῖ αὐτὸν πρὸς τὴν ἀπόκρισιν, καὶ παρασκευὴν λαβεῖν εἰς τὸ καὶ αὐτόν τι λέγειν ὀρθὸν, οἷον ἐκ πραγμάτων πρώτων φύοντα τὰς τῶν λόγων ἀδιαστρόφους ἀποκρίσεις. Ἓν μὲν οὖν τοῦτο τοιοῦτον ἔχομεν ἐκ τῶν προκειμένων ῥημάτων· δεύτερον δὲ, ὅτι διὰ τῆς μελήσεως καὶ τῆς ἀναβολῆς τοῦ λόγου πάνυ λιπαρῆ ποιεῖ τὸν νεανίσκον περὶ τὴν ἀκρόασιν, καὶ τὸν ἔρωτα τῶν λόγων ἄξει τῶν ἐν αὐτῷ. Ἐρωτηθεὶς γὰρ οὐκ εὐθὺς ἀπεκρίνατο πρὸς τὴν ἐρώτησιν, οὐδὲ εἶπε, τί ποτε βούλεται καὶ ἥντινα ἐλπίδα ἔχων ὑπομένει· ἀλλὰ πρῶτον μὲν ὁμολογίαν αὐτὸν ἀπήτησε τῆς ἀκροάσεως· τοῦ δὲ διατειναμένου καὶ παρακελευσαμένου λέγειν οὐδὲ οὕτως εἶπεν, ἀλλά τι προςέθηκεν ἄλλο· ὅρα δή· οὐ γάρ τοι εἴη ἂν τοῦδε ἔτι λιπαρώ-

Ὦ ἀγαθὲ] cett. Ὦ 'γαθὲ, recte. Sed E cum nostro facit. — ὦσι τοιαίδες] A et B ὦσιν τοιαίδε. D ὦσι τοιαῦται. Cod. E a prima manu τοιαίδες, sed correxit alius τοιαί δε. Voluit τοῖαίδε vel τοιαῖδε. — ἀνυποθέτου] B ἀνευθέτου — τελειῶσθαι] cett. τελειῶσαι, bene. Sed E cum nostro facit. — αὐτὸν ἀκροάτην] D ordine inverso; haud incommode. Sed scrib. ἀκροατήν. — ὡς ἐρεῖν] cett. bene ὧν ἐρεῖ, excepto E. — φήσω] B φῦ^σ (sic). Paulo ante μόνου est in Cod. E. — τι λέγειν ὀρθὸν] A et D τι λέγειν τὸ ὀρθὸν. B τι λέγειν τὸν ὀρθὸν. — ἓν μὲν οὖν] A ἐν μὲν οὖν. Linea subsequente scribendum μελλήσεως, ut est in Cod. E. — ἄξει] cett. αὔξει. Bene. — ὑπομένει] B ὑπομένειν. — διατειναμένου] B διατεινομένου. — εἴη ἂν] D add. θαυμαστὸν. — τοῦδε] D et B τοῦ δὲ.

τερον εἰπεῖν προκαλεσαμένου· ὦ ἀγαθὲ, λέγε, ἀκούσομαι γάρ. Οὐδὲ νῦν λέγει, ἀλλὰ λεκτέον ἂν εἴη, καὶ τὸ ἑξῆς τῶν λόγων προοίμιον ἀναβολὴν ἱκανὴν παρέχεται ταῖς ἀποκρίσεσιν ἐκθερμαίνων (f. ἐκθερμαῖνον) τὸν νεανίσκον περὶ την τῶν ῥηθησομένων ἀκρόασιν.

[με.] Ταῦτα καὶ περὶ τούτου. Τῶν δὲ καθ' ἕκαστα, τὸ μὲν εἴπερ ὡς φὴς, ἐπιθυμεῖς, οὐ δι' ἄγνοιαν εἴρηται τῆς τοῦ νεονίσκου προθυμίας, ἀλλ' οἷον ὁμολογία τίς ἐστιν αὐτοῦ καὶ δεσμὸς, ἐῤῥωμενέστερον αὐτὸν ἀπεργαζόμενος καὶ προςεκτικώτερον πρὸς τοὺς λόγους· τῷ δὲ δικαίως ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω κατ' ἐρώτησιν προῆκται, διὰ τῆς ἀκοῆς μὲν τὸν λόγον αὐτοῦ διεγεῖρον πρὸς τὴν ὑποδοχὴν τῶν λόγων, διὰ δὲ τῆς προςεδρίας τὴν εὐκινησίαν τοῦ λόγου καὶ τὴν ἔκπληκτον ὁρμὴν καταστέλλον. Τὸ δὲ πάνυ μὲν οὖν· ἀλλὰ λέγε μεμέρισται κατά τε τὴν ἀπολογίαν καὶ τὴν πρόκλησιν· δεῖ γὰρ τὸ μεθέξον καὶ ὑποστρωννύειν ἑαυτὸν τῷ χορηγοῦντι τὴν τελείωσιν, καὶ προςκαλεῖσθαι τὴν δύναμιν αὐτοῦ πρὸς τὴν τοιαύτην συνουσίαν. Καὶ ὅρα δὴ, πῶς πρὸς ἑαυτὸν ἐπιστρέφει τὸν νεανίαν, καὶ κατασκευάζει νῷ καὶ λόγῳ χρῆσθαι τῆς ἀκροάσεως καὶ μόνον οὐκ ἐκεῖνον λέγοντος αὐτὸν ἰδεῖν ἐν δυσὶ, καὶ διὰ τούτου τὴν ἐπιτηδειότητα αὐτοῦ τέλειον μένον. Τὸ δὲ, ὦ ἀγαθὲ λέγε, ἐφετὸν μὲν ποιεῖ Σωκράτην τῷ νεανίσκῳ, ἐραστὴν δὲ τὸν ἐρώμενον· τὸ γὰρ ἀγαθὸν ἐφετόν ἐστι, καὶ ὁ ἔρως πρὸς τὸ ἀγαθὸν ἄγει τοὺς ἐρῶντας, ὡς ὁ τῆς Διοτίμας λόγος. Διατί οὖν προςείρηκεν αὐτὸν ἀγαθόν;

— ὦ ἀγαθὲ] cett. ὦ 'γαθὲ, sed E ut noster.

*Περιμενοῦντι*] B *περὶ μὲν οὖν τί.* Paulo superius Cod. E *δικαίως*, ut reliqui, sed in margine optime *ἴσ. καὶ ὡς.* Tum idem *λόγῳ*, sed suprascr. *λέγω.* — *λέγω*] A *λόγω.* — *διεγεῖρον*] B *διεγείροι.* — *προςεδρίας*] cett. *προςεδρείας.* — *καταστέλλον*] cod. D *καταστέλλων.* Hoc admisso, proxime scribendum erat *διεγείρων.* — *ἀλλὰ λέγε*] B *ἀλλ' ἢ λέγε.* — *μεμέρισται*] B *μεμήρισται.* — *ἀπολογίαν*] cett. rectius *ὁμολογίαν*, excepto Cod. E. — *πρόκλησιν*] B *πρόςκλησιν.* — *ὑποστρωννύειν ἑαυτὸν*] B et D bene *ὑποστρ. ἑαυτὸ.* Cod. E *ὑπεστρωννύειν.* — — *ἐκεῖνον λέγοντος*] B *ἐκείνου λέγοντος.* — *αὐτὸν ἰδεῖν*] cett. *αὐτὸν ἰδὼν*, sed Cod. E ut noster. — *τέλειον μένον*] cett. *τέλεον μένον.* Mendum esse suspicor in hac periodo. An leg. *τελειούμενον?* — *ὦ ἀγαθὲ*] cett. *ὦ 'γαθὲ*, excepto E. — *ἄγει*] B *ἄγειν.* Locus est Platonis in Sympos. c. 24. Wolf. — pag. 204. e. et 206. a. Bip. T. X. Bekk. II, 2. p. 432. 434.

ἢ τὸ δαιμόνιον αὐτοῦ καὶ τὸ θεῖον θαυμάσας, ταύτην προςενέγκατο τὴν φωνήν; τὸ γὰρ προνοητικὸν καὶ τὸ δαιμόνιον καὶ τὸ τελεσιουργὸν ἀγαθότητός ἐστι. Τί οὖν δὴ βούλεται λοιπὸν τὸ πρὸ τοῦ ῥηθέν; οὐ γάρ τοι εἴη ἂν θαυμαστὸν, εἰ, ὥςπερ μόγις ἠρξάμην, οὕτω καὶ μόγις παυσαίμην, ἢ συνηρημένως περιέχει τὴν αἰτίαν τῆς ἐρωτήσεως τοῦ νεανίσκου· διὰ τοῦτο γὰρ ἐκίνει τοὺς λόγους προϊὼν, διότι καὶ μόγις ἄρχεται. Δεῖ γὰρ τὸν ὡς ἀληθῶς ἐρωτικὸν ἀμφότερα προβεβλημένα ἔχειν, τό τε κριτικὸν τῶν ἐρωμένων καὶ τὸ συμπαθές· ἡ μὲν γὰρ κρίσις, τῆς συμπαθείας χωρὶς, ἐμποδὼν ποιεῖ τὸν ἔρωτα, καὶ εἰς δή τινα ἄλλην περιάγει ζωὴν, ἡ δὲ συμπάθεια τῆς κρίσεως ἐστερημένη προςκολλᾷ τοῖς χείροσι τὴν ψυχήν. Δεῖ δὲ οὔτε ἄσχετον πάντη τῷ ἐρωτικῷ ζωῆς, οὔτε ἔνυλον σχέσεως, ἀλλ' οἷον ἀσχέτου τινὸς ἅμα σχέσεως, ἵνα καὶ προνοῇ τῶν ἀτελεστέρων καὶ μὴ βαρύνῃ περὶ αὐτά. Τούτων δὴ οὖν ἀμφοτέρων στοιχείων ὄντων τῆς ἀληθοῦς καὶ θείας ἐρωτικῆς, κρίσεως λέγω καὶ συμπαθείας, ἡ μὲν κρίσις, ἡ περὶ τὸν ἐρώμενον, αἰτία τῷ Σωκράτει μόγις ἄρχεσθαι γέγονε, (δεῖ γὰρ χρόνου πρὸς τὴν διάσκεψιν τῆς δυνάμεως καὶ τῆς φύσεως)· ἡ δὲ συμπάθεια τοῦ μόγις παύεσθαι· διὰ γὰρ τὰ τοιαῦτα οὐκ ἀπαλλάττεται τοῦ ἔρωτος, οὐδὲ τῶν ἐρωτικῶν λόγων. Ἔτι δὲ αὖ κατ' ἄλλον τρόπον λέγομεν, ὅτι καὶ τοῦτο πολλαχοῦ θεωρεῖται περὶ τὴν πρόνοιαν τῶν θεῶν καὶ τῶν ἀγαθῶν δαιμόνων τί μόγις ἄρχεσθαι καὶ παύεσθαι μόγις. Καὶ γὰρ πολλῶν πολλὰ ἁμαρτανόντων, μόλις ἡ κόλασις αὐτῶν ἄρχεται, καὶ ἀρξαμένη πλεῖστον ὅσον ἐπιμένει χρόνον, καὶ

— *προςενέγκατο*] A *προςηνέγκατο*. B et D *προηνέγκατο*. Bene. — *τὸ δαιμόνιον*] cett. *τὸ μόνιμον*. — *ῥηθὲν; οὐ*] A et D *ῥηθὲν, τὸ, οὐ*. B *ῥηθέντος, οὐ*. E *ῥηθέν, τὸ· οὐ*. Bene. — *ἄσχετον*] cett. bene *ἀσχέτου*, excepto E. Idem Codex linea hanc praecedente perperam *συμπάθια*. — *ἔνυλον*] cett. item recte *ἐνύλου*, sed E *ἔνυλον*, ut noster. — *προνοῇ τῶν*] B *προνοητῶν*. — *τούτων δὴ*] B *τούτου δή*. — *αἰτία τῷ Σωκρ.*] D *αἲ τω Σωκρ*. Quod statim subsequitur legendum videtur *τοῦ μόγις ἄρχ*. uti mox scriptum est *τοῦ μόγις παύεσθαι*. De scriptione diversa *μόγις* et *μόλις* vid. Sturz. ad Maittair. de Dialect. p. 2. — *ὅτι καὶ τοῦτο*] B *ὅτι καὶ τοῦ*. — *τί μόγις*] cett. *τὸ μόγις*, quod probo. — *πολλὰ ἁμαρτανόντων*] D om. *πολλά*. — *αὐτῶν ἄρχεται*] B *αὐτῶν ἔρχεται*. Ad sententiam cf. Plutarch. de S. N. V. p. 548 C. p. 3. ed. Wytt. Tom. III. p. 214 in opp. Plutarch. ed. Wytt.

πολλῶν πολλὰ ἀγαθὰ πραττόντων, ἡ περὶ αὐτοὺς ἐκ τῆς προνοίας ἀμοιβὴ μόλις ἄρχεται καὶ διατείνει καθ' ὅσον δύναται. Οὕτω τοίνυν καὶ ὁ Σωκράτης κατὰ τὸν τοῦ θείου ζῆλον καὶ μόγις ἄρχεται τῶν λόγων καὶ διατείνει πλεῖστα ὅσα τὸν νεανίσκον εὖ ποιῶν· καὶ τοῦ μὲν ἄρξασθαι μόλις τὸ, τὸ ὑποκείμενον αἴτιον ἀνεπιτήδειον ὂν, τοῦ δὲ παύσασθαι μόλις, τὸ ὑπερπλῆρες τῆς δυνάμεως αὐτοῦ κατὰ τὸ τῆς εὐεργεσίας ἄφθονον. Οὐκ ἄρα θαυμαστόν ἐστιν καὶ τῷ δέοντι καὶ τῷ καιρῷ παραμετρεῖν τὴν θείαν ἐνέργειαν· καὶ ἐπὶ τούτου διαφερόντως ἐστὶν ἀληθὲς, ὅτι ὁ καιρὸς ἐπὶ τοῦ στόματος ἐπεκαθέζετο· κατὰ γὰρ τὸ ἀγαθὸν καὶ τὰς ἀρχὰς καὶ τὰ τέλη καὶ τὰ μέσα τῶν συνουσιῶν κατεβάλετο.

[μς.] „Χαλεπὸν οὖν, πρὸς ἄνδρα οὐχ ἥττονα ἐραστῶν „προςφέρεσθαι ἐραστῇ· ὅμως δὲ τολμητέον φράσαι τὴν „ἐμὴν διάνοιαν.“ (p. 104. e. Bekk. p. 301.(

Τὸ προοίμιον τοῦτο τῶν λόγων σύντομόν ἐστι καὶ συνεστραμμένον ἐν βραχυτάτοις περιέχον τὰ αἴτια τῆς ὅλης συνουσίας. Ὁ μὲν γὰρ Ἀλκιβιάδης, πολλῶν ἄλλων κεκρατηκὼς

— ἡ περὶ αὐτοὺς] B τί περὶ αὐτοὺς. — διατείνει] B διατείνειν. — δύναται] A et D δυνατὸν. B δ' αὐτοῦ. — κατὰ τὸν] B καὶ τὸν. — καὶ μόγις] B καὶ μέχρι. — διατείνει] B διακτείνει. — πλεῖστα] B πλεῖστας. — τὸ, τὸ ὑποκ.] B τὸ μὲν ὑποκ.. D τὸ ὑποκειμ. omisso altero τὸ. Ita etiam Cod. E ex corr. cum antea fuisset τὸ, τὸ. Scrib. certe aut ut in Cod. B aut ut in D. — κατὰ τὸ τῆς εὐεργεσίας] B καὶ τὸ τὸ τῆς εὐεργ. — θαυμαστόν ἐστιν] cett. add. εἰ καὶ μόγις παύσαιτο, μόγις ἀρξάμενος. (B ἀρξάμενος μόγις.) Eadem addit Cod. E, sed post ἀρξάμενος praeterea adjecta sunt voces: ἔνθεος γάρ ἐστι, καὶ τῷ δ. Bene. Repetitum ἐστὶ fefellit librarii nostri oculos. — παραμετρεῖν τὴν θείαν] cett. παραμετρεῖ τὴν οἰκείαν, quod verum existimo. Haec admonent proverbii:

*Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.*

Vid. Erasmi Adagg. p. 687 qui tamen sequentia: ὁ καιρὸς — ἐπεκαθέζετο non memorat, nec magis Schottus in Adagg. Graecc. Fluxerunt autem haec praecepta de justo tempore et opportunitate amandi ex convivio Platonis, ubi et ἀκαιρία notatur et *temporis* interponendi necessitas declaratur vid. cap. 9 §. 7. pag. 29 Wolf. p. 20 Ast. p. 387 Bekker et IX. 8. p. 34. p. 24. p. 391. Quae eadem expressit Fronto in epistoll. grr. Vol. II. p. 394. Mediol. Εἰ γοῦν ἐπιτρέψαις αὐτὸν (fort. ἑαυτον) τῷ ἐραστῇ χρῆσθαι, ὅτε οὐ καὶ ὁποτε βούλοιτο, οὔτ' ἂν καιρὸν περιμείνας ἐπιτήδειον κτλ.

Ἐραστῇ, ὅμως] B ἐραστὴς, ὅμως. Incipit locus in Edd. Χαλεπὸν μὲν οὖν. — προοίμιον τοῦτο] B προοίμιον τοῦτε. — σύντομον] B σύντονον. — περιέχον τὰ] B περιέχονται.

ἐραστῶν, ἀτελής ἐστιν ἔτι, τὸ τοῦ ἔρωτος εἶδος οὐ διακρίνων, οὐδὲ τὰς διαφόρους τάξεις, οὐδὲ τὰ παρὰ φύσιν ὅπῃ διαφέρει τῶν κατὰ φύσιν, συνορῶν. Διὸ τῆς ἀπὸ Σωκράτους δεῖται τελειώσεως· οὐδὲ γὰρ ὅλως τέλειος ὢν ἐδεῖτο τοῦ καθηγησομένου, οὐδὲ πρὸς τὸν θεῖον ἔρωτα ἐπιτήδειος ὢν ἐπεδέχετο βοήθειαν. Εἰ μὲν οὖν ἥττητο τῶν πολλῶν ἐραστῶν, ἁπάσης ἀνεπιτηδειότητος ἐκπεπτωκὼς ἐδείκνυτο· εἰ δὲ διηρθρωμένος ἐννοίας περὶ τῶν ἐρώτων, τῶν τε ἐνθέων καὶ τῶν ὑβριστῶν, τελεώτατος ἂν ἦν. Νῦν δὲ τὰ μὲν ἀγνοῶν, τὰ δὲ πεφευγὼς, ἐπιτήδειός ἐστι πρὸς ὑποδοχὴν τῆς ἐπιστήμης. Ὁ δὲ Σωκράτης πλήρης μέν ἐστι τῶν ἀγαθῶν καὶ προτείνει τῷ νεανίσκῳ τὴν μετάδοσιν τῶν ἀρετῶν. Οἷον δὲ κάτεισιν εἰς τὴν πρὸς ἄλλον ἐνέργειαν καὶ πρόεισιν ὑφειμένην κίνησιν ἀπὸ τῆς ἔνδον ζωῆς, καὶ διὰ τοῦτο τὴν πρόοδον ταύτην τόλμαν ἀποκαλεῖ τὸν Πυθαγόρειον τρόπον καὶ ἐκφαίνει τὴν ἑαυτοῦ τῷ νεανίσκῳ προμήθειαν καὶ ἀναπληρεῖ τὴν ὅλην προαίρεσιν τῆς οἰκείας ζωῆς, καὶ διὰ τοῦτο τὴν πρόοδον ταύτην καὶ τὸν ἐρωτικὸν σκοπὸν, δι' ὃν οὐκ ἀπαλλάττεται τοῦ ἔρωτος. Διότι

— *ἐστιν ἔτι*] B *ἐστιν ὅτι*. — *ἀπὸ Σωκράτους*] cett. bene *ἀπὸ τοῦ Σωκρ.* — *οὐδὲ γὰρ ὅλως*] B *καὶ γὰρ ὅλων*. Paulo inferius Cod. E ad vocem *ἐπιτήδειος* in margine habet *ἴσ. ἀνεπιτήδειος*, quod non displicet. — *καθηγησομένου*] B *καθηγησαμένου*. — *ἀνεπιτηδειότητος*] B et D *ἂν ἐπιτηδειότητος*. Bene. — *ἐκπεπτωκὼς*] cett. *ἀποπεπτωκώς*. — *διηρθρωμένος ἐννοίας*] cett. melius: *διηρθρωμένας εἶχεν ἐννοίας*, excepto E. — *πεφευγὼς*] B add. *ἤ*. — *ὁ δὲ Σωκρ.*] D *ὁ δέ γε Σωκρ.* — *τῶν ἀγαθῶν*] cett. add. optime *καὶ τῶν καλῶν*. — *τῶν ἀρετῶν*] D *τῶν ἀγαθῶν*. — *ὑφειμένην*] B *ἐφειμένην*. D *εἰς ὑφειμένην*. — *ἀναπληροῖ*] D *ἀναπλοῖ*. — *καὶ διὰ τοῦτο τὴν πρόοδον ταύτην*] haec in cett. omissa sunt, sed exstant in Cod. E, ubi in margine scriptum est: Olym. p. 17. — Plotin. Enn. 5. lib. 1. c. 1. Hi videlicet loci laudati ad eadem verba paulo ante justo loco posita pertinent. Repetita non placent. Librarius cum oculum suum aberrasse ad antecedentia animadvertisset, noluit litura deformare librum et perrexit, ubi debuit, nullo erroris signo adpicto. *Τόλμαν* Tu vid., praeter Plotin. l. l. nimirum p. 481 B. infr. Meursium in Denar. Pythag. in Gronov. Thes. Antiqq. Graecc. Vol. IX. p. 1351 sqq. Adde Theologumm. arithmm. p. 10. p. 8 ed. Astii: *πρώτη γὰρ ἡ δυὰς διεχώρισεν αὐτὴν ἐκ τῆς μονάδος, ὅθεν καὶ τόλμα καλεῖται.* cf. p. 13. p. 12 Ast. *ὠνομάσθαι δὲ αὐτὴν οἴονται παρ' αὐτὴν τὴν τόλμησιν.* Pherecydi haec eadem tribuit Jo. Laur. Lydus de menss. p. 17: (*Καὶ*) *τόλμαν δὲ καὶ οἱ περὶ Φερεκύδην ἐκάλεσαν τὴν δυάδα.* Haec et sequentia in Lydi loco adhibenda sunt Etymologico Gudiano. p. 152.

μὲν οὖν ὁ Ἀλκιβιάδης οὐχ ἧττόν ἐστιν, καὶ διότι χαλεπὸν αὐτῷ προςφέρεσθαι καὶ τὸν ἀληθινὸν ἐραστὴν, οὔπω διακρίναντι τοὺς ἔρωτας; μέσης ὢν ἐπιδείκνυται δυνάμεως, καὶ φυσικὰς μὲν ἔχων ἀρετὰς, ἐννοίαις δὲ ἀδιαρθρώτοις χρώμενος. Καὶ γὰρ ἡ φυσικὴ ἀρετὴ τοιάδε τίς ἐστιν· καὶ γὰρ ὄμμα ἀτελὲς καὶ ἦθος ἔχει κατὰ τὸν θεῖον Πλωτῖνον. Διότι δὲ ὁ Σωκράτης τολμᾷ τὴν ἑαυτοῦ διάνοιαν φράζειν, κάτεισιν εἰς ὑποδεεστέραν ἐνέργειαν τῆς ἔνδον αὐτῷ μενούσης· τοῖς γὰρ θείοις ἐρασταῖς τολμηρὰ πάντως ἐστὶν ἡ πρὸς τὸ χεῖρον ἐπιστροφή. Ἀλλ' ὅμως κάτεισιν ὁ Σωκράτης, ἵν' ὥςπερ Ἡρακλῆς ἐξ Ἀίδου τὸν ἐρώμενον ἀνάγῃ καὶ πείσῃ τῆς μὲν φαινομένης ἀποστῆσαι ζωῆς, ἐπὶ δὲ τὴν νοερὰν καὶ θεῖαν ἀναδραμεῖν, ἀφ' ἧς καὶ ἑαυτὸν γνώσεται καὶ τὸ θεῖον ὅλον ἐξηρτημένον τῶν ὄντων ἁπάντων, καὶ αἴτιον αὐτῷ προϋπάρχον.

[μζ.] „Ἐγὼ γὰρ, ὦ Ἀλκιβιάδη, εἰ μέν σε ἑώρων, ἃ νῦν „διῆλθον, ἀγαπῶντα, καὶ οἰόμενον δεῖν ἐν τούτοις κατα„βιῶναι, πάλαι ἂν ἀπηλλάγην τοῦ ἔρωτος, ὥς γε δὴ „ἐμαυτὸν πείθω.“ (p. 104. e. 105. a. Bekk. p. 301.)

Τίς ἐστιν ὁ ἀξιέραστος· κατὰ φύσιν δείκνυται διὰ τούτων ἐναργὲς παρὰ τοῦ Σωκράτους. Καὶ ὥςπερ ἐν τῇ Πολιτείᾳ στοιχεῖα παραδέδωκεν ἡμῖν τῆς φιλοσόφου φύσεως, οὕτω μοι δοκεῖ καὶ ἐν τούτοις στοιχεῖά τινα τῆς ἀξιεράστου παραδιδόναι φύσεως. Διττὰ δὲ ταῦτά ἐστι· τὰ μὲν ἐμφανῆ, τὰ δὲ

— *οὐχ ἧττόν ἐστιν*] cett. add. *ἐραστῶν*. Bene. Malim etiam *ἥττων*. — *μέσης*] B *μεσ´*. — *ἐννοίαις δὲ*] B *ἐννοίαις καί*. — *καὶ γὰρ ἡ φυσικὴ*] cett. *ἡ γὰρ φυσ*. quod praestat. Locus Plotini est pag. 22. D. Basil. Editus est hic Procli locus ad Plotin. de pulcrit. p. 141. — *φράζειν*] A et B *φράζει*. Fortasse addendum *καί*. — *ἔνδον αὐτῷ*] B et D *ἔνδον ἐν αὐτῷ*. — *ἀνάγῃ*] A E et B *ἀγάγῃ*. D *ἐξαγάγῃ*. Placeret *ἀναγάγῃ*. — *ἀποστῆσαι*] A E et D *ἀποστῆναι*. Bene. B *ἀποσῆ´*. Mox Cod. E *ἐπὶ δὲ* habet correctum ex *ἐπεὶ δέ*. Tum idem *ἐξηρημένον* pro *ἐξηρτημένον*. Perperam. Simillimus de hoc Herculis certamine Procli locus legitur in Commentar. in Platon. Gorg. Adposui eum in Mythologia Vol. II. p. 242 ed. alter. not. 300.

*Ἃ νῦν διῆλθον*] A *ἃ νῦν δὴ διῆλθον*. Additum est *δὴ* etiam in Edd. Astius edidit *διήλθομεν* ex Schol. Ciz. et Bas. 2. Tum scribitur *ἀγαπῶντά τε καί*. — *πάλαι ἂν*] A *πάλλαι ἄν*. — *ἀπηλλάγην*] In Edd. est *ἀπηλλάγμην*. [recte. cf. p. 138. not.] — *κατὰ φύσιν*] D *κατὰ τὴν φύσιν*. — *ἐναργὲς*] cett. *ἐναργῶς*. Et ita leg. Mox: *ἐν τῇ Πολιτείᾳ στοιχεῖα κτλ*. Confer quae supra laudavimus ad. cap. 36 fin.

ἀφανῆ, καὶ τὰ μὲν περὶ τὸ σῶμα φανταζόμενα, τὰ δὲ ἔνδον ἐν αὐτῇ τῇ ψυχῇ κινήματα θεωρούμενα. Καὶ τὰ μὲν εἱμαρμένης δῶρα καὶ φύσεως, ὥςπερ τὸ κάλλος καὶ τὸ μέγεθος, τὰ δὲ τῆς προνοίας τῶν θεῶν σπέρματα πρὸς σωτηρίαν ἐνδιδόμενα ταῖς ψυχαῖς, ὥςπερ τὸ ἡγεμονικὸν καὶ τὸ ἀρχικὸν καὶ τὸ εἰς ὕψος ἐπαιρόμενον εἶδος τῆς ζωῆς. Κατὰ μὲν οὖν τὰ φυσικὰ καὶ τὰ εἱμαρμένης πλεονεκτήματα κεκράτηκε τῶν πολλῶν ὁ Ἀλκιβιάδης ἐραστῶν. Διὰ γὰρ τὴν ἐπ' αὐτοῖς μεγαλοφροσύνην ὑπερίδε τῆς πλημμελούσης καὶ ἀτάκτου παρ' ἐκείνων ἐνοχλήσεως. Κατὰ δὲ τὰ προνοητικὰ καὶ τὰ ψυχικὰ κινήματα κρατεῖται ὑπὸ τοῦ Σωκράτους· διὰ γὰρ ταῦτα πείθεται ὑπ' αὐτοῦ, ὅτι παντὸς μᾶλλόν ἐστι σπουδῆς ἄξιος αὐτῷ· κἀνταῦθα δείκνυται, τίς ἐστιν ἡ ὑπεροχὴ καὶ ἡλίκη τοῦ ἐνθέου φίλου πρὸς τὸν πολὺν ἐραστήν. Ὁ μὲν γὰρ καὶ τῶν πλεονεκτημάτων τῶν φυσικῶν ἐστιν ὑποδεέστερος· ταῦτα δὲ τῶν ψυχικῶν ἐστι δεύτερα κινημάτων· ταῦτα δὲ ὑπὸ τοῦ ἐνθέου τελειοῦται μόνον ἐρωτικοῦ. Πολλῷ ἄρα μειζόνως (φαῖεν ἂν οἱ γεωμέτραι) τοῦ θείου ἔρωτος ἡττᾶσθαι λέγοιτ' ἂν ὁ φορτικός. Ἀλλ' οὖν, ὅπερ ἐλέγομεν, ἄρχεται τῶν λόγων ὁ Σωκράτης, καὶ αὐτὸς πεπεισμένος, ὅτι παντός ἐστιν ἄξιος τῷ ἐρωμένῳ, κἀκεῖνον πείθειν ἐπιχερῶν ἄντικρυς κατὰ τὸ ἐν Τιμαίῳ ῥηθὲν, καὶ τῷ νῷ πείθων τὴν ἀνάγκην πρὸς τὸ βέλτιστον ἀκολουθεῖν καὶ κηδεμόνα ποιεῖσθαι τοῦ βίου τὸ κυρίως

— *εἱμαρμένης*] B *ἠαρτημένης*. — *καὶ τὰ εἱμαρμένης*] cett. *καὶ τὰ εἱμαρμένης*] cett. *καὶ τὰ εἱμαρμένα* et certe aut ita legendum videtur aut *τὰ τῆς εἱμαρμένης*. — *τὴν ἐπ' αὐτοῖς*] A et B *τὴν ἐπ' αὐτῆς*. — *ὑπερίδε*] cett. *ὑπερεῖδε*, uti scribendum fuit. — *πλημμελούσης*] A et E *πλημελούσης*. B et D *πλημμελοῦς*, quod praestare videtur. — *ἐνοχλήσεως*] cett. *ὀχλήσεως*, excepto Cod. E. — *τίς ἐστιν ἡ ὑπεροχὴ*] A *τίς ἐστιν ὑπεροχὴ*. B *τίς ὑπεροχὴ*. D *τίς ἡ ὑπεροχὴ*. Bene. — *τῶν λόγων ὁ Σωκρ.*] B om. *ὁ*. — *κἀκεῖνον*] B *κἀκεῖνο*. Mox E. *ἐπιχειρῶν*, et ita scribendum. — Quod sequitur *ἄντικρυς* mutare nolui, quoniam de accentu discesserunt inter se Grammatici veteres. vid. Dracon. Straton. de metr. p. 25; nec minus de differentia formarum *ἀντικρύ* et *ἀντικρύς* Vid. Ruhnken. ad Tim. Lex Plat. p. 37. et Scholiast. Platon. p. 88. Locus in Platonis Timaeo, quem continuo attingit Proclus, legitur p. 48. p. 56 Bekker: *νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν κτλ.* — *κυρίως*] pro hac voce spatium vacuum in B. — *Κυρίως* tamen Platoni etiam notum. v. c. in Menone p. 96. p. 380 Bekker. — *Φαίης ἂν σὺ κυρίως διδασκάλους εἶναι.* Cf. Heindf. ad Cratyl. §. 14. p. 23.

ἀγαθόν. Τί δήποτ' οὖν στοιχεῖόν ἐστι τῆς ἀξιεράστου φύσεως τοῦτο, τὸ μὴ ἀγαπᾷν τὰ παρόντα καὶ καταμένειν ἐν αὐτοῖς, ἀλλ' ἀεὶ τὸ μεῖζον τῶν παρόντων ἐπιζητεῖν; ὅτι δὴ, φήσω, ψυχῆς ἐστι τοῦτο· τὸ πᾶν μὲν φορτικὸν ἀτιμαζούσης καὶ οὐδενὸς ἄξιον εἶναι πεισμένης, (scr. πεπεισμένης) μόνον δὲ τοῦτο μέγα καὶ τίμιον ἰδεῖν ὀρεγομένης, τὸ μὲν πάθος, ὃ πέπονθεν, ἀγνοούσης, κατὰ δὲ τὰς αὐτοφυεῖς ἐννοίας ἄλλο τι μέγεθος καὶ ὕψος ἀληθινὸν φανταζομένης. Πᾶσα γὰρ ψυχὴ, φησὶν ὁ Πλάτων, φύσει τεθέαται τὰ ὄντα. Εἶδεν οὖν ἐκεῖ τὸ ἀληθῶς τίμιον καὶ τὸ ἡγεμονικὸν καὶ τὸ ἀρχικὸν ἐν αὐτοῖς ἱδρυμένα τοῖς θεοῖς· καὶ ἰδοῦσα τέθηπεν αὐτὰ καὶ ἔχει τινὰ τῶν ἐντὸς ἀπηχήματα. Διὰ δὲ τὴν λήθην αὖ καὶ τὴν ἄγνοιαν οὐκ οἶδε, τί ποτέ ἐστιν, ὃ θαυμάζει, καὶ κατὰ ποίας ἐννοίας ὀρέγεται τῆς δυνάμεως καὶ τοῦ μεγέθους καὶ τῆς ἀρχῆς, ἢ τῆς ἡδονῆς, ἢ τῶν χρημάτων. Ὁ δέ γε ἐπιστήμων, ὁ καὶ τὰ πράγματα ἐπεσκεμμένως καὶ τὸ τῆς φύσεως ἀτελὲς, δείκνυσι μὲν αὐτῷ, τίς ἀληθὴς δύναμις, ἐκφαίνει δὲ τὸ ἀρχικὸν καὶ τὸ ἡγεμονικὸν, ἐν ποίᾳ θεωρεῖται ζωῇ, τελειοῖ δὲ τὸ ἀτελὲς αὐτοῦ κίνημα τῆς ψυχῆς. Ὅλως γὰρ τριττήν τινα τῶν ψυχῶν ζωὴν νοήσομεν, εἰ βούλει· τὴν μὲν κατὰ τὴν μόνιμον ταῖς ἀρχαῖς ἐνέργειαν, τὴν δὲ κατὰ τὴν ἐκεῖθεν προϊοῦσαν, τὴν δὲ κατὰ τὴν εἰς ἐκεῖνα πάλιν ἐπιστρεφομένην· καὶ λέγομεν, ὅτι μένουσαι μὲν αἱ ψυχαὶ παρὰ τοῖς αὐτοῖς νοερῶς ἐνεργοῦσι, καὶ τῆς τε ἀγαθοειδοῦς βουλήσεως τῶν θεῶν καὶ τῆς εἰλικρινοῦς ἀπολαύουσι δόσεως. Προϊοῦσαι δὲ ἐκεῖθεν διὰ φαντασίας

— *καταμένειν*] B *κατὰ μένειν.* — *ἀτιμαζούσης*] B *ατιμάζουσας.* — *ἄξιον εἶναι*] cett. male *ἄξιος εἶναι*, excepto E. — *μόνον δὲ τοῦτο*] cett. *μόνον δέ που τὸ*, sed E cum nostro facit. — *τίμιον ἰδεῖν ὀρεγομένης*] B *τὸ μικρὸν καί τι μᾶλλον ἰδεῖν ὀρεγομένης.* — *ἄλλο τι*] A et B *ἀλλ' ὅτι.* E et D *ἄλλότι.* Proxime ad Platonis sententiam laudatam vid. quae supra apposui ad cap. 31, ubi idem dixi de voce *ἀπήχημα.* — *εἶδεν οὖν*] D *οἶδεν οὖν.* — *τί ποτέ ἐστιν*] A *τί ποτ' ἐστιν.* Paulo superius Cod. E ut reliqui *τινὰ τῶν*, sed in margine *ἴσ. τινὰ αὐτῶν*, quo nihil est verius. — *ἐπεσκεμμένως*] A *ἐπεσκεμένος.* Leg. *ἐπεσκεμμένος*, ut est in Cod. E. — *δείκνυσι*] A *δείκνυσιν.* Mox Cod. E *ζωή* pro *ζωῇ.* — *ταῖς ἀρχαῖς*] cett. bene. *ἐν ταῖς ἀρχαῖς*, praeter unum E. — *εἰς ἐκεῖνα*] B om. *εἰς.* — *ἐπιστρεφομένην*] D *ἀναστρεφομένην.* — *εἰλικρινοῦς*] B et D *εἰλικρινοῦς.* Post vocem *δόσεως* pergit Ficini versio p. 224 vel potius epitome.

καὶ ἀορίστου τινὸς κινήσεως εἰδώλοις ἐντυγχάνουσι τῶν ἐκεῖ πραγμάτων καὶ φαινομένοις ἀντὶ τῶν ἀληθινῶν καὶ θεώμεναι τὰς εἰκόνας καὶ τὰ εἴδωλα τῶν πραγμάτων, πεφάσσουσι περὶ αὐτὰ καὶ ποθοῦσι μὲν ἃ εἶδον, ἀντιπεριάγονται δὲ εἰς ἃ μὴ ποθοῦσιν. Ἐπιστρέφουσαι δὲ ἐν αὐτοῖς περὶ τὰς ἀρχὰς, μεταβαίνουσι πάλιν ἀπὸ τῶν εἰδώλων ἐπὶ τὰ πρωτοεργὰ παραδείγματα, καὶ δέονται νοήσεως ἐνταῦθα καὶ λόγου· δι᾽ ἐπιστήμης γὰρ ἡ ἄνοδος. Καὶ ὁ λόγος ἐστὶν ὁ διαβάλλων ἐπὶ νοῦν ἀπ᾽ ὀλισθήσεως καὶ φαντασίας. Ἄλλαι μὲν οὖν τῶν ψυχῶν ἄλλοις εἰσὶν οἰκεῖαι θεάμασι· διὸ καὶ αἱ μὲν ἄλλοις, αἱ δὲ ἄλλοις εἰδώλοις ἐπιτρέχουσιν· ᾧ γὰρ ἴδιον, ἐκεῖ τὰ εἴδωλα καὶ τὰς σκιὰς φιλοφρονοῦνται. Ὅσαι δὲ αὖ τοῦ μεγάλου Διὸς ὀπαδοὶ γεγένηνται καὶ συμπεριεπόλουν αὐτῷ τὴν ἡγεμονικὴν ἔχοντι τάξιν ἐν τοῖς δώδεκα τῶν ὅλων ἄρχουσι κατὰ εἶδος τοῦ σφωτέρου θεοῦ, καὶ δεῦρο ἐλθοῦσαι τὸ ἡγεμονικὸν εἶδος τῆς ζωῆς ποθοῦσι· καὶ τὸ μὲν ὄντως τοιοῦτον ἀγνοοῦσι, τὴν δὲ ἐν τοῖς φαινομένοις ἐξουσίαν καὶ δύναμιν ἐπιδιώκουσι. Κἂν μὲν τύχωσιν ἐπιστημόνων τῶν καθηγουμένων, εἰς σωτηρίαν αὐταῖς καὶ ἀναγωγὴν ἡ ἐπιτηδειότης ἡ τοιαύτη τελευτᾷ· ἂν δὲ καταμένουσιν ἐν τοῖς εἰδώλοις, φίλαρχοι γίνονται, καὶ περὶ τὰς φαινομένας ἐπτόηνται δυνάμεις καὶ τυραννίδων ἐμπιπλᾶσι

— πεφάσσουσι] A παιφάσουσι. B et E πεφάσουσι, sed in Cod. E scriptum fuisse videtur παιφάσουσι. Magis placet παιφάσσουσι eo sensu, ut sit περιάγειν τὰς ὄψεις, ut est apud Etymologum M. p. 658, 17. (p. 596. ed. Lips.) Adde Hesych. II. p. 839. sq. Suid. III. p. 69. Zonar. L. Gr. p. 1515. Apollonii Lex. Hom. p. 524 Toll. et Heyn. Observv. ad Iliad. II. vs. 450. — θεάμασι] A et D θεάμασιν. B θέμασι. Paulo superius Cod. E ἄλλαις, suprascr. ἄλλοις. Proxime ad vocem ὀλίσθησις tenendum, hoc vocabulorum genus ὄλισθος, ὀλισθαίνω, ὀλίσθημα κτλ. a re gymnastica Graecorum ad moralia esse traductum. Vid. Etymol. m. p. 622. p. 564 Lips. Etymol. Gud. p. 425. Hesych. II. p. 742 Alb. Reiz. ad Lucian. de gymnas. Vol. VII. p. 473 sq. Bip. Biel. Thes. V. T. II. p. 419 sq. Clemens. Alex. Paedag. II. p. 187 Potter. — πόῤῥωθεν ἄνωθεν ὀλισθαίνουσας ἀνακόπτοντες αὐταῖς τὰς ὀρέξεις. Ibid. III. p. 369 — τὴν ἐπιπόλαιον σεμνότητα καταισχύνουσαι τῇ ὀλισθαινούσῃ περιεργίᾳ. Ad nostrum locum facit inprimis haec sententia Arriani in Diss. Epictett. III. 126. pag. 405 Schweigh. — καὶ ὅπου ὁ πολὺς ὄλισθος τῶν φαντασιῶν, ἐκεῖ ἀντιθέναι (δεῖ) τὸ ἀσκητικόν. — ᾧ γὰρ ἴδιον] B ὡς γὰρ ἴδιον. — ὅλων ἄρχουσι] A et B ἄρχουσιν. Proxime de regiâ Jovis in hac rerum universitate, vi atque providentia confer Nostrum in Platonis Theolog. V. 23. p. 295 sq. et IV. 5. p. 187.

τοὺς ἑαυτῶν βίους, καὶ τῶν τοιούτων κακῶν. Ἔστι μὲν οὖν καὶ ταῦτα λέγειν περὶ τῶν ψυχῶν, ὡς ἀξιεράστους αὐτὰς ποιεῖ τὸ ἡγεμονικὸν τοῦτο καὶ τὸ μεγαλουργικόν· καὶ διὰ ποίαν αἰτίαν; Ἔστι δὲ αὖ κἀκεῖνον λέγειν οἶμαι τὸν λόγον, ὃν ἐν Πολιτείᾳ Σωκράτης παραδίδωσι περὶ τῶν ἐξ οὐρανοῦ κατιουσῶν ψυχῶν, ὅτι ἄρα πᾶσαι αἱ τοιαῦται ταῖς δυνάμεσι διαφερόντως ἐπιτρέχουσι καὶ τοὺς ἀρχικοὺς βίους καὶ ἡγεμονικοὺς ἐπιδιώκουσι· συμπεριπολήσασαι γὰρ τοῖς οὐρανίοις θεοῖς καὶ θεασάμεναι τὰς δυνάμεις αὐτῶν τὰς κρατητικὰς τῶν ὅλων, καὶ τὰς βασιλείας τὰς διηκούσας ἄνωθεν ἄχρι τῶν ἐσχάτων καὶ τὰς σειρὰς τὰς ἀνεχομένας ὑπ᾽ αὐτῶν, ἐφίενται καὶ αὗται τῆς ὁμοίας ζωῆς, καὶ βούλωνται περὶ πλείστων ἄρχειν καὶ ὑπερενέχειν τῶν ἄλλων ἀνθρώπων, ὡς ἐκεῖνοι τῆς γενέσεως, καὶ κυβερνᾶν τὰ τῶν ὅλων, ὡς ἐκεῖνοι τὰ καταδεέστερα πάντα· τούτου δὲ ὀρεγόμεναι ταῖς τυραννίσι καὶ ταῖς δυνάμεσι καὶ ταῖς τιμαῖς ἐπιπηδῶσι, καὶ αἱ μὲν αὐτῶν φιλότιμον, αἱ δὲ τυραννικὸν αἱροῦνται βίον. Οἶδεν οὖν ὁ Σωκράτης, ὅτι τὸ φίλαρχον τοῦτο καὶ φιλότιμον ἐκείναις προςήκει ταῖς ψυχαῖς ταῖς

— τὸ ἡγεμονικὸν εἶδος] B om. τὸ. — ἀγνοοῦσι] B ἀγνοοῦσι. — καταμένουσιν] A καταμένωσιν. B et D καταμείνωσιν, et ita legendum. — τοὺς ἑαυτῶν βίους] A et B τοὺς ἑαυτοὺς βίους. — μεγαλουργικὸν] D μεγαλουργόν. [cf. p. 144.] Vocabulum μεγαλουργικὸς non est in Schneideri Lexico. — Σωκράτης] B ὁ Σωκρ. Videtur significare de Republ. X. p. 619. b. Bip. T. VII. Bekk. III, 1. p. 511. — τὰς ἀνεχομένας] B om. τὰς. — περὶ πλείστων ἄρχειν] A et B non male πλείστων ἄρχειν. D πλεῖστον ἄρχειν. Legendum autem βούλονται. Desinit h. l. Ficini versio, neque pergit nisi septem paginis interjectis. Ficinus vero haec addit, quasi sint Procli, quamquam apud hunc non reperiantur: „Praestantissimam quidem vitam Plato ponit contemplativam: secundam, „ambitiosam: tertiam, voluptuosam vel avaram. Contemplativam „quidem eligunt animae venientes coelitus, educataeque rectissime: „ambitiosam quoque venientes e coelo, sed educatae deterius: reliquas venientes e terris." — ὑπερενέχειν] A et B ὑπερανέχειν. D ὑπερφάγειν (sic). Illud ὑπερανέχειν legitur apud Strabonem IX. p. 614. pag. 385 Tzsch. ubi tamen cod. Paris. et Moscov. offerunt ἔχουσαν. Alterum, ὑπερενέχειν, auctoritati destitui videtur. Sed fortasse voluit ὑπερενεγκεῖν, quod in Xenoph. Memor. III. 5. 13 legitur, et librarius codicis nostri D suo in exemplo reperit: ὑπερφέρειν. Verumtamen in sequenti capite denuo exhibent ὑπερανέχειν codd. nostri omnes. — καταδεέστερα] D ἐνδεέστερα. — φιλότιμον] B φιλότιμα. — τυραννικὸν] D συρ.....μενον (sic). Quod sequitur paulo inferius vocabulum συμπεριπόλησις non est in Lexicis. Ad sententiam cf. Nostrum in Theolog. Platon. p. 209 infr. et sq.

οὐρανίαις συμπεριπολήσεώς ποτε τυχούσαις, κἀκεῖθεν εἰς τὸν περὶ γῆν τόπον ἀφικνουμέναις. Διὸ καὶ ἐν τούτοις πρὸς τὸν νεανίσκον φησὶν, ὅτι πάλαι ἂν ἀπήλλακται τοῦ ἔρωτος, εἰ ἑώρα αὐτὸν τὰ παρόντα ἀγαπῶντα. Σμικρᾶς γὰρ τοῦτο καὶ ἀγεννοῦς ἐστι φύσεως, καὶ κάτωθέν ποθεν ἐκ τῶν ὑπὸ γῆν τόπων ἀφικνουμένης καὶ διὰ τοῦτο στεργούσης τὸ παρὸν, πρὸς δὲ τὸ ὅλον καὶ ὑπερέχον οὐκ ἀναβλεπούσης, οὐδὲ διὰ μεγαλουργίαν ἀξιεράστου τυγχανούσης.

[μη.] Ἐκ δὴ τρίτων λεγέσθω, καὶ ὅτι μετὰ τὴν κατὰ τὸν λόγον πολιτείαν ἡ φιλότιμός ἐστι καὶ τιμοκρατική· προςεχῶς γὰρ αὕτη μετ' ἐκείνην ὑφίσταται, καὶ ἥτε ἔκβασις ἀπὸ ἀρίστης ζωῆς εἰς ταύτην πρώτην πρόεισιν, ὥςπερ φησὶν ὁ ἐν Πολιτείᾳ Σωκράτης, καὶ εἰς ἄνοδον ἀπὸ ταύτης ἐσχάτης καθαίρεται. Διὸ καὶ ὁ Πλάτων ἔσχατον χιτῶνα ἀπεκάλει τῶν ψυχῶν τὴν φιλοτιμίαν. Χρημάτων μὲν γὰρ ὑπεροψία καὶ ἡδονῆς καταφρόνησις πάρεστι καὶ ταῖς μετριωτέραις τῶν ψυχῶν· τιμῆς δὲ καὶ δόξης καὶ δυνάμεως πολλοὶ καὶ τῶν δεινῶν οἰομένων ὑπάρχειν ἡττήθησαν· ἀνιοῦσιν οὖν ἡμῖν καὶ ἀπολυομένοις τὰ πάθη καὶ τοὺς χιτῶνας, οὓς κατιῶντες (scr. κατιόντες) προςειλήφαμεν. Ἔσχατος χιτών ἐστιν ἀποδυτέος ὁ τῆς φιλοτιμίας, ἵνα γυμνῆτες, ὥς φησι τὸ λόγιον, γεγονότες ἑαυτοὺς τῷ θεῷ προςιδρύσωμεν, λόγος καθαρὸς καὶ εἰλικρινὴς

— *ἀπήλλακται*] cett. *ἀπήλλακτο*. Bene. — *καὶ διὰ τοῦτο*] B om. *καί*. — *ἀξιεράστου*] B *ἀξιέραστον*. Paulo inferius Cod. E. *τρίτον* superscripto. *ω*.

*Τιμοκρατικὴ*] D *μονοκρατητικὴ*. — *ἐν πολιτείᾳ*] cett. *ἐν τῇ πολιτείᾳ*. — *ἀπεκάλει τῶν ψυχῶν*] cett. *τῶν ψυχῶν ἀπεκάλει*, excepto uno E. Vid. Platonis Gorgiam. p. 523. p. 264. Hdf. p. 164 Bekker. Quem locum expresserunt Plutarch. de S. N. V. p. 92 ubi vid. Wyttenb. p. 110 et Porphyr. de antro Nymph. cap. 14 ubi vid. Goens. p. 103. Eandem similitudinem eadem fere sententiâ usurpat Férid - Eddin Attar in Pend - Namèh, sive in libro consiliorum, quem Persice et Francice edidit Sylvester de Sacy Paris. 1819. Vid. cap. LXX. p. 281 sq. — *ἡττήθησαν*] B *ἡττήσασθαι* et in marg. *γρ. ἡττήθησαν*. Paulo superius post *πολλοὶ* est *καὶ δὲ*, sed alia manus delevit *δέ*. — *γυμνῆτες*] D *γυμνῆται* (ες superscr.). Non leguntur haec in Oraculis, quae supra saepius laudavimus. Ad sententiam cf. Plotin. de pulcr. p. 55. p. 48. F. G. et quae ibi ex sacrorum reconditiorum usu annotavimus ad verba· *ἱματίων ἀποθέσεις* et *γύμνους* p. 307. — *εἰλικρινὴς*] A et E *εἰλικρινεῖς*. B et D. *εἰλικρινεῖς*.

γενόμενοι, καὶ πάντα καταλιπόντες τὰ πάθη περὶ γῆν, ὅπου περ ἐτάχθη, καὶ ταῖς θείαις ζωαῖς ἑαυτοὺς ἐξομοιώσαντες. Εἰ τοίνυν ἡ πρώτη τῶν ψυχῶν κάθοδος ἡ φιλότιμός ἐστι ζωὴ, δῆλον, ὡς οὐκ ἔστιν ἡ ἔφεσις αὕτη τῶν εἰς βάθος πεσόντων, ἀλλ' ἐν προθύροις τοῦ λόγου στρεφομένων. Διὸ δὴ καὶ ὁ Σωκράτης ἀξιέραστον εἶναι τοιοῦτον ἦθος ὑπείληφεν, ὡς ὑπερανέχον τῆς γενέσεως καὶ τῷ λόγῳ συγγενέστερον· ἐγγυτέρω γάρ ἐστιν ὁ θυμὸς ἡμῶν, ἤπερ ἡ ἐπιθυμία. Διὰ ταύτης μὲν οὖν τὰς αἰτίας τὴν φίλαρχον καὶ φιλότιμον ζωὴν ὁ Σωκράτης ἀξίαν ἐρωτικῆς ὑπέλαβεν εἶναι κηδεμονίας. Ἐκ δὲ τούτων φανερὸν, ὅτι χρὴ τὸν γνησίως ἐραστήν τινος καὶ φύσιν εἰδέναι ψυχῆς καὶ τὰς διαφόρους τῶν βίων αἱρέσεις ἐπισκέφθαι καὶ τῶν εἰδώλων ἀξιόπιστον εἶναι κριτὴν, καὶ δυνάμενον ὁρᾷν, τίνων ἐμφάσεις ἕκαστον ἔχει καὶ διὰ ποίων ὁδῶν πέφυκεν ἑκάστη ψυχὴ τυγχάνειν τοῦ οἰκείου τέλους. Ὁ γὰρ μὴ ταῦτα συνιδὼν ἀκριβῶς ἀποτυγχάνει τῶν ἐκ τῆς ἐρωτικῆς ἐπιπνοίας καλῶν. Τοῦτο μὲν οὖν ὥςπερ πόρισμα ληπτέον ἀπὸ τῶν προειρημένων λόγων. Τὸ δὲ ὡς ἐμαυτὸν πείθω, δοκεῖ μοι δηλοῦν ἐναργῶς, ὅτι ὁ ἔνθεος ἐραστὴς, ἐπιτήδειον μὲν ὁρῶν τὸν ἐρώμενον πρὸς τὴν εἰς τὸν νοῦν περιαγωγὴν, βοηθεῖ κἀκείνῳ, καθ' ὅσον ἐστὶ δυνατός· σμικρὸς δὲ ἑαυτὸν εὑρίσκων καὶ ἀγεννῆ, καὶ περὶ τὰ κάτω στρεφόμενον, εἰς ἑαυτὸν ἐπιστρέφει, καὶ πρὸς ἑαυτὸν μόνον βλέπει τὸ αὐτόν μ' ἐξεσάωσα πρόχειρον ποι-

— *καταλιπόντες*] B *καταλιπόντε.* Mox E *ἐξομοώσαντες.* — *κηδεμονίας*] A *κηδαιμονίας.* Paulo superius Cod. E. *Διὰ ταύτας.* Recte. — *φύσιν εἰδέναι ψυχῆς*] cett. *ψυχῆς φύσιν εἰδέναι*, sed E, ut noster. — *τῶν βίων αἱρέσεις*] cett. *αἱρεσ. τ. βίων.* Et h. l. E cum nostro consentit, ut plerumque, neque vero constanter. Quod sequitur vocabulum scribendum *ἐπεσκέφθαι.* — *τυγχάνειν τοῦ*] B *τυγχάνει τῷ.* — *οἰκείου τέλους ...... ἀποτυγχάνει τῶν*] haec omissa in B. — *ἐπιπνοίας καλῶν*] cett. *ἐπιπνοίας ἀγαθῶν*, excepto Cod. E. — Proxime *πόρισμα*, *additamentum* sive quod vulgo dicunt *corollarium* demonstrationis, quod nullo nostro proposito ac quasi sponte sua accessionis loco ex iis, quae demonstravimus existit, explicante ipso Nostro ad Euchid. 3: *ὅταν ἐκ τῶν ἀποδεδειγμένων ἄλλο τι συναναφανῇ θεώρημα μὴ προθεμένων ἡμῶν.* Est vocabulum Dialecticorum et Mathematicorum proprium. Cfr. Philopon. ad Aristotel. Analyt. poster. lib. I. cap. 8. — *ἐστὶ δυνατός*] A *ἔστι δυνατός.* B *ἐστὶ δυνατόν.* — *σμικρὸν δὲ ἑαυτὸν*] cett. *σμ. δὲ αὐτόν.* et ita scribendum. — *καὶ περὶ τὰ κάτω*] D. om. *καί.* — *μ' ἐξεσάωσα*] B *μετέχουσα.* Colorem duxit ab Iliad. *δ.* 12 et Odys. *δ.* 501.

ούμενος. Ἡ γὰρ πειθὼ καὶ ἡ πρὸς ἑαυτὸν ἐνέργεια τῆς ἐπιστήμης ταύτης ἐστὶν ἔνδειξις.

[μϑ.] „Νῦν δὲ ἕτερα αὖ κατηγορήσω διανοήματα πρὸς „αὐτὸν σὲ, ᾧ καὶ γνώσῃ, ὅτι προςέχων γέ σοι τὸν νοῦν „διατετέλεκα.“ (p. 105. a. Bekk. p. 301. sq.)

Διὰ τούτων μάλιστα τῶν διανοημάτων ἔδοξεν εἶναι τῷ Σωκράτει σπουδῆς τε ἄξιος, ἀλλ' οὐ διὰ τὰ φυσικὰ μόνον πλεονεκτήματα, περὶ ἃ τὸ πλῆϑος ἐπτόητο τῶν ἐραστῶν. Ὁ γὰρ ἔνϑεος φίλος ἔνδοϑεν ἄρχεται τῆς κρίσεως· καὶ γὰρ τὴν τελείωσιν ἐπιφέρει τῇ ψυχῇ πρώτως καὶ οἷον ἐκ πρύμνης ταύτης τινὸς σύμπασαν κυβερνᾷ τοῦ ἐρωμένου ζωήν. Ἐπισημαντέον δὲ καὶ, ὅτι πρότερον μὲν, ἡνίκα τοῦ νεανίσκου τὴν ἐνέργειαν τὴν ψυχικὴν οἴησιν ἐκάλει, διανόησιν ἐπωνομάζει τὴν ἑαυτοῦ κίνησιν, περὶ μὲν ἐκείνου λέγων τὸ οἴει γὰρ δὴ εἶναι· περὶ δὲ αὐτοῦ τὸ τί διανοοῦμαι. Νυνὶ δὲ ἐπειδὴ διανοήματα προςείρηκε τὰ ἐν τούτῳ κινήματα τὴν ἑαυτοῦ ζωὴν ὅλην ἵστησι κατὰ τὸν νοῦν, ᾧ καὶ γνώσῃ, φησὶν, ὅτι προςέχων γέ σοι τὸν νοῦν διατετέλεκα· νοῦς γὰρ προςεχῶς ὑπὲρ διάνοιαν, διάνοια δὲ ὑπὲρ δόξαν καὶ φαντασίαν. Καὶ δεῖ τινι τῶν ἐρωτικῶν ἑνί τινι καλῷ τοῦ ἐρωμένου προςέχειν δὲ, ἵνα καὶ τελειώτερος ᾖ καὶ προςεχῶς ὑπεριδρυμένος. Οὕτω γὰρ ἂν καὶ ὁ μὲν ἀνάγοι, ὁ δὲ ἀνάγοιτο, καὶ μετά τινος συμπαϑείας ποιοῖτο τὴν πρόνοιαν. Τὸ γὰρ παντελῶς ἀσύντακτον οὐδὲ μίαν ἔχει πρὸς τὸ καταδεέστερον κοινωνίαν· ὁ δὲ ἔρως ἐν τοῖς

— *ἡ πρὸς ἑαυτὸν*] D *ἡ πρὸς αὐτὸν.*

In verbis Platonis Edd. addunt *σὰ* ante *πρὸς*, deinde scribendum *γνώσει*, ut ediderunt Astius et Bekkerus constanter. Tum pro *ὅτι* Moserus mavult *ὅ,τι* (pro *διότι*) ut legit Ficinus vertens: *quam ob causam*, in Edd. Bekk. II. 3. p. 301. extr. — *τῷ Σωκράτει*] B *τῷ Σωκράτῃ.* — *σπουδῆς τε ἄξιας*] cett. om. *τε*, quod est omittendum. — *σύμπασαν*] D *τὴν σύμπασαν.* — *ἐπωνομάζει*] cett. *ἐπωνόμαζε*, uti legendum. — *περὶ δὲ αὐτοῦ*] B *περὶ δὲ ἑαυτοῦ.* Recte. — *ᾧ καὶ γνώσῃ*] B *ᾧ καὶ γνώσεως.* — *προςεχῶς*] D *προςεχοῦς.* — *τινι τῶν ἐρωτικῶν*] cett. *τινι τὸν ἐρωτικόν.* — *προςέχειν δὲ*] B et D om. *δὲ.* Ex hac et priore lectione, ejecto priore *τινὶ*, locus ita refingendus videtur: *καὶ δεῖ τὸν ἐρωτικὸν ἑνί τινι καλῷ τοῦ ἐρωμένου προςέχειν, ἵνα κτλ.* [Nisi malis *δέ* quidem rejicere, retinere tamen *τινι τῶν ....ῶν* sic: *κ. δεῖ τινι* (de qua constr. cf. Plat. Rep. X. p. 608. c.) *τῶν ἐρ. ἑν. τ. κ. τ. ἐρ. προςέχειν, ἵνα κτλ.*] — *τελειώτερος*] A et D *τελειότερος.* Recte; vel *τελεώτερος*, ut supra saepius. — *ὑπεριδρυμένος*] B .....*νως.* Addenda autem haec verbi compositi forma Lexicis est. Ex Platonicorum libris abiit in Dionysianos, ubi de

δυναμένοις κοινωνεῖν ἀλλήλοις ἔχει τὴν ὑπόστασιν· ἐπειδὴ καὶ αὐτὸς δι᾽ ὁμοιότητος ἐπιτελεῖται τῶν ὑφειμένων πρὸς τὰ κρείττονα, καὶ διὰ συνδέσεως τῶν ἀτελεστέρων πρὸς τὰ τελειότερα, καὶ δι᾽ ἐπιστροφῆς τῶν πληρουμένων πρὸς τὰ τῆς πληρώσεως αἴτια. Ἔτι τοίνυν διὰ τῶν αὐτῶν τούτων ῥημάτων ἅμα μὲν εἰς ἑαυτὸν ὁ Σωκράτης συλλέγει τὸν Ἀλκιβιάδην καὶ τὴν ἑαυτοῦ πρόνοιαν, ἅμα δὲ τῆς ἑαυτοῦ ψυχῆς αὐτὸν καὶ τῶν ἔνδον κινημάτων καθίστησι θεωρόν· καθαίρων μὲν αὐτὸν ἀπὸ αἰσθήσεως καὶ φαντασίας καὶ τοῖς περιττοῖς ἐν τοῖς ἐκτὸς οἰήσεως, ἐπιστρέφων δὲ εἰς τὴν ἔνδον ζωὴν καὶ πείθων γνωρίσαι τὰς κινήσεις τὰς ἐν αὐτῷ, καὶ ἐπισκέψασθαι τὸ τέλος αὐτῶν, εἰς ὃ βλέπουσι, καὶ τὸν τρόπον τῆς τελειώσεως αὐτῶν. Εἰ δέ τινες λέγοιε καί, ὅτι τὸ πρὸς αὐτὸν σὲ προςέθηκεν, ὡς ἐπισφαλῶν ὄντων τῶν ῥηθησομένων καὶ εὐδιαβόλων πρὸς τοὺς πολλούς, οὐκ ἄξια Σωκράτους ἂν αὐτοὶ προφέροιεν· ἀλλὰ μᾶλλον ἐνδείκνυσθαι ῥητέον αὐτόν, ὅπερ ὁ σκοπὸς ἔχει τοῦ διαλόγου, τὸ τὸν Ἀλκιβιάδην εἶναι τὴν ψυχήν. Τὸ γὰρ τὰ διανοήματα καὶ πρὸς αὐτὸν σὲ τὸν Ἀλκιβιάδην ἐν τῇ διανοητικῇ τίθεται ζωῇ, καὶ ψυχὴν αὐτοῦ μόνον εἶναι ὑποσημαίνει, τῶν ἄλλων εἰδῶν τῆς ζωῆς ἐξῃρημένων κατ᾽ οὐσίαν.

[v.] „Δοκεῖς γάρ μοι, εἴ τίς σοι εἴποι θεῶν, ὦ Ἀλκιβιά-„δη, πρότερον βούλει ζῆν εἰ, ἃ νῦν ἔχεις, ἢ αὐτίκα τε-„θνάναι, εἰ μή σοι ἐξέσται κτήσασθαι; δοκεῖς ἄν μοι „ἑλέσθαι τεθνάναι.“ (p. 105. a. Bekk. p. 302.)

Ὥςπερ ἐν ταῖς τραγῳδίαις ἐκ μηχανῆς πολλάκις θεούς τινας

divinn. nominib. II. 10. p. 532 Antverp. de Christo haec leguntur: *καὶ πάσης ὑπεριδρυμένος καὶ ἀρχῆς καὶ τάξεως.* — *οὐδὲ μίαν*] D *οὐδεμίαν.* — *τοῖς περιττοῖς ἐν τοῖς ἐκτος*] A et B *τῆς περιτῆς ἐν τοῖς ἐκτὸς.* D *τῆς περιτῆς ἐκ τῆς ἐκτὸς.* E a prima manu, ut noster; sed secunda *τῆς περιττῆς*, uti legendum est. — *καὶ ἐπισκέψασθαι*] D om. *καί.* — *τινες λέγοιε*] cett. bene *τινες λέγοιεν.* — *πρὸς αὐτὸν σὲ*] A *πρὸ αὐτὸν σε* (sic). D *πρὸς αὐτὸν δέ.* — *ἐπισφαλῶν*] B *ἐπισφαλῶς.* — *εὐδιαβόλων*] B *οὐ διαβάλλων.* D *ἀδιαβόλων.* — *προφέροιεν*] A *προφέρειεν.* — *ῥητέον αὐτὸν*] cett. *λεκτέον αὐτὸν*, excepto solo Cod. E. — *πρὸς αὐτὸν σὲ*] A et D *πρὸς αὐτόν σε.* B om. *σε.* — *μόνον εἶναι*] A et D *μόνως εἶναι.* E in contextu *αὐτοῦ μόνον*, in margine *αὐτὸν μ.* bene. — *ἐξῃρημένων*] A et E *ἐξῃρημένα.* B *ἐξειρημένα.* D *ἐξῃρημένην.*

*Πρότερον βούλει*] D *πότερον βούλει*, et ita legendum, et pergendum *ζῆν ἔχων ἃ*, ut est in Edd. — *κτήσασθαι*] A E et D *μείζω κτήσασθαι*, ut Edd.; recte. B *μείζων κτήσασθαι.*

εἰςάγουσιν οἱ ποιηταὶ τῶν παρόντων πραγμάτων διορθωτάς, οὕτω μοι δοκεῖ καὶ ὁ Σωκράτης ἐν τούτοις οἷον θεῖον φάσμα τῷ νεανίσκῳ προτείνας ἐπὶ τούτου τὴν σύμπασαν αὐτοῦ διάνοιαν ἁπλοῦν. Καὶ ὥςπερ ἐν ταῖς τελεταῖς τῶν ἀῤῥήτων φασμάτων δείξεις καὶ τὰ σύμβολα καταπλήττοντα τοὺς τελουμένους ἐπιτηδειοτέρους αὐτοῖς καθίστησι καὶ συμπαθεστέρους πρὸς ὅλην τὴν τελετήν, οὕτω δὴ καὶ ὁ παρὼν λόγος ἐκ τοῦ θείου τὴν ἀρχὴν ποιούμενος, καὶ θεοῦ ἐπιστήσας τῇ συνουσίᾳ μειζόνως ἐπιστρέφει τὸν νεανίσκον εἰς ἑαυτόν. Ἔτι δὲ δοκεῖ καὶ δι' ἄλλην αἰτίαν τοῦτο ποιεῖν ὁ Σωκράτης. Ἐπειδὴ γὰρ μέλλει τὰς κινήσεις ἁπάσας τοῦ νεανίσκου καὶ τὰς διανοήσεις ἐκφαίνειν, ἵνα, εἰ τύχοι, καὶ ἔξαρνος ἐκεῖνος γένηται, εἰ μὲν μηδὲν τοιοῦτο διανενοῆσθαί ποτε, προκαταστέλλει τὴν ἄρνησιν καὶ ἐκ πολλῶν καθίστησιν καὶ ἐκ ποδῶν καθίστησι θεὸν ἐπιστήσας τοῖς λόγοις. Ἅπαντες γὰρ κατὰ φύσιν πρὸς τοὺς θεοὺς τὰς ἑαυτῶν ἐννοίας λέγομεν καὶ τὰ πάθη καὶ τὰς ὀρέξεις, πεπεισμένοι κατὰ τὰς ἀδιαστρόφως προλήψεις τὸ θεῖον τὰ πάντα γινώσκειν καὶ τὰ ἀφανῆ κινήματα τῶν ψυχῶν. Εἰ δὲ βούλει, καὶ τοῦτο εἰπὲ, ὅτι διὰ τούτων ὁ Σωκράτης μέλλει τῶν λόγων ἑαυτῷ συνάπτειν τὸν νεανίσκον, ἐνδειξάμενος, ὅτι παντὸς ἄξιός ἐστιν αὐτῶν, καὶ ὅτι τῶν οἰκείων ἐφετῶν οὐκ ἄν ποτε Σωκράτους ἄνευ. Πᾶσα δὲ συναφὴ καὶ

— *εἰςάγουσιν*] B *εἰςάγοντιν*. Ad rem cf. Aristot. de Arte Poet. XVIII. 12 sq. Lambin. ad Horat. de A. P. v. 191. Diogeniani Proverbb. Cent. III. p. 196. Schott. *Ἀπὸ μηχανῆς θεὸς ἐπιφανεὶς· — ἐν γὰρ τοῖς τραγῳδίαις θεοὶ ἐξ ἀφανοῦς ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο*. cf. ibid. Proverbb. e Suida p. 367 et Adagia Erasmi et all. p. 591. ed. Frcf. 1656. — *αὐτοῖς καθίστησι*] cett. *αὐτοὺς καθίστ*. Bene. — Ad sententiam cf. supra cap. 19 ibiq. annot. — *πρὸς ὅλην τὴν*] cett. *πρὸς τὴν ὅλην*, excepto Cod. E. — *τοῦτο ποιεῖν*] D *τοῦτο ποιῶν*. — *μέλλει*] D *μέλλον*. — *ἐκεῖνος γένηται*] B om. *ἐκεῖνος*. Locus videtur corruptus. An legendum *γένοιτο* et *προκαταστέλλῃ*? Reliqua ex libris corrigenda monuimus. — *εἰ μὲν μηδὲν τοιοῦτο*] cett. bene *ἦ μὴν μηδὲν τοιοῦτον*, sed E *ἦ μὲν μηδὲν τοιοῦτο*. — *καὶ ἐκ πολλῶν καθίστησιν*] haec omiss. sunt in cett. et merito absunt. Repetit enim librarius haec quatuor verba, postquam se perperam *πολλῶν* scripsisse animadvertit. — Pergit Ficini versio inde ab *Ἅπαντες*, p. 225. Mox autem verba *Εἰ δὲ βούλει* usque ad *ἄνευ* omittit. — *καὶ ἐκ ποδῶν*] A et D bene *καὶ ἐκποδών* — *ἀδιαστρόφως*] A E et D *ἀδιαστρόφους*, bene. B *διαστρόφους*. — *οὐκ ἄν ποτε*] cett. add. *κρατήσειε*. et hoc necessario addendum. Paulo superius pro *παντὸς* legendum videtur *πάντως*. [cf. tamen p. 48.]

κοινωνία κατὰ λόγον ἀποτελουμένη δεῖται τῆς τοῦ θεοῦ παρουσίας. Τί γὰρ τὸ ἐνώπιον τῶν πραγμάτων, ἢ τὸ συναγωγόν ἐστι τῶν διῃρημένων, ἢ τὸ θεῖον; Καὶ διὰ ταῦτα τοίνυν ἡ τοῦ θεοῦ παρουσία καὶ ἡ ἐρώτησις αὕτη τῷ Σωκράτῃ μεμηχάνεται, καὶ μὴν καὶ ἡ πρότασις αὕτη τῶν ἐν τῷ κόσμῳ γινομένων ἀεὶ δοκεῖ μοι προτείνειν εἰκόνα τινά. Καὶ γὰρ ταῖς ψυχαῖς οἱ θεοὶ τοὺς βίους προτείνουσι, καὶ ἑλομέναις ἀποπληροῦσι τὰ πρέποντα τοῖς βίοις· καὶ οὕτω μὲν δὴ τὸ αὐτεξούσιον ἐν μέσῃ τῇ προνοίᾳ περιέχεται καὶ κινούμενον καὶ ὁριζόμενον ἐκεῖθεν καὶ τῷ μέσῳ στρεφόμενον. Καὶ ταῦτα σαφῶς ἐν Πολιτείᾳ γέγραπται· καὶ γὰρ ἐκεῖ προτείνει ταῖς ψυχαῖς τοὺς βίους, ἐκ τῶν τῆς Λαχέσεως γονάτων τοὺς κλήρους λαμβάνων καὶ βοῶν ἐν μέσαις αὐταῖς ταῖς ψυχαῖς ἐ φ ή μ ε ρ ο ι. Καὶ ἡ μὲν πρότασις διὰ μέσου τοῦ προφήτου περὶ τῆς Λαχέσεως, ἡ δὲ αἵρεσις ἐκ τῶν προταθέντων ἤδη τῶν ψυχῶν ἐστιν αὐτῶν· ἀνάλογον δὴ κἀνταῦθα· τῇ μὲν Λαχέσει θεὸς νοείσθω τὸν νεανίσκον ἐρωτῶν, τῷ δὲ προφήτῃ μετὰ τοῦτον ὁ Σωκράτης ὁ τὴν ἐρώτησιν ἐκφαίνων τοῦ θεοῦ, ταῖς δὲ αἱρουμέναις ψυχαῖς ὁ νεανίσκος, οὗ τὴν αἵρεσιν ὁ Σωκράτης προείληφε. Καὶ γὰρ ὁ ἐκεῖ προφήτης ἐν ἑαυτῷ τὰς τῶν ψυχῶν αἱρέσεις προλαβὼν ἁπάσας, οὕτως ἐπιῤῥίπτει τοὺς κλήρους, καὶ τὸ δοκοῦν ἄστατον εἶναι πρᾶγμα καὶ ἀόριστον ἐν τοῖς κρείττοσιν ἀεὶ καὶ τελεωτέροις καθ' ἕνα ῥόον καὶ ἑστώτως καὶ

— *ἐνώπιον*] A et D optime cum Fic. *ἑνοποιὸν*. B et E *ἑνωποιὸν*. — *μεμηχάνεται*] *μεμηχάνηται*. E *Σωκράτει μεμηχάνηται*. Bene. Quae leguntur inde a *καὶ διὰ* usque ad *εἰκόνα τινὰ* omisit Fic. — *προτείνειν*] B *προτείνων* (superscr. *ειν*). — *τὰ πρέποντα*] A et B *τὰ τρέποντα*. — *καὶ οὕτω μὲν*] D om. *μὲν*. — *καὶ γὰρ ἐκεῖ*] cett. add. *ὁ προφήτης*, quod abesse nequit. Vide ad verba et ad rem Plat. Republ. X. p. 617. d. Bip. T. VII. Bekk. III, 1. p. 509. coll. Pind. Pyth. VIII, 135. de voce *ἐφήμεροι*, ib. interprr. Beck. ad Aristoph. Av. 685 sq. Wyttenb. ad Plut. de S. N. V. p. 22 sq. — *προταθέντων ἤδη*] B *προτεθέντων εἴδη*. Leg. *προτεθέντων ἤδη*, ut legit Fic. vertens: *circa vitas ibi propositas*. — *ἀνάλογον*] A *ἀνὰ λόγον*. Frequens varietas, de qua diverso modo pronuntiant critici vid. Heindf. ad Platon. Phaedon. T. IV. p. 252; Wyttenb. ad eundem dialogum p. 307 et de Mathematicorum usu van Capellen ad Aristot. Mechan. 163 sq. — *κἀνταῦθα*] cett. *οὖν κἀνταῦθα*, quod placet. — *αἱρουμέναις*] B *αἱρομέναις*. — *προείληφε*] A et B *προείληφεν*. Recte. — *καθ' ἕνα ῥόον*] B *καθ' ἓν ἀρ*... (seq. lacuna). D *καθ' ἵνα ὅρον*.

τεταγμένως προείληπται. Ταῦτα μὲν οὖν ἐκ τῶν ῥημάτων τούτων δείκνυσιν ἡμῖν ἐναργῶς ὁ Πλάτων, συναγάγοι μὲν δ' ἂν ἐκ τῶν αὐτῶν οἷον πόρισμα καὶ ἄλλα τοιαῦτα. Πρῶτον μὲν, ὅτι τὸ κακῶς εἶναι τοῦ μὴ εἶναι πάντῃ χεῖρόν ἐστι, καὶ κατὰ ταύτην ἄρα τὴν ἔννοιαν ὁ Ἀλκιβιάδης ᾕρεῖτο μὴ ζῆν μᾶλλον, ἢ διαπεσεῖν τῆς μεγαλουργοῦ ζωῆς. Δεύτερον, ὅτι τὸ χωρισθῆναι τοῦ σώματος τὴν ψυχὴν ἀπαλλάττει τῆς ἐν τῷ θνητῷ τόπῳ δυσχερείας, καὶ τῶν ἐμποδίων τῶν ἐνταῦθα παραγινομένων εἰς τὴν τεῦξιν τοῦ προσήκοντος τέλους. Τρίτον, ὅτι καὶ αἱ τῶν ψυχῶν ἐφέσεις τὰ μέγιστα συντελοῦσι πρὸς τοὺς βίους, καὶ οὐ πλαττομένοις ἔξωθεν ἐοίκαμεν, ἀλλ' ἐφ' ἑαυτῶν προβάλλομεν τὰς αἱρέσεις, καθ' ἃς διαζῶμεν.

— συναγάγοι μὲν δ' ἂν] A συναγάγοιμεν δ' ἄν. B συναγάγοιμεν δὲν ἄν. D συγάγωμεν δ' ἄν. Leg. vid. συναγάγωμεν δ' ἄν. — μὴ ζῆν μᾶλλον] D μᾶλλον μὴ ζῆν. — δυσχερείας] B δυσχωρείας. — διαζῶμεν] D διαζῆμεν.

# PARTIS PRIMÆ

# FASCICULUS ALTER.

[να.] „Ἀλλὰ νῦν, ἐπὶ τίνι δή ποτε ἐλπίδι ζῇς, ἐγὼ φράσω· „ἡγῇ, ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς, „(τοῦτο δὲ ἔσεσθαι μᾶλλον ἡμερῶν ὀλίγων·) παρελθὼν „δὲ ἐνδείξασθαι (Bekk. ἐνθείξεσθαι) Ἀθηναίοις, ὅτι ἄξιος „εἶ τιμᾶσθαι, ὡς οὔτε Περικλῆς οὔτε ἄλλος οὐδεὶς τῶν „πώποτε γενομένων, καὶ τοῦτο ἐνδειξάμενος μέγιστος γε„νήσῃ ἐν τῇ πόλει, ἐὰν δὲ ἐνθάδε μέγιστος ᾖς, καὶ τοῖς „ἄλλοις Ἕλλησι, καὶ οὐ μόνον ἐν Ἕλλησιν, ἀλλὰ καὶ ἐν „τοῖς βαρβάροις, ὅσοι ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ.“ (p. 105. b. Bekk. p. 302.)

Δείκνυται μὲν εὐθὺς ἐκ τούτων, ὁπόσον ἦν τὸ διάφορον τοῦ τε Ἀλκιβιάδου καὶ τοῦ θείου Σωκράτους, εἴπερ ὁ μὲν ἐδεῖτο τοῦ γνῶναι παρ' αὐτοῦ, τίνα ἐλπίδα ἔχων ὑπομένει τῶν ἄλλων ἀποφευγότων (Leg. ἀποπεφευγότων) ἐραστῶν· ὁ δὲ αὐτός φησι πᾶσαν τὴν ἐλπίδα φανερὰν ποιήσειν. Λάβοις δ'

Ἀλλὰ νῦν] A et B πολλὰ νῦν. — ἡγῇ] A et B ἡ γῆ. Ast. et Bekk. ἡγεῖ. — δῆμον παρέλθῃς] A et B δῆμον παρέλθῃς κτλ. omissis sequentibus usque ad ἠπείρῳ. — Ceterum haec verba explicantur a Scholiasta ad h. l. p. 69 infr. ed. Ruhnken., ex iisdemque Persius effinxit exordium satirae quartae: *Rempublicam tractas* docente Politiano in Miscell. cap. 4 p. 481 ed. Lugd. Cf. etiam Casaubonum ad illam Satir. — μᾶλλον ἡμερῶν] D μάλα ἡμερῶν, ut est in Edd., nisi quod ὀλίγων interponitur, ut paulo inferius noster, recte. — ἐὰν δὲ ἐνθάδε] D ἐὰν δ' ἐνθάδε. Quod praecedit in libris editis scribitur: μέγιστον δυνήσεσθαι, pro μέγιστος γενήσῃ (-σει). Mox in dialogo nostro legitur: καὶ ἐν τοῖς ἀλλ. Ad ἐνδειξάμενος pertinet Scholion. p. 70 Ruhnken. — ἐν τοῖς βαρβάροις] D om. τοῖς. — πᾶσαν τὴν ἐλπίδα] cett. αὐτοῦ πᾶσ. τ. ἐλπ., excepto E.

ἂν δια τούτου θεώρημα θαυμαστόν, τὸ τὰ κρείττονα ἁπανταχοῦ μονοειδῶς περιειληφέναι τὰ καταδεέστερα, τὰ δὲ χείρονα μὴ ἐξισοῦσθαι τῇ δυνάμει τῶν ὑψηλοτέρων· καὶ τὸ τῶν μὲν ἀνωτέρων τὰς γνώσεις ἀραρότως περιέχειν τὰς τῶν δευτέρων ἐνεργείας, τῶν δὲ ὑφειμένων τὰς ἐπιβολὰς τὴν τῶν ὑπερκειμένων ὅλην ἐνέργειαν μὴ δύνασθαι συνορᾷν, καὶ μὴν καὶ ἡ πάροδος ἡ εἰς τὸν δῆμον οὕτω ταχεῖα γινομένη καὶ πρὸ τῆς τελειώσεως ἱκανῶς ἐμφαίνει τὸ ἔμπληκτον τῆς ὁρμῆς καὶ τὸ δημεραστικόν. Τὸ γὰρ οὕτως ἔχοντα τὴν ψυχὴν ἀμαθῶς μάλα ὀλίγων ἡμερῶν εἰς τὴν τῶν δημαγωγῶν καθίσταται τάξιν, πῶς οὐκ ἀλόγιστον καὶ πλημμελές; Ἅμα οὖν καὶ τὴν ἡλικίαν ὁ Σωκράτης τοῦ Ἀλκιβιάδου δεδήλωκεν εἰπών, τοῦτο δὲ ἔσεσθαι μάλα ὀλίγων ἡμερῶν, (μετὰ γὰρ τὴν ἐφήβειαν αὐτοῖς ἀγορεύειν ἐξῆν ὥςπερ ἔτος εἰκοστόν) καὶ ἐπέπληξε τῷ ἀνοήτῳ τῆς ὁρμῆς· οὐ γὰρ ἔδει τὸν τῆς ἐφηβείας παραμένειν καιρόν, ἀλλα τὴν τῆς ἐπιστήμης κτῆσιν καὶ τῆς ἀμαθίας κάθαρσιν. Ἔτι τοίνυν τῇ τοιαύτῃ παρόδῳ καὶ τῇ ὁρμῇ καὶ τὸ τέλος ἐστὶ σύμφωνον· οὐδὲ γὰρ εἰς τὸ ἀγαθὸν ὁρᾷ τῆς πόλεως, οὐδὲ εἰς τὴν σωτηρίαν, ἀλλ' εἰς τιμὴν καὶ δυναστείαν· οὐ γὰρ συμβουλεύσεις, φησὶν, Ἀθηναίοις περί τινος ἀγαθοῦ, ἀλλ' ἐνδείξῃ, ὅτι ἄξιος εἶ τιμᾶσθαι· τοῦτο δὲ φιλότιμόν ἐστιν, ἀλλ' οὐ προνοητικόν. Ἔτι δὲ λέγω, ὅτι καὶ ἡ πρὸς τὸν Περικλέα ἅμιλλα τὸ ἴδιον ἐμφαίνει τὸ κατὰ πάθος ζώντων· ἀπὸ

— ἁπανταχοῦ] B et D πανταχοῦ. — ἐξισοῦσθαι] D συνεξισοῦσθαι. — τῶν μὲν ἀνωτέρων] cett. τῶν μὲν ἀνωτέρω. Bene. — συνορᾷν] D σῶσαι ῤ"αῦ (sic). Post hoc vocabulum Ficinus nullo omissionis signo addito omisit 44. paginas. Sequuntur vero, ut Procli, haec, quae nostri libri non exhibent: „Quod superius est, nihil a deterioribus „in se accipit, quemadmodum neque coelum ex mutatione accipit „aliquam sublimariam (sic. fort. voluit: *sublunariam*) passionem: „neque immobilis causa ex motu mundanorum mundanum aliquid „intromittit: nec omnino quae sunt aeterna ex rebus agentibus, „temporaliter quicquam in se ipsis admittunt. Haec denique, quod „necessarium est, dum cuncta cognoscit, mutationem sustinent in „eo etiam cognoscendo, quod est contingens." — πρὸ τῆς τελειώσεως] A πρὸς τῆς τελ. — δημεραστικὸν] B δημεριστικόν. D δημερ.... (sq. lac.) — καθίσταται] D καθίστασθαι. Bene. — ἅμα οὖν καὶ] D ἅμα δὲ καί. — οὐ γὰρ ἔδει] D καὶ γὰρ ἔδει. — ἀμαθίας] B ἀμαθείας. — ἀλλ' εἰς τιμὴν] omnia, quae nunc sequuntur, cod. B omisit. — ἐνδείξῃ] A ἐνδείξῃς (Werferus scripsit ἐνδείξας). Placeret ἐνδείξεις, sed stare potest ἐνδείξῃ. — τὸ κατὰ πάθος] cett. i. e A et D τῶν κατὰ

γὰρ τῶν οἰκειοτάτων ἄρχονται τῆς ἐναντιώσεως οὐ προσποιούμενοι τὴν οἰκειότητα καὶ τὴν συγγένειαν, ἀλλὰ καὶ τούτοις ἐφεδρεύοντες, εἰ παρ' αὐτοῖς ἴδοιεν τὸ σφέτερον ἀγαθὸν, περὶ ὃ ἐσπούδακεν ὁ Ἀλκιβιάδης· οὐ γὰρ ἂν ἐμάχετο περὶ αὐτοῦ πρὸς ἄλλους. Τὰ μὲν γὰρ ἀμέριστα τῶν ἀγαθῶν ἅμα πλείοσι παρεῖναι δυνατὸν, καὶ οὐδεὶς ἔλαττον ἔχειν (scr. vid. ἔχει) περὶ αὐτὰ διὰ τὴν τῶν ἄλλων κτῆσιν, τὰ δὲ μεριστὰ σὺν ἐλαττώσεσι τῶν ἄνϳ παραγίνεται τοῖς ἔχουσιν. Ὅτι δὲ ὁ Περικλῆς διαφανέστατος ἐγένετο τῶν δημαγωγῶν, ἡ ἱστορία λέγει, καὶ γὰρ ἐν τῇ ζωῇ διαφέρων ἦν τῶν πολλῶν καὶ, ὡς αὐτὸς ὁ Πλάτων ἐν Φαίδρῳ λέγει, φύσιν γενναίαν λαχὼν καὶ Ἀναξαγόρᾳ συγγενόμενος καὶ φρονήματος ἐκ φιλοσοφίας πληρωθεὶς τῶν ἄλλων τελεώτερος ἦν, εἰ δὲ καὶ ἀνιὼν ἐπὶ τὸ βῆμα πρὸς ἑαυτὸν εἰώθει λέγειν· Ἑλλήνων ἄρχεις, Ἀθηναίων ἄρχεις, ἐλευθέρων ἄρχεις· δῆλος ἦν καὶ διὰ τούτων σκοποὺς ἐν ἑαυτῷ τῆς δημαγωγίας ἀστειοτέρους τῶν πολλῶν προστησάμενος. Πρὸς δὴ τοῦτον ἁμιλλώμενος ὁ νεανίσκος τὸν συγγενῆ, τὸν ἐπίτροπον, τὸν διὰ φιλοσοφίας τοιοῦτον γενόμενον, πῶς οὐκ ἔμπληκτος, ἀμαθὴς ὢν καὶ ἀπαίδευτος; Εἰ δὲ οὐ πρὸς Περικλέα μόνον, ἀλλὰ καὶ πρὸς τοὺς προγεγονότας διαμάχεται, πῶς οὐκ ἄπληστον ἐν αὐτῷ τὸ τῆς φιλοτιμίας πάθος; οὐκ ἐπιλογιζομένῳ τὰ τοῦ Ὀδυσσέως ἐκεῖνα τοῦ σώφρονος·

Ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω.

[νβ.] Καθόλου γὰρ εἰπεῖν ἕκαστον τῶν παθῶν ἀπέραντόν ἐστι καὶ ἄμετρον, λόγῳ μὴ κρατούμενον. Ὁ γὰρ λόγος πέρας ἐστὶ, τὸ δὲ πάθος ἄλογον καὶ ἀόριστον· ἔτι τῆς δυνάμεως τὴν ἔφεσιν ἐκτεινομένην ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Ἑλ-

πάθος. Bene. Frustra Cod. E cum nostro facit. — τὸ σφέτερον ἀγαθὸν] D τὸ σφέτερον ἐφετὸν· καὶ ἅμα δῆλον, ὅτι μεριστόν ἐστι τὸ ἀγαθόν. Quae addenda videntur. — ὁ Ἀλκιβιάδης] A om. ὁ. — [ἄνϳ· quod signum ἄλλων, ut cett. bene, legendum videtur; ν enim confusum cum λλ (vid. Add. ad Greg. Cor. ed. Sch. p. 921 infr.) et circumflexus cum compendio ων, de quo ibid. p. 224 not.] — τῶν ἄλλων τελεώτερος ἦν] A τελεώτερος ἦν τῶν ἄλλων ῥητόρων. D τελέωτ. αὖ τ. ἄλλ. ῥητ. Locus Platonis est in Phaedro p. 270. a. Bip. T. X. Bekk. I, 1. p. 87. Cf. Eupolidis fragmentum de Periclis eloquentia, quod ex Schol. Aristoph. Acharn. 529. laudavit Wyttenbach. ad Plut. de S. N. p. 7. et quos ibi laudat auctores. — Ὀδυσσέως ἐκεῖνα] D Ὀδυσσέως ἐκείνου v. Odyss. θ,223.

λάδα καὶ ἀπὸ ταύτης ἐπὶ τὴν Εὐρώπην, καὶ ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν καὶ ἐπὶ πάντας ἀνθρώπους, τί ἄλλο γε ἔοικε δηλοῦν, ἢ τὸ ἄμετρον ἐνδείκνυσθαι τῆς φιλάρχου ζωῆς; Ὡς γὰρ τὸ φιλότιμον οὐχ ὁρίζει τὴν ὑπεροχὴν τῆς τιμῆς ἕως Περικλέους, ἀλλὰ πρὸς πάντας ὁμοίως ἁμιλλᾶται τοὺς πρότερον γεγονότας, οὕτω δὴ καὶ τὸ φίλαρχον ἀεὶ τοῦ προτεινομένου γένους ὑπερορᾷ, καὶ τούτου περιληπτικώτερον ἐκλέγεται καὶ πρόεισιν εἰς ἄπειρον. Πάλιν τοίνυν ἐκ τούτων τὰς ἐννοίας ἀνακαθηρώμεθα, δι' ἃς ὁ νεανίσκος τὰ τοιαῦτα ὀνειροπόλει· (scr. ὠνειροπόλει) προείρηται γάρ, ὅτι στοχάζεταί τινος τέλους, ἀποπίπτει δὲ αὐτοῦ δι' ἀνεπιστημοσύνην. Τὸ μὲν δὴ τίμιον πᾶν διώκων πάντως ὀρέγεται τοῦ θείου· τίμιον γὰρ τὸ θεῖόν ἐστι πρώτως, δευτέρως δὲ ἡ κεκοσμημένη ψυχή, καθά φησιν ὁ Ἀθηναῖος ξένος· τῶν δ' αὖ κακῶν οὐδὲν τίμιον· ἡ δὲ ἄγνοια τῶν ὄντως τιμίων ἐν τοῖς φαινομένοις αὐτῶν καὶ τοῖς μὴ φαινομένοις στρέφεσθαι ποιεῖ. Τῆς τοίνυν ἐπιστήμης ἔργον ὑποδεῖξαι, τίς ἡ ἀληθὴς τιμὴ καὶ ἐν ποίᾳ φύσει τῶν ὄντων τὸ τίμιον· τὸ δὲ αὖ πάντων ἀνθρώπων ὑπερέχων τῇ τιμῇ κινητικόν ἐστιν αὐτοῦ· διότι δαιμονίας τινὸς τάξεως καὶ πάσης τῆς ἐν γενέσει ζωῆς ἐξῃρημένης ἐπιθυμεῖ, καὶ πρὸς ἐκείνην βλέπων σμικρὰς εἶναι νομίζει τὰς περὶ τοὺς ἄλλους ἀνθρώπους τιμάς. Καὶ μὴν καὶ ἡ ἔφεσις τῆς κατὰ πάντων ἀνθρώπων δυναστείας καὶ ἡ μετάβασις ἡ ἀπὸ τῶν μερικωτέρων δυνάμεων ἐπὶ τὰς κοινοτέρας καὶ περιληπτικωτέρας εἰς τὸ ἀπόλυτόν ἐστι τῶν θεῶν γένος ὁρῶντος τὸ πᾶσιν ἐξουσιάζον τοῖς ἐγκωμίοις καὶ διατεῖνον ἐπὶ πάντα τὰ ἐν κόσμῳ ταῖς δυνάμεσιν. Ἐκεῖ γὰρ καὶ ὁ μέγας

*ἀλλὰ πρὸς πάντας*] A et D *ἀλλὰ πρὸς ἅπαντας*. Paulo ante fortasse legendum: *ἡ ἔφεσις ἐκτεινομένη*. — *ὁ Ἀθηναῖος ξένος*] Apud Platonem in Legg. V, init. pag. 726. a. Bip. T. VIII. Bekk. II, 3. pag. 371. — *ἐν τοῖς φαινομένοις αὐτῶν*] A et D *ἐν τοῖς φαινομένοις αὐτόν*. — *τοῖς μὴ φαινομένοις*] A et D om. *μὴ* atque D *φαινομένας* habet pro *φαινομένοις*. E *μὴ* additum habet ex correctione. — *τῆς τοίνυν ἐπιστήμης*] A *τοῖς τοίνυν ἐπιστήμης*. — *ὑπερέχων τῇ τιμῇ*] A E et D *ὑπερέχειν τῇ τιμῇ*, et ita legendum. — *περὶ τοὺς ἄλλους ἀνθρ.*] A *περὶ τοῦ ἄλλους ἀνθρ.* — *ἐξουσιάζον*] D *ἐνεξουσιάζον*. — *τοῖς ἐγκωμίοις*] D *τοῖς ἐγκοσμίοις*. Placet sane *ἐγκοσμίοις* proter sequentia. Locus qui sequitur ex Platonis Phaedro est p. 246. e. Bip. T. X. Bekk. I, 1. p. 41.

ἡγεμὼν Ζεὺς διακοσμῶν πάντα καὶ ἐπιμελούμενος, ὥς φησιν ὁ ἐν Φαίδρῳ Σωκράτης· Ὁ τοίνυν δήϊος καὶ ἡγεμονικὸς τὴν φύσιν τῇ τοῦ ὅλου καὶ παντὸς ἐπιθυμίᾳ τὰς μὲν παρούσας ἀεὶ δυνάμεις ἀτιμάζει, τὰς δὲ ὁλικωτέρας ποθεῖ. Καὶ τέλος ἐπείγεται τὸν ὅλον κόσμον συνδιοικεῖν τοῖς θεοῖς· ταύτην γὰρ εἶχε τὴν ἀξίαν καὶ τοῦ Διὸς ὀπαδὸς ὤν. Ψυχῆς οὖν ἐστι σπευδούσης εἰς τὴν τοῦ σύμπαντος κόσμου διοίκησιν ἡ ἀπὸ τῶν ἐλαττόνων δυνάμεων εἰς τὰς μείζους μετάβασις, ἀλλ' ἐπιστήμης μὲν κρατησάσης σωτηρία τὸ τέλος τῆς τοιαύτης ψυχῆς· ἄνευ δὲ ταύτης διαφορὰ καὶ τῶν ἐφημίων καὶ τῶν ἄλλων ἀνθρώπων.

[νγ.] „Καὶ εἰ αὖ σοι εἴποι ὁ αὐτὸς θεός, ὅτι αὐτοῦ ἔδει „δυναστεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ εἰς τὴν Ἀσίαν „οὐκ ἐξέσται σοι, οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν, „οὐκ ἂν αὖ μοι δοκεῖς ἐθέλειν οὐδὲ ἐπὶ τούτοις μόνοις „ζῆν, εἰ μὴ ἐμπλήσεις τοῦ σοῦ ὀνόματος καὶ τῆς σῆς „δυνάμεως πάντας ὡς ἔπος εἰπεῖν ἀνθρώπους· καὶ οἶμαί „σε πλὴν Κύρου καὶ Ξέρξου ἡγεῖσθαι οὐδένα ἄξιον εἶναι „γεγονέναι." (p 105, b, c, Bekk, p, 302.)

Ὁ μὲν αὐτὸς ὑπόκειται θεός, ἵνα τῆς ἀπορίας ἀεὶ τῆς κατὰ τὴν ἔφεσιν τοῦ Ἀλκιβιάδου πολλαπλασιαζομένης, τὸ με-

— *ὁ τοίνυν δήϊος*] D *ὁ τοίνυν δῖϊνες* (sic) scrib. *Δίϊος*. In margine. Cod. E adscriptum est: *Joviales* animae, de quibus jam supra aliquando sermo fuit. Laudat eundem Platonis locum de Jove summo rege Noster in Platon. Theolog. VI. 10 p. 368 ubi item haec posuit: *ὅθεν καὶ αὐτῶν τῶν ψυχῶν τὰς μὲν οὔπω προελθούσας εἰς γένεσιν, ἀλλ' ἐν τῷ νοητῷ μενούσας διΐας εἶναί φασι.* — *ποθεῖ*] D *ἐποθεῖ*. — *ἐπείγεται*] D *ἐπίκειται*. — *ἐστι σπευδούσης*] D *ἐπισπευδούσης*. — *ἐφημίων*] Vocabulum hoc si probum est h. l. pro *εὐφήμων*, eximendum est dubiis vocibus, in quibus a Schneidero ponitur.

*ἔδει*] In Edd. est *σε δεῖ*, et ante haec: *ὁ αὐτὸς οὗτος θεός*. — *τοῖς ἐκεῖ πράγμασιν*] A *τοῖς ἐκεῖ πράγμασιν κτλ.* omissis seqq. usque ad *γεγονέναι*. — *δοκεῖς ἐθέλειν*] D *δοκῇς ἐθελεῖν*. In Ed. Bip. est: *οὐκ ἂν αὖ δοκεῖς μοι*. Bekk. edidit ut est apud Proclum. — *πάντας, ὡς ἔπος εἰπεῖν*] D *πάντως ὡς ἔπ. εἰπ.* — *εἶναι γεγονέναι*] D *λόγου γεγονέναι*, et ita recte scribitur in editis. Hoc quoque loco, ut sexcentis aliis, praestantem se ceteris libris exhibet Cod. D. — *ἵνα τῆς ἀπορίας*] A et D *ἵνα τῆς ἀπειρίας*. Mendum latet in voce *διδομένη*; an scribendum *δεδομένον ᾖ* et paulo inferius *ἀναφέρῃ*? Neque placet *ἐν ᾗ*, quod non habet, quo referatur, nisi scribas: *καὶ τὴν μίαν ζωὴν, ἐν ᾗ τὸ ἐπισκοποῦν, εἰς κτλ. Moser.* [leg. vid. cum Cod. Paris. *ἐνῇ*, sed *ἀναφέροι* in *ἀναφέρον* mutandum; pro *διδομένη* auserim cogitare *εἶδος μένῃ*.]

τροῦν αὐτὴν ἀεὶ τὸ αὐτὸ διδομένη, καὶ ἵνα τὰς ὅλας ἡμῶν αἱρέσεις ἐν ᾗ τὸ ἐπισκοποῦν καὶ τὴν μίαν ζωὴν εἰς ἓν τέλος ἀναφέροι. Τὸ δὲ μήτε τῇ Εὐρώπῃ, μήτε τοῖς κατὰ τὴν Ἀσίαν ὁρίζειν τῇ φιλαρχίᾳ, ἀλλὰ τῆς κατὰ πάντων ἀνθρώπων ὀρέγεσθαι δυνάμεως ἄριστον μέν ἐστιν ἐφέσεως, ἐννοίας δὲ καὶ ὠδῖνος μεγάλης καὶ πρὸς τὸ ὄντως καὶ ὑψηλὸν καὶ θεῖον βλεπούσης, ὃ πάντας αὐτοῦ ἐκπέπληκε καὶ πᾶσι πάρεστιν ἀδιαστάτως καὶ πᾶσιν ἐνδυναστεύει τοῖς ἐν τῷ κόσμῳ, ἐπεὶ καὶ τὸ τοῦ ὀνόματος ἐμπλῆσαι πάντας ἀνθρώπους ἐκείνου τινὰ φέρει θαυμαστὴν εἰκόνα. Τὰ γὰρ ἄῤῥητα ὀνόματα τῶν θεῶν ὅλον πεπλήρωκε τὸν κόσμον, ὥςπερ οἱ θεουργοὶ λέγουσιν, καὶ οὐ τὸν κόσμον τοῦτον μόνον, ἀλλὰ καὶ τὰς ὑπὲρ αὐτὸν πάσας δυνάμεις. Καὶ γὰρ τὸ διαπόρθμιον ὄνομα τὸ ἐν σπείροις κόσμοις ἐνθρῶσκον τοιαύτην ἔλαχε. Πεπληρώκασιν οὖν οἱ θεοὶ καὶ αὐτῶν καὶ τῶν οἰκείων ὀναμάτων τὸν σύμπαντα κόσμον, ἃ καὶ θεασάμεναι πρὸ τῆς γενέσεως αἱ ψυχαὶ καὶ ποθοῦσαι τὴν πρὸς ἐκείνους ὁμοίωσιν, ἀγνοοῦσαι δὲ τὸν τῆς ὁμοιώσεως τρόπον, φίλαρχοι γίνονται καὶ ποθοῦσι τὰ ἐκείνων εἴδωλα, καὶ τοῦ ἑαυτῶν ὀνόματος καὶ τῆς ἑαυτῶν δυνάμεως ἐμπλῆσαι πᾶν τὸ ἀνθρώπινον γένος. Αἱ μὲν οὖν ἔννοιαι μεγάλαι καὶ θαυμασταὶ τῶν τοιούτων ψυχῶν, τὰ δὲ ἐπιτηδεύματα σμικρὰ καὶ ἀγεννῆ καὶ εἰδωλικὰ, χωρὶς ἐπιστήμης μεταδιωκόμενα· τὰ μὲν γάρ ἐστι παρὰ φύσιν, αἱ δὲ κατὰ φύσιν· καὶ τὰ μὲν λήθης ἐστὶν ἔκγονα καὶ ἀγνοίας, αἱ δὲ τῶν αὐτοφυῶν ὠδίνων ἀνακινήσεις. Ἀλλὰ τί βούλεται αὐτῷ ἐνταῦθα Κῦρος καὶ Ξέρξης; ἢ ἐπειδὴ Κῦρος μὲν φιλάνθρωπον καὶ δαιμονικὴν προςεστήσατο βασιλείαν, Ξέρξης δὲ φλεγμαί-

— τῇ φιλαρχίᾳ] D τὴν φιλαρχίαν, quod probum videtur. — ἀλλὰ τῆς κατὰ] A ἀλλὰ τοῖς κατὰ. — ἄριστον μέν ἐστιν] D ἀορίστου μέν ἐστιν, quod non displicet. — λέγουσιν] A et D λέγουσι. recte. — τὰς ὑπὲρ αὐτὸν] D τὰς ὑπὲρ αὐτῶν. — [διαπόρθμιος adde Schn. Lex.] — τὸ ἐν σπείροις] A E et D τὸ ἐν ἀπείροις. Recte. Noster in Platonis Timaeum p. 137. 26 ex Orphicis (cf. Fragg. VIII. 19 Herm.) Κόσμων ἐνθρώσκων κοιλώμασιν. Qui usus annotandus in Lexicis est. — οἱ θεοὶ καὶ αὐτῶν] A et D οἱ θεοὶ καὶ ἑαυτῶν. bene. — ἀγνοοῦσαι δὲ] A ἀγνοοῦσα δὲ. — καὶ τοῦ ἑαυτῶν ὀνόματος] his pergit cod. B. Mox E ἀνθρώπων pro ἀνθρώπινον. — μεταδιωκόμενα] D μεταδιωκομέναι. — ἀλλὰ τί] A ἀλλάτι. — αὐτῷ ἐνταῦθα Κῦρος] cett., excepto E αὐτῷ Κῦρ. ἐνταῦθα. Malim αὐτῷ pro αὐτῷ — καὶ δαιμονικὴν] cett. bene. καὶ κηδεμονικὴν,

νουσαν καὶ ὑβριστικήν; Διότι ὁ μὲν πατὴρ ὑπο τῶν ὑπηκόων ἐπωνομάζετο, ὁ δὲ οὐκ ἀρκεσθεὶς τοῖς παροῦσιν ἐπέθετο καὶ τοῖς τὴν Ἑλλάδα οἰκοῦσιν, ἐνδεικνύμενος τοῦ νεανίσκου τὴν ἀνεξέταστον περὶ τούτου κρίσιν, ὡς ὁμοίως ἑκάτερον θαυμάζοντος διὰ τὴν δύναμιν, τούτων ἐμνημόνευσεν. Ὁ γὰρ τιμῆς ἁπλῶς ἐραστὴς οὐ διορίζει τὸ τίμιον, ὁποῖόν ἐστι, καὶ ὁ φίλαρχος οὐ προςποιεῖται τὰς τῶν ἀρχόντων διαφορὰς, ἀλλ' ὅπου ποτ' ἂν ᾖ τὸ ἄρχειν, καὶ παρ' οἷς τι, θαυμαστὸν εἶναι νενομίκαμεν. (superinscript: . . . κεν.)

[νδ.] „Ὅτι μὲν οὖν ἔχεις ταύτην τὴν ἐλπίδα, εὖ οἶδα „καὶ οὐκ εἰκάζω· ἴσως ἂν οὖν εἴποις, οὔτε εἰδὼς ὡς „ἀληθῆ λέγω· τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτ' ἔστι σοι „πρὸς λόγον ὃν ἔφησθα ἐρεῖν, διὸ ἐμοῦ οὐκ ἀπαλλάττῃ; „ἐγὼ δὴ (Bekk. δὲ) σοί γε ἐρῶ, παῖ Κλεινίου καὶ Δει„νομένης· τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων „τέλος ἐπιθεῖναι ἄνευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ „οἶμαι δύναμιν ἔχειν (Bekk. δυν· οιμ. εχ.) εἰς τὰ σὰ πράγ„ματα καὶ εἰς σέ,“ (p. 105. c. d. Bekk. p. 302. sq.)

Τίς ὁ παιδεύων ἐστὶ καὶ τίς ὁ παιδευόμενος ὀρθῶς ἀπὸ τούτων κατανοητέον. Τὸν μὲν γὰρ παιδεύοντα προςήκει τὰς

praeter Cod. E. Tum scrib. *προεστήσατο* ex Cod. D. — *διότι ὁ μὲν*] cett. *διὸ ὁ μὲν*. Bene. — *ἐπωνομάζετο*] B *ἐπονομάζετο*. Ad rem vid. Herodot. III, 89. Diodor. Sic. IV, 30. Eadem attigit et pluribus etiam verbis explicuit *Olympiodorus* ad hunc ipsum Platonis dialogum. De argumento nonnihil posui in Mytholog. Vol. I. p. 723 sq. ed. alter. ubi corrigendum *προεστήσατο*. — *ἀνεξέταστον*] B *ἐξέτασιν*, in marg. vulg. addito *γρ.* — *περὶ τούτου κρίσιν*] D *περὶ τούτων κρίσιν*. — *διορίζει τὸ τίμιον*] A et D *διορίζει τὸ τιμῶν*. B *διορίζει τὸ τιμᾶν*. — *παρ' οἷς τι*] cett. *παρ' οἷς τισι*. Bene. — *νενομίκαμεν*] cett. *νενόμικεν*, quo nihil est verius.

Quae sequuntur, apud Platonem ita scribuntur in Edd. ante Bekker. *ὅτι μὲν οὖν ταύτην τὴν ἐλπίδα ἔχεις*. — *οὐκ εἰκάζω*] A et B *οὐκ εἰκάζω κτλ.* omissis seqq. usque ad *καὶ εἰς σέ*. — *οὔτε εἰδὼς*] D *ἅτε εἰδὼς*, bene, et ita Edd., ubi etiam est *ὅτι* pro *ὡς*, [cf. pag. 156.] et in seqq. Astius edidit *πρὸς τὸν λόγον* ex Bas. 2. Idem mox Etwalli conjecturam, Codice Bodlej. Vindob. firmatam *δι ὃν* recepit, et scripsit, uti assolet, *ἀπαλλάττει*. Tum pro *Δεινομένης* scribendum *Δεινομάχης* Herodicus in fragmento poëtico ap. Athen. V. p. 219. p. 343 Schweigh. *παιδὸς Δεινομάχης καὶ Κλεινίου*. Hinc illud Persii Sat. IV, 20. „Dinomaches ego sum." Vid. Politiani Miscell. cap. 4. — Deinde in Edd. est *ἐπιτεθῆναι* pro *ἐπιθεῖναι*, quod est interpretis. v. Matth. gr. Gr. §. 532. n. 2. p. 762. — *παῖ Κλεινίου*] D *ὦ φίλε παῖ Κλ.* ut est in Edd.

τῶν παιδευομένων ἐπιτηδειότητας ἀκριβῶν διαγινώσκειν, καὶ κατὰ ταύτας αὐτῶν μετιέναι τὴν ἐπιμέλειαν. Οὐ γάρ ἐστιν ὡςαύτως ἕκαστος ἀνεκτέος, ἀλλὰ ἄλλος μὲν ὁ τὴν φύσιν φιλόσοφος, ἄλλος δὲ ὁ ἐρωτικὸς, ἄλλος δὲ ὁ μουσικὸς, καὶ ἄλλος μὲν ὁ διὰ φαντασίαν τῆς θείας ῥαστώνης περὶ τὴν ἡδονὴν ἐπτοημένος, ἄλλος δὲ ὁ διὰ τὴν τῆς αὐταρκείας ἔφεσιν τῆς τῶν χρημάτων κτήσεως ὀρεγόμενος· ἄλλως ὁ διὰ τῆς θείας δυνάμεως ἔννοιαν περὶ τὰς δυνάμεις τὰς φαινομένας ὑποφερόμενος. Τὰ γὰρ εἴδωλα πανταχοῦ τὰς ἑαυτῶν ἀρχὰς ὑποδυόμενα περισπᾷ τὰς ἀνοήτους τῶν ψυχῶν. Δεῖ δὲ ἀπὸ τούτων ἐξαναστάντας ἐπ' ἐκεῖνα τὰ ἀληθῆ καὶ ὄντως ὄντα διαβαίνειν, καὶ οὗτος ἦν ὁ τρόπος τῆς Σωκρατικῆς διδασκαλίας, ἕκαστον ἀνάγειν εἰς το οἰκεῖον ἐφετὸν, καὶ τῷ μὲν φιληδόνῳ δεικνύμεναι, πῶς [leg. ποῦ] τὸ καθαρῶς ἡδὺ, τὸ πρὸς τὸ λυπηρὸν ἀμιγές. Δῆλον γὰρ, ὅτι τοῦτο αἱρετώτερον αὐτῷ διώκοντι τὴν ἡδονὴν, ἀλλ' οὐ τὸ τῷ ἐναντίῳ συμπεφυρμένον, τῷ δὲ φιλοχρηματῳ, ποῦ τὸ ὄντως αὔταρκες, τὸ μηδαμῶς τῆς ἐνδείας ἀναπιμπλάμενον; τοῦτο γὰρ πάντως περισπουδαστότερον τῷ τῆς αὐταρκείας ὀρεγομένῳ, καὶ τὴν ἔνδειαν φεύγοντι· τῷ δὲ φιλάρχῳ, ποῦ τὸ δύνασθαι καὶ τὸ ἄρχειν, καὶ ποῖον τὸ ἡγεμονικὸν εἶδος τῆς ζωῆς δουλείας ἁπάσης καθαρεῦον· τοῦτο γὰρ αὐτὸ μᾶλλον ἂν εἴη τιμιώτερον, ἢ τῷ φευκτικῷ συμπεπλασμένον. Δύναμις μὲν οὖν καὶ αὐτάρκεια καὶ ἡδονὴ περὶ τὰ ἔνυλα τῶν πραγμάτων οὐκ ἔστιν· ἀσθένεια γὰρ ἡ ὕλη καὶ πενία καὶ φθορᾶς αἰτία καὶ λύπης. Δῆλον δὲ, ὅτι εἴπερ

— ἀνεκτέος] B et D ἀνακτέος. — ἀλλὰ ἄλλος] cett. ἀλλὰ ἄλλως δὲ. excepto Cod. E, qui nunc quidem exhibet ἄλλως, sed a prima manu habuit ἄλλος; et ita constanter in toto hoc loco. Et magis arridet ἄλλως. — καὶ ἄλλος μὲν] cett. καὶ ἄλλως μέν. — ἄλλος δε ὁ] cett. ἄλλως δὲ ὁ. — διὰ τῆς θείας δυνάμεως] cett. διὰ τὴν τῆς θείας δυνάμ. Bene. Quod praecedit ἄλλως ὁ διὰ aut mutandum in ἄλλος ὁ διὰ, aut, quod malim, constanter in hoc loco scribendum ἄλλως. — ὄντως ὄντα] B ὄντος ὄντα. Mox Cod. E A et D δεικνύναι. Recte. — τὸ πρὸς τὸ λυπηρὸν] D τὸ πρὸς δύναμιν. — τὸ τῷ ἐναντίῳ] B om. τὸ. D τὸ τῶν ἐναντ. — τὸ ὄντως αὔταρκες] B τοῦ ὄντως αὔταρκες. — ἐνδείας ἀναπιμπλάμενον] A ἐνδοίας ἀναμπιπλάμενον. — τοῦτο γὰρ αὐτὸ] cett. τοῦτο γὰρ αὐτῷ. Bene. — μᾶλλον ἂν εἴη] D om. ἂν. — φευκτικῷ συμπεπλασμένον] cett. melius φευκτῷ συμπεπλεγμένον, sed E φευκτῷ συμπεπλασμένων — καὶ πενία] D καὶ πολία.

που ταῦτά ἐστιν ἐν τοῖς ἀΰλοις καὶ χωριστοῖς, ἐκεῖνο οὖν ἐρᾷν δεῖ, καὶ πρὸς ἐκεῖνα ποιεῖσθαι τὴν ἀναγωγήν. Τὸν μὲν οὖν παιδεύοντα τοῦτον χρὴ τὸν τρόπον προςάγειν τὴν παιδείαν ἀπὸ τῶν ἐν ἑκάστῳ φυσικῶν ἐπιτηδειοτήτων, προτείνοντα τὴν σωτηρίαν ἑκάστοις. Τον δὲ παιδευόμενον ἑαυτὸν ἐπιδιδόναι προςήκει τῷ παιδεύοντι, καὶ ἠρέμα περιάγεσθαι πρὸς τὸ ἀληθὲς τῶν εἰδώλων ἀφιστάμενον, καὶ ἀπὸ τοῦ καταγείου σπηλαίου πρὸς τὸ φῶς καὶ τὴν ὄντως οὐσίαν ἀνατεινόμενον πανταχοῦ τῆς ἀμιγοῦς πρὸς τὸ ἐναντίον· καὶ ἀφιέντα μὲν τὸ μεριστὸν καὶ εἰδωλικὸν, τοῦ δὲ καθ' ὅλου καὶ ἀμερίστου τελέως ὀρεγόμενον. Τὸ ὅλως ἀγαθὸν, ὥς φησιν ὁ ἐν Φιλήβῳ Σωκράτης, οὔτε ἐφετόν ἐστι μόνον, οὔτε τέλειον καὶ αὔταρκες, οὔθ' ἱκανὸν καὶ δυνάμενον ἄλλα πληροῦν· ἀλλ' ὁμοῦ δεῖ ταῦτα πάντα συλλαβων ἔχει τὴν τελειότητα, τὴν ἱκανότητα, τὸ ἐφετόν· καὶ γὰρ εἰς αὐτὰ πάντα ἀνατείνει, καὶ πλῆρές ἐστιν ἑαυτοῦ, καὶ πᾶσιν ἐνδίδωσι τὸ εὖ· οἱ δὲ πολλοὶ μερικῶς αὐτοῦ καταδράττονται. Καὶ οἱ μὲν πρὸς τὸ ἐφετὸν αὐτοῦ μόνον ὁρῶντες τὸ ἡδὺ διώκουσιν, εἴδωλον ὂν τοῦ ἐκεῖσε ἐφετοῦ· οἱ δὲ πρὸς τὸ τέλειον μόνον περὶ τὰ χρήματα σπουδάζουσιν· ἐν γὰρ τούτοις τὸ τῆς αὐταρκείας εἴδωλον· οἱ δὲ πρὸς τὸ ἱκανὸν ἀπονεύοντες περὶ τὰς δυνάμεις ἐπτόηνται· καὶ γὰρ ἡ δύναμις φάντασμα φέρεται τῆς ἱκανότητος. Τὸ τοίνυν ἀφεῖναι μὲν τὰς μεριστὰς ἀγαθοῦ ταύτας ἀντιλήψεις, ἰδεῖν δὲ πρὸς ὅλην αὐτοῦ τὴν φύσιν, καὶ ἀναχθῆναι πρὸς τὸ

— καὶ χωριστοῖς] D om. καὶ. — ἐπιτηδειοτήτων, προτείνοντα] B ἐπιτηδειοτάτων προτείναντα. — τοῦ καταγείου] B τοῦ καταγαίου. — τὸ ὅλως ἀγαθὸν] A et B τὸ γὰρ ὅλον ἀγαθὸν. D et E τὸ γὰρ ὅλως ἀγαθὸν. Bene. — ἐν Φιλήβῳ] Haec per totum dialogum dispersa reperiuntur. — οὔθ' ἱκανόν] B οὔτε κἂν. — ἄλλα πληροῦν] B ἀλλὰ πληροῦν. — ἀλλ' ὁμοῦ δεῖ] cett. ἀλλ' ὁμοῦ δὴ bene; sed cod. E nonnisi ex correctione; fuit enim δεῖ. — συλλαβών] A E et D bene συλλαβόν. B συλλαβεῖν. — εἰς αὐτὰ πάντα] B et D εἰς αὐτὸ πάντα. — πλῆρές ἐστιν] B πλῆρες ἆ. — ἐνδίδωσι τὸ εὖ] A ἐνδίδωσιν τὸ εὖ. B om. τὸ. D ἐνδίδωσι τὸ ἓν. Quod statim subsequitur vocabulum καταδράττεσθαι non est in Lexicis. De verbo simplici reliquisque compositis consule Henr. Steph. Thes. l. gr. I. p. 1046. Biel. Thes. I. p. 428 et Schleusneri nov. Thes. V. T. II. p. 200. — τὸ ἡδὺ διώκουσιν] D τὸ ἡδὺ διώκοσιν. — μεριστὰς ἀγαθοῦ] cett. μεριστὰς τοῦ ἀγαθοῦ.

παντελὲς αὐτοῦ πλήρωμα, τοὺς παιδευομένου καλῶς ἀφίστησι τῆς περὶ τὰ εἴδωλα διατριβῆς.

[νε.] Παιδείας μὲν ὀρθότης αὕτη τῷ παιδεύοντι καὶ τῷ παιδευομένῳ προσήκουσα· διὸ καὶ ὁ Σωκράτης ἐν τῇ παρούσῃ συνουσίᾳ προστίθησιν ὑπ' αὐτὰς τῷ νεανίσκῳ τὴν διὰ τῆς ἐπιστήμης τεῦξιν τοῦ προσήκοντος αὐτῷ τέλους. Ἡ γὰρ κρατηθεῖσα δύναμις τῷ μὲν λόγῳ τῆς ἐπιστήμης μεγάλων ἐστὶν ἀγαθῶν αἰτία, καὶ τῷ τελείῳ συνεισφέρει τὸ ἱκανὸν καὶ τὸ ἐφετόν, ἄνευ δὲ ἐπιστήμης φευκτικὴ μᾶλλον ἡ ἀρετή, καὶ ἀτελής, καὶ τοῦ ζῶντος ἐνδεής· ἀπόλλυσι γὰρ τὸν ἔχοντα αὐτήν. Ἀληθὲς ἄρα ἐστίν, ὅτι μεγίστην ὁ Σωκράτης ἔχει δύναμιν ἐν τοῖς Ἀλκιβιάδου πράγμασι· τὸ γὰρ τελειωτικὸν παρὰ τοῖς τελειουμένοις καὶ τὸ σωστικὸν παρὰ τοῖς σωζομένοις τὰ μέγιστα δύναται· διότι παντὶ πρὸς τὸ σῶζόν ἐστιν ἡ ἀνάτασις. Ἴσως δ' ἄν τις πρὸς ἡμᾶς ἀνθιστάμενος λέγοι, φίλαρχον ἀποτελεῖσθαι διὰ τούτων τὸν Ἀλκιβιάδην ὑπὸ Σωκράτους· ἔδει γὰρ ἀποκόπτειν αὐτοῦ πάντῃ τὸ πάθος, ἀλλ' οὐ πολλαπλασιάζειν αὐτὸ αἰτίας ὑποτείνοντα τοιαύτας. Λέγομεν τοίνυν πρὸς τὸν τούτων κατήγορον, ὅτι τὰ πάθη τῆς σκληρᾶς καὶ ἀντιτύπου φύσεώς ἐστιν, ἅτε ἔνυλα ὄντα καὶ γήϊνα, πάντα μέν, ὡς εἰπεῖν, διαφερόντως δὲ τὰ θυμοειδῆ· τὸ γὰρ φιλότιμον ἦθος καὶ φίλαρχον ἕτοιμόν ἐστι πρὸς τὴν ἀντίστασιν

— τοὺς παιδευομένου] cett. τοὺς παιδευομένους, et recte quidem.

παιδείας μὲν] cett. add. οὖν. Bene. — ὀρθότης] B ὀρθότητος. — τῷ παιδεύοντι] A et B bene τῷ τε παιδεύοντι. D τῷ .... (lac. interj.) παιδεύοντι. — προστίθησιν ὑπ' αὐτὰς] A et E προστίθησιν ὑπ' αὐγάς. B προτίθησιν ὑπ' αὐτοῦ γάρ. D προτίθησιν ὑπ' αὐγάς. Hoc probum est. cf. Hemsterh. et Ruhnk. ad Tim. Lex. Platon. p. 264 sq. et interprr. ad Longin. de Sublim. III. 1. p. 234 sq. Weisk. — κρατηθεῖσα δύναμις] cett. δύναμις κρατηθεῖσα. Mox Cod. E μὲν τῷ pro τῷ μέν. — τῷ τελείῳ συνεισφέρει τὸ ἱκανόν] cett. τὸ τέλειον συνεισφέρει τῷ ἱκανῷ, excepto E, ubi est: τῷ τελείῳ συνεισφέρει (sic). Ceterorum librorum lectio magis placet. — φευκτικὴ] B et D φευκτή. Bene. — μᾶλλον] cett. add. ἐστιν, excepto E, ubi scriptum est: φευκτικὴ μᾶλλον ἢ αἱρετή, quod verum puto, nisi quod malim φευκτή. — Αἱρετή etiam est in Codd. A et D. — τοῦ ζῶντος] D τοῦ σώζοντος. Optime. — ἀνάτασις] B ἀνάστασις. — ἀνθιστάμενος] B et D ἐνιστάμενος. A ἀνιστάμενος. — αἰτίας ὑποτείνοντα] A et D ἐλπίδας ὑποτείνοντα. Quod placet. B ἐλπίδας ὑποτείνοντας. Proxime de voce ἀντίτυπος nolo recolere quae posui in Commentatt. Herodott. I. p. 299. not. 282. — ἦθος καὶ φίλαρχον] D εἶδος κ. φ.

τοῦ παιδεύειν ἐπιχειροῦντος. Δεῖ δὴ οὖν αὐτὰ κατὰ βραχὺ περιάγειν εἰς τὸ εὐθὺ καὶ ἠρέμα παραμυθεῖσθαι τὸν τῆς παιδείας καθηγούμενον· Ὥςπερ δὴ καὶ οἱ χρηστοὶ Ἀσκληπιάδαι τὰ φλεγμαίνοντα τῶν νοσημάτων διαίτῃ παιδαγωγοῦσιν, ἀλλ' οὐκ αὐτόθεν ἐκβάλλειν ἐπιχειροῦσι τοὺς ἐνοχλοῦντας χυμούς· οὐκοῦν εἰ ταῦτα οὕτως ἔχει, καὶ ὁ Σωκράτης ὀρθῶς οὐκ εὐθὺς ἐν ἀρχῇ τῶν λόγων πρὸς τὸ τοῦ νεανίσκου πάθος ἱστάμενος, ἀλλὰ μετάγων αὐτοῦ τὴν ἔφεσιν ἀπὸ τῆς δυνάμεως εἰς τὴν ἐπιστήμην τὴν τῇ δυνάμει χρησομένην· ἐπιστήμης γὰρ ἐνούσης ἐν ψυχῇ δυνατώτερον οὐδέν ἐστιν, ὡς καὶ ἐν ἄλλοις φησίν. Αὕτη τοίνυν καὶ τῶν ὄντως ἀγαθῶν καὶ τῶν κακῶν ἡμῖν παρέχει τὴν δύναμιν· καὶ ὁ ταύτην κτησάμενος οὐκ εὐεξαπάτητός ἐστιν ἀπὸ τῶν εἰδώλων, καὶ πρὸς αὐτὰ τὰ ὄντα δύναται βλέπειν τῶν σκιαγραφικῶν τούτων ἀπαλλαγείς. Τοιαῦτα καὶ περὶ τούτων. Πάλιν δὲ αὖ ἐκεῖνο ζητήσωμεν, εἰ μὴ θρασὺ πρᾶγμα ποιεῖτο Σωκράτης, τοιαῦτα κατεπαγγελλόμενος δύνασθαι παρασχεῖν· τοῦτο γὰρ οὐ κατὰ τὸ Σωκρατικὸν ἦθος τὸ ἐπάγγελμα. Δεῖ δὴ καὶ πρὸς ταῦτα λέγειν, ὅτι τῷ φιλοσόφῳ προςήκει τὸ μεγαληγορεῖν, ὅταν ᾖ τούτου καιρός. Ἐν Θεαιτήτῳ μὲν οὖν φησιν, οὐδεὶς θεὸς δύςνους ἀνθρώποις, οὐδὲ ἐγὼ δυςνοίᾳ τοιοῦτον οὐδὲν δρᾷ· ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι καὶ ἀληθὲς ἀφανίσαι οὐδαμῶς θέμις. Ἔπρεπε γὰρ τῷ μαιευτικῷ καὶ κριτῇ τῶν τε γονίμων λόγων καὶ τῶν ἀναμιαίων πρὸς τὸ μαιευόμενον. Οὗτος ὁ τρόπος τῆς διαιτήσεως, ἵνα τι καὶ δράσῃ διὰ τῆς μαΐας. Ἐν

— *παρέχει τὴν δύναμιν*] cett. *παρέχει τὴν διάκρισιν*, excepto Cod. E, qui facit cum nostro. — *ἀπὸ τῶν εἰδώλων*] D *ὑπὸ τῶν εἰδώλων*. Bene. — *σκιαγραφικῶν*] cett. *σκιαγραφιῶν*. Bene. Sed E perperam cum nostro ...*κῶν*. — *ποιεῖτο Σωκράτης*] cett. bene *ποιεῖ ὁ Σωκρ.* excepto E, qui item male *ποιεῖτο*. — *οὖν φησιν, οὐδεὶς*] D *οὖν, οὐδείς φησι*. Bene. — *οὐδὲν δρᾷ*] cett. *οὐδὲν δρῶ*, et ita scribendum, ut est apud Platonem Theaetet. p. 151. c. d. Bip. T. II. Bekk. II, 1. pag. 194 sq. Heindf. 23. p. 312. — *ἀφανίσαι*] B *ἀφανίσαι* (corr. *ας*). (sic). — *γονίμων λόγων*] D *μονίμων λόγων*. — *ἀναμιαίων*] A et B *ἀναιμιαίων*. D *ἀν. μιαιῶν*. (sic). Quae sunt voces nihili. Fuit sine dubio *ἀνεμιαίων*, i. q. *ὑπηνεμίων*, unde *ᾠὸν ἀνεμιαῖον*, ovum inane sive Zephyrium s. hypenemium. — *διὰ τῆς μαΐας*] A et B *διὰ τῆς μαιείας*. Bene. D *διὰ τῆς μα....* (seq. lacuna).

δὲ τῇ Ἀπολογίᾳ πάλιν· οὐ θεμιτόν ἐστιν ἀμείνονι ἀνδρὶ ὑποχείρονος βλάπτεσθαι, καὶ ἀποκτεῖναι μὲν δύνασθε, βλάψαι δὲ οὔ. Προςῆκον γὰρ ἂν ἐν μέσοις ὄντα τοῖς κινδύνοις ὑψηλὸν φαίνεσθαι κατὰ τὴν ζωήν· ἐνταῦθα δὲ πρὸς ἐρώμενόν ἐστιν ὁ λόγος φιλότιμον, φίλαρχον, ἤδη καταφρονήσαντα τῶν ἄλλων ἐραστῶν. Πρόςεισιν οὖν αὐτῷ μετὰ φρονήματος καὶ παῤῥησίας ὑποτάττων αὐτὸν τοῖς ἑαυτοῦ λόγοις, καὶ οὕτω δὴ τὴν περισπούδαστον ἐκείνῳ δύναμιν τῆς οἰκείας ἐξάπτει δυνάμεως. Καὶ ὁρᾷς, ὅπως ἀσφαλὴς καὶ ἐν τούτῳ ὁ Σωκράτης· οὐ γὰρ εἶπεν, ὅτι μετ' ἐμοῦ πάντως πάντως τεύξῃ τοῦ τέλους, ἀλλ' ὅτι ἄνευ ἐμοῦ οὐκ ἂν τύχοις· ἐπιστήμης μὲν γὰρ χωρὶς οὐκ ἄν τις τῆς δυνάμεως τύχοι· τῶν (scr. ex cod. D. τῶν γὰρ) ἀγαθῶν ἡ δύναμις· τὰ δὲ ἀγαθὰ μετ' ἐπιστήμης κτώμεθα· παρούσης δὲ ἐπιστήμης θαυμαστὸν οὐδὲν μὴ παρεῖναι τὴν δύναμιν. Δεῖ γὰρ καὶ τῆς τοῦ παντὸς συμπνοίας καὶ τῆς ἀγαθῆς τύχης τῆς τούτων προεστώσης. Ταῦτα περὶ ἁπάσης εἴχομεν λέγειν τῆς προκειμένης ῥήσεως. Ἤδη δὲ καὶ τὰ καθ' ἕκαστα διέλθωμεν. Τὸ μὲν τοίνυν εὖ οἶδα καὶ οὐκ εἰκάζω μετὰ τοὺς λόγους καὶ τὰς ὑπομνήσεις ἀναγκαίως πρόςκειται· διὰ πολλῶν γὰρ ἑαυτὸν ἐπιδείξας μόνον, εἰκότως λοιπὸν διϊσχυρίζεται· τὸ δὲ ἅτε εἰδώς, ὅτι ἀληθῆ λέγω πάλιν εἰς ἑαυτὸν ὑποστρέφει τὸν Ἀλκιβιάδην καὶ τῶν αὐτοῦ διανοημάτων ποιεῖ θεατήν, τὸ δὲ ὦ φίλε παῖ τὴν θεραπείαν ἔχει προκειμένην ἐν καιρῷ. Βούλεται γὰρ αὐτὸν οἰκειώσασθαι καὶ συνάψαι πρὸς ἑαυτόν, ἵνα ἐραστὴς γένηται διὰ τὴν ἔφεσιν τῆς δυνάμεως

— *θεμιτόν ἐστιν ἀμείνονι*] cett. bene *θεμιτόν φησιν ἀμείνονι*, sed E cum nostro facit. Locum vid. in Plat. Apol. Socr. 18. pag. 117 sq. Fisch. — p. 30. c. d. Bip. T. I. Bekk. I, 2. p. 117. — *ὑποχείρονος*] cett. *ὑπὸ χείρονος* et ita scribendum. — *ἀποκτεῖναι μὲν δύνασθε*] cett. *ἀποκτεῖναι μὲν δύνασθαι*, sed E cum nostro *δύνασθε*. — *φιλότιμον, φίλαρχον*] B *φιλοτίμου, φιλάρχου*. — *ἐν τούτῳ ὁ Σωκρ.*] D *ἐν τούτοις ὁ Σωκρ.* — *πάντως πάντως*] cett. omittunt alterum *πάντως*. Merito. — *οὐκ ἂν τύχοις*] D *οὐκ ἂν τύχῃς* (sic). — *οὐδὲν μὴ παρεῖναι*] D *οὐδὲν παὶ παρ εἶναι* (sic). — *εἰς ἑαυτὸν ὑποστρέφει*] cett. bene *εἰς ἑαυτὸν ἐπιστρέφει*, excepto E. — *τῶν αὐτοῦ διανοημάτων*] A om. *τῶν*. — *ποιεῖ θεατὴν*] B *ποιεῖσθε αὐτήν*. — *προκειμένην*] *προςκειμ.* est in Cod. E.

τῆς ἐν αὐτῷ τελείως ἐπιστήμης. Ἡ δὲ αὖ ἐκ τῶν δύο πατέτων ἀνάκλησις ὅλην αὐτοῦ τὴν ζωὴν συλλέγει καὶ οἰκειοῖ τῷ Σωκράτει. Καὶ γὰρ τῆς ψυχῆς τὸ μὲν ἐστιν οἷον ἄῤῥεν, τὸ δὲ οἷον θῆλυ· καὶ ἅμα τοὺς δὶς πατέρας ὀνομάζων ἐνδείκνυται αὐτῷ, ὅτι οὔτε οἱ πρὸς μητρὸς, οὔτε οἱ πρὸς πατρὸς ἢ φίλοις πρὸς ταύτην ἢ ἑαυτοῦ συντελοῦσι τὴν ἔφεσιν, ἀλλ' αὐτὸς μόνος τέλος αὐτοῦ δύναται τῇ βουλήσει μετα τοῦ ἀγαθοῦ δαίμονος ἐπιθεῖναι. Τὸ δὲ εἰς τὰ πράγματα καὶ εἰς σὲ πάλιν ἐν ψυχῇ τὸν Ἀλκιβιάδην ἀφορίζεται, καὶ πράγματα μὲν αὐτοῦ τὰς ἔξω προϊούσας ἀνακαλεῖται, καὶ τὴν τῆς πρότερον προστασίαν καὶ τεῦξιν τῆς δυνάμεως· αὐτὸν δὲ τὴν ψυχὴν τίθεται καὶ τὴν ἐν ταύτῃ τελειότητα.

[νς.] „Διὸ δὴ καὶ πάλιν οἶμαι τὸν θεὸν οὐκ ἂν διαλέγε„σθαί σοι, ᾗ ἐγὼ περιέμενον, ὁπηνίκα ἐάσῃ· ὥςπερ γὰρ „σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει ἐνδείξασθαι, ὅτι αὐτῇ „παντὸς ἄξιος εἶ, ἐνδειξάμενος δὲ οὐδὲν ὅτι οὐ παραυτίκα „δυνήσεσθαι, ἐνδειξάμην, ὅτι καὶ αὐτὸς μᾶλλον ἄξιός εἰμι „καὶ οὔτε ἐπίτροπος, οὔτε συνεργός τις ἄλλος οὐδεὶς

— τελείως ἐπιστήμης] A τελέως ἐπιστήμης. B et D τελείας ἐπιστήμης, quod praestat. — δὶς πατέρας] A δυςπατέρας. B et D δύο πατέρας. Recte. — οἱ πρὸς πατρὸς] cett. add. συγγενεῖς, excepto E. — ἢ φίλοις] cett. ἢ φίλοι. Bene. — ἢ ἑαυτοῦ] A ἡ οἱ ἑαυτοῦ (sic). B ἡ ἑαυτοῦ. D αὐτοῦ omisso ἢ, quod malim. — εἰς τὰ πράγματα] B et D εἰς τὰ σὰ πράγματα. — ἀνακαλεῖται] cett. ἐνεργείας καλεῖ. Quod unice verum existimo. — τῆς πρότερον προστασίαν] cett. τῆς πόλεως προστασίαν, quo nihil est rectius.

πάλιν οἶμαι] cett. πάλαι οἶμαι, ut est apud Plat. Sed E cum nostro facit. In seqq. ex Platone corrigendum: οἶμαί με τὸν θεὸν οὐκ ἐᾶν. — ἐάσει. — ᾗ ἐγὼ] A et D ὃν ἐγὼ, E οἱ. Sed ὃν est in Edd. — ὁπηνίκα ἐάσῃ] Dehinc A et B κτλ. habent, omissis, quae sequuntur, usque ad θεοῦ μέντοι. — ἐλπίδας ἔχεις] D ἐλπίδα ἔχεις. Mox E εἷς pro εἶ. Astius perperam edidit ἄξιός εἰ. Quod statim subsequitur οὐδὲν ὅ,τι οὐ ita edidit Bekkerus, (vid. tamen Astius ad h. l. pag. 304 sq.) cum in prioribus Edd. sit ὅτι οὐδὲν ὅ,τι οὐ. Tum omisit librarius verba Dialogi οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω μέγιστον δυνήσεσθαι, et pro sequente ἐνδειξάμην in Edd. est ἐνδειξάμενος δὲ. Quod sequitur μᾶλλον delevit Bekkerus, et scripsit ὅτι παντὸς ἄξιός εἰμί σοι. Deinde scribitur in Edd. οὔτ' ἐπιτρ. ξυγγενὴς, οὔτε ἄλλος οὐδεὶς. Denique Astius et Bekkerus ediderunt μετὰ τοῦ θεοῦ μέντοι, ille ex Codd. Venet. et Ciz. ut est in nostro cod. D. — δυνήσεσθαι] D δυνίσ̣ταςθαι (sic).

„ἱκανὸς παραδοῦναι την δύναμιν, ἧς ἐπιθυμεῖς, πλὴν „ἐμοῦ, μετὰ θεοῦ μέντοι.“ (p. 105. d. e. Bekk. p. 303.)

Τίς ὁ λεγόμενος ἐνταῦθα θεὸς, καὶ διὰ ποίαν αἰτίαν οὕτως ἐπονομάζεται, λελεκταί μοι κἂν τοῖς προοιμίοις τοῦ διαλόγου. Λεγέσθω δὲ καὶ νῦν, ὡς οἱ θεῖοι δαίμονες τὴν ἀκροτάτην τάξιν ἐν τοῖς δαίμοσι λαχόντες καὶ πληρούμενοι προςεχῶς ἄνωθεν τοῦ θείου φωτὸς, ποτὲ μὲν δαίμονες, ποτὲ δὲ θεοὶ καλοῦνται· θεοῦ γὰρ ἔχουσι πρὸς τὸ λοιπὸν δαιμόνιον τάξιν. Καὶ εἴπομεν, ὡς ἄλλος μέν ἐστιν ὁ ἐν θεοῖς δαίμων, ἄλλος δὲ ὁ θεὸς μόνον, ἄλλος δὲ ὁ δαίμων μόνον. Οἱ μὲν γὰρ πρώτιστοι τῶν θεῶν ἐπέκεινα καὶ τῆς τῶν δαιμόνων ἀναλογίας· πρὸς γοῦν τῷ τέλει τῶν νοητῶν ἀνεφάνη πρῶτον ἡ δαιμονία πρὸς τοὺς ἄλλους θεοὺς ὑπεροχή· Οἱ δὲ δεύτεροι καὶ τρίτοι δαίμονες, ὥςπερ ἐφεστήκασιν ἐν τῇ τῶν δαιμόνων ἰδιότητι, οὕτω καὶ ὀνομάζονται μόνον δαίμονες. Οἱ δὲ ἀκρότατοι τῶν δαιμόνων καὶ θεοὶ καλοῦνται, καὶ δαίμονες μὲν ὄντες κατ' οὐσίαν, θεοὶ δὲ κατὰ μέθεξιν, καὶ αὖ τῶν θεῶν ἀπὸ τῶν νοερῶν ἀρξάμενοί τινες προςαγορεύονται δαίμονες, θεοὶ μὲν ὄντες κατὰ τὴν ὕπαρξιν, δαίμονες δὲ κατὰ τὴν ἀναλογίαν. Ὃν τοίνυν δαίμονα πρόσθεν ὁ Σωκράτης ἀπεκάλει, τοῦτον ἐν τοῖς παροῦσι θεὸν προςαγορεύει διὰ ταύτην τὴν αἰτίαν. Τῶν γὰρ θείων ἐστὶ δαιμόνων, ὡς εἴρηται πρότερον. Εἰ δὲ καὶ, ὅτι τῶν θεῶν οἱ δαίμονες ἐξήρτηνται καὶ κατὰ τὴν κοινὴν αὐτῶν πρόνοιαν ἀποτελεῖται τὰ περὶ ἡμᾶς, λέγοι τις, καθὰ καὶ τὸ δαιμόνιον δοκεῖν καὶ τὸ θεῖον, οὐδ'

— οὕτως ἐπονομάζεται] B οὕτως ἐπωνομάζεται. D κατονομάζεται omisso οὕτως. — κἀν τοῖς] A et B κἂν τοῖς. D καὶ τοῖς. — θεοῦ γὰρ ἔχουσι] A et B θεὸν γὰρ ἔχ. D θεῶν γὰρ ἔχ. — Ita etiam optime Cod. E ex correctione, cum antea fuisset θεοῦ ab ead. m. — ὁ θεὸς μόνον] B ὁ θεὸς μόνο̂ν^ος (sic). Mox Cod. E ὁ δαιμόνων μόνον. — δαιμόνων ἀναλογίας] cett. inserunt εἰσὶν. — πρὸς τοὺς ἄλλους θεοὺς] D om. θεούς. — ὥςπερ ἐφεστήκασιν] cett. ὥςπερ ὑφεστήκασιν, praeter unum Cod. E. — μόνον δαίμονες] cett. δαίμονες μόνον excepto E. — οἱ δὲ ἀκρόταται] D οἱ δέ γε ἀκρότ. — καὶ δαίμονες μὲν ὄντες] cett. bene καὶ δαίμονες· δαίμονες μὲν ὄντες, sed E cum nostro facit. — ὁ Σωκράτης] cett. om. ὁ, excepto Cod. E. — πρότερον εἰ δὲ] B πρότερον δὲ εἰ καὶ. — λέγοι τις] B λέγοιτο.

**οὗτος ὁ λόγος ἀπόβλητος. Οὐ γαρ ἀντιμάχεται τῷ δαιμονίῳ τὸ θεῖον, οὐδὲ ἡ τῶν ἀγαθῶν δαιμόνων πρόνοια τῆς τῶν θεῶν ἀποσπᾶσθαι βουλήσεως, ὅπου γε οὐδὲ τῶν σπουδαίων** ἀνδρῶν ἐνέργεια τῆς θείας δόσεως ἀφέστηκεν. Κατὰ θεὸν γὰρ καὶ ὁ δαίμων δίδωσι καὶ ὁ ἀγαθὸς ἀνήρ. Καὶ ἔχεις πάλιν ἐνταῦθα τὴν σειρὰν τῶν ἀγαθοειδῶν αἰτίων ἐκφαινομένην. Ὁ μὲν γὰρ Σωκράτης εἰς δαίμονα ἀποβλέπει καὶ τὴν τοῦ δαίμονος προμήθειαν, ὁ δὲ δαίμων εἰς τὸν θεὸν, οὗ ἐστιν ὀπαδὸς καὶ συνάπτεσθαι τῷ θείῳ διὰ τοῦ δαιμονίου ὁ Σωκράτης· καὶ πάντα καὶ οὗτος ἐνεργεῖ κατὰ θεὸν, τοῦ δαίμονος αὐτῷ τὴν θείαν βούλησιν ἐκφαίνοντος. Αὕτη μὲν οὖν ἀναλογία τῶν κρειττόνων αἰτίων. Κατ' ἄλλην δὲ αὖθις συστοιχεῖαν, ὅπερ ἐστὶν Ἀλκιβιάδης πρὸς τὸν Σωκράτην, τοῦτο τὸ πλῆθος τῶν Ἀθηναίων πρὸς τὸν Ἀλκιβιάδην. Ὥςπερ γὰρ σύ φησιν ἐν τῇ πόλει μέγιστον δυνήσεσθαι προςδοκᾷς, οὕτω καὶ ἐγὼ παρὰ σοί. Δεῖ γὰρ τὸ μὲν πλῆθος ἑνὸς ἐξάπτειν, τοῦ συντεταγμένου, τὸ δὲ συντεταγμένον ἓν, τοῦ ἐξῃρημένου· Καὶ γὰρ ὡς πρόςοδοι πᾶσαι τῶν ὄντων τοῦτον ἐπιτελοῦνται τὸν τρόπον. Κατ' ἀμφοτέρους δὴ οὖν τὰς ἀναλογίας ὁ Σωκράτης ἐστὶ δυοῖν ὅρων μέσος· αὐτὸς μὲν εἰς δαίμονα καὶ θεὸν ἀνηρτημένος, ἑαυτοῦ δὲ ἐξάπτων τόν τε ἐρώμενον καὶ τὸ πλῆθος τῶν Ἀθηναίων. Καὶ οὕτω δὴ πᾶσιν αἴτιος γίνεται τῆς τοῦ θείου μετουσίας καὶ τοῖς χείροσι· καὶ τὰ μὲν πλεῖστον ἀφέστηκε, τό τε πλῆθος καὶ το θεῖον· τὰ δὲ συμπληροῖ τὰς τούτων μεσότητας· οἷον εἰ βούλει λέγειν ἐπὶ μιᾶς ψυχῆς, τὸ μὲν πλῆθός σοι νοείσθω τὸ

— καθὰ καὶ τὸ] cett. bene κατὰ τὰ αὐτὰ καὶ τὸ, sed E hoc nonnisi in marg. habet, in contextu vero κατὰ καὶ τὸ. — ἀποσπᾶσθαι] E et A ἀπέσπασται. B et D ἀπέσπαται. Prius placet. — οὐδὲ τῶν σπουδαίων] A οὐδ' ἡ τῶν σπουδαίων. D καὶ ἡ τῶν σπουδαίων. E ὅπου δὲ τῶν σπ., in marg. vero ὅπου γε οὐδὲ τ. σπ — ἐκφαινομένην] D ἐκφ[αινο]ερομένην. — προμήθειαν] D προμέθειαν. Idem Cod. paulo inferius verbis καὶ πάντα puncta habet adscripta. — καὶ συνάπτεσθαι] cett. bene καὶ συνάπτεται, et ita Cod. E in marg.; sed in contextu perperam συνάπτεσθαι. — συστοιχεῖαν] cett. recte συστοιχίαν, sed E συστοιχείαν, literâ e punctulis subscriptis notatâ. — ὥςπερ γὰρ σύ] D om. σύ. — ἓν τοῦ ἐξῃρημένου] D ἑνὸς, τοῦ ἐξῃρ. non male. — ὡς πρόςοδοι] cett. bene αἱ πρόςοδοι, sed E ὡς πρ. Mox pro ἀμφοτέρους ex Cod. A B et D scribendum ἀμφοτέρας.

ἐπιτιμητικόν. Τοῦτο γάρ ἐστιν, ὅπερ δῆμος ἐν πόλει, φησὶν ὁ Ἀθηναῖος ξένος, καὶ ὅλως τὸ πολυκέφαλον θηρίον, ὡς ὁ ἐν Πολιτείᾳ φησὶ Σωκράτης· ὁ δὲ Ἀλκιβιάδης κατὰ τὸν θυμόν, ἐκεῖ γὰρ τὸ φιλότιμον καὶ τῆς δυναστείας ἡ ἔφεσις· ὁ δὲ Σωκράτης κατὰ τὸν λόγον· ἐν τούτῳ γὰρ ἡ ἐπιστήμη. Διὸ καὶ οἷον δαίμων ἐστὶν ἀγαθὸς τοῦ Ἀλκιβιάδου. Καὶ γὰρ ὁ Τίμαιος δαίμονα τὸν λόγον τῶν ἐνταῦθα καλεῖ δυνάμεων· ὑπὲρ δὲ τὸν λόγον ὁ ἀγαθὸς δαίμων, ὁ καὶ κινῶν τὸν Σωκράτην πρὸς τὸ ἀγαθόν, καὶ ὑπὲρ τοῦτον ὁ θεός, εἰς ὃν καὶ ὁ δαίμων ἀνήρτηται καὶ περὶ ὃν ἔχει τὴν ὑπόστασιν. Εἰκότως ἄρα ὁ Σωκράτης, ἅτε προςεχῶς ὑπεριδρυμένος τοῦ νεανίσκου, φησὶν αὐτὸς καὶ αἴτιος αὐτῷ τῶν ἀγαθῶν ἔσεσθαι, μετὰ τούτου μέντοι. Καὶ δὴ ἐπισημαντέον πάλιν ἐν τούτοις, ὅτι ὁ Σωκράτης ἐν τάξει προῆλθε· πρὸ μὲν γὰρ τῶν λόγων τούτων αὐτός φησι προμηθεῖσθαι τοῦ Ἀλκιβιάδου, ᾧ καὶ γνώσῃ, ὅτι προςέχων γέ σοι τὸν νοῦν διατετέλεκα· διὰ δὲ τῶν λόγων τούτων τὴν δύναμιν αὐτῷ ταύτην αὐτὸς παραδώσειν. Ἐπεὶ δὲ τοῖς λόγοις τούτοις καὶ τοῦ θεοῦ τὴν

*ἐπιτιμητικόν*] cett. bene *ἐπιθυμητικόν*. — *ἐν πόλει*] A et E *ἐν πόλεσι*. — *ὁ Ἀθηναῖος ξένος*] D om. *ὁ*. Cf. Platon. de Legg. passim; v. c. XII. 10. 11 p. 961 sq. p. 480 sq. Ast. — *ὡς ὁ ἐν Πολιτείᾳ*] A *ὡς ἐν πολιτείᾳ*. B *ὡς ἐν τῇ πολιτείᾳ*. Plato de Republ. IX. 12. pag. 588 C. (pag. 274 Bip. p. 277 Ast.) Part. III Vol. I Bekker: *Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου*. Cf. ibid. IV. p. 439 B. et in Politico p. 309 D. Loci primarii et multorum scriptorum imitationibus frequentati. Vid. Theopompum ap. Athen. VI. 65. p. 474 Schwgh. et consule Casaubonum ad Athen. I. 35 p. 157 sq. Schwgh.; adde Boissonad. ad Philostrati Heroica p. 321. Philon. Iud. de agricult. p. 14 sqq. Pfeiff. Ciceron. Acad. II. 34. Plotin. p. 4 G. Jamblich. Protrept. cap. 3. p. 30 Kiessling. Themist. Orat. XIII. p. 169 Harduin. Synes. in Dione p. 39. fin. ed. Paris. 1553. Jo. Chrysostom. Homil. III. p. 20 ed. Matthaei. Photius contra Manichaeos in Wolfii Anecdott. graece. Tom. II. pag. 95. Nili Ascet. *Κεφαλ. παραινετ.* nr. XXIX et nr. XLVI. — *καὶ τῆς δυναστείας*] A et D *ἐπεὶ τῆς δυναστείας*. B *ἐπὶ τῆς δυν*. — *δαίμονα τὸν λόγον τῶν ἐνταῦθα*] A et B *τὸν λόγον δαίμονα τὸν ἐνταῦθα*. D *τ. λόγ. δαίμ. τῶν ἐνταῦθα*. Locum Timaei supra laudavimus. — *ὁ καὶ κινῶν*] D *καὶ ὁ κινῶν*. — *πρὸς τὸ ἀγαθὸν*] A *πρὸ τὸ ἀγαθόν*. — *ὑπὲρ τοῦτον*] B *ὑπὲρ τοῦτο*. — *εἰς ὃν καὶ*] B *εἰς ἓν καὶ*. — *ὑπεριδρυμένος*] A *περιδρυμένος*. — *καὶ αἴτιος*] A et B om. *καί*. D om. *καὶ αἴτιος*. — *μετὰ τούτου*] D *μετὰ τοῦτον*. An ex dialogo nostro legendum: *μετὰ τοῦ θεοῦ μέντοι*? — *καὶ δὴ*] D *καὶ δὴ καί*. — *ὅτι ὁ Σωκρ.*] cett. *ὅπως ὁ Σωκρ.*, excepto E. — *ἐπεὶ δὲ τοῖς λόγοις*] cett. *ἐπὶ δὲ τοῖς λόγοις*, sed E nonnisi ex correctione, cum antea fuisset *ἐπεί*.

*πρόνοιαν* ἐξέφηνε τῷ νεανίσκῳ, καὶ ὁ νοῦς καὶ ἡ δύναμις πρώτως ἐκ τοῦ θεοῦ τὴν πρόοδον ἔλαχον· ἀλλ' ἡ μὲν ὅλη δύναμις προςεχῶς ἀπ' αὐτοῦ πρόεισιν, ὁ δὲ νοῦς τρίτος ἐστὶν ἀπὸ τοῦ θεοῦ· διὸ καὶ νοῦ μετέχει πρῶτον ὁ ἀτελής, εἶτα δυνάμεως, εἶτα θεοῦ τοῦ καὶ ταῦτα χορηγοῦντος. Οὐκοῦν εἰ τὸν νοῦν ὁ Σωκράτης προςεῖχεν, ἔννους ἐστὶν, εἰ δὲ δυνάμεώς ἐστιν ἄλλοις αἴτιος, δυνάστης ἐστὶν, εἰ δὲ μετὰ θεοῦ πάντα πράττοι, ἔνθεός ἐστιν. Ἀλλ' οὐκ ἦν τῷ νεανίσκῳ δυνατὸν ἅμα ταῦτα πάντα συνιδεῖν· διὸ κατὰ μέρος αὐτῷ προέφηνεν ὁ Σωκράτης· καὶ ἅμα διὰ τούτων δῆλον, ὅπως αἱ μεθέξεις ἀπὸ τῶν ὑφειμένων ἄρχονται, καὶ ὅπως αἱ ἀποστροφαὶ γίνονται πρὸς τὰς σύνεγγυς πρῶτον, εἶθ' οὕτως πρὸς τὰ θειότερα τῶν αἰτίων.

[νζ.] „Νεωτέρῳ μὲν οὖν ὄντι σοι καὶ πρὶν τοσαύτης ἐλ„πίδος γέμειν, (Edd. add. ὡς ἐμοὶ δοκεῖ) οὐκ εἴα ὁ „θεὸς διαλέγεσθαι, ἵνα μὴ ταύτην διαλεγοίμην· νῦν δὲ „ἀφῆναι· νῦν γὰρ ἂν μοι ἀκούσαις.“ (p. 105. e. Bekk. p. 303.)

Νῦν ἀποδίδωσι τὰ ἐν προοιμίοις ῥηθέντα ὁ Σωκράτης, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσῃ· τῷ γὰρ ὄντι τῆς τοῦ δαίμονος προνοίας ὕμνος ἐστὶ πάντα ταῦτα. Τὸ γὰρ ἀγαθοειδῶς τοτὲ μὲν ἀνακόπτειν τοῦ Σωκράτους τὴν ὁρμὴν, τοτὲ δὲ ἀφιέναι δηλοῖ τῆς προμηθείας τῆς ἐκείνου τὴν δύναμιν, καὶ τὸ θεὸν αὐτὸν ἐπονομάζεσθαι ὑπὲρ ταύτην αὐτῷ

— *πρόοδον ἔλαχον*] D *πρόοδον ἔλαχεν.* — *εἰ τὸν νοῦν*] B *εἰς τὸν νοῦν.* — *πάντα πράττοι*] cett. *πάντα πράττει*, et ita legendum. — *κατὰ μέρος αὐτῷ*] cett. bene *κ. μ. αὐτὰ* excepto E. — *αἱ ἀποστροφαὶ*] cett. melius *αἱ ἐπιστοφαὶ* praeter Cod. E. — *πρὸς τὰς σύνεγγυς*] D *πρὸς τ ὰ συν.*, quod praetulerim.

*νεωτέρῳ μὲν οὖν*] D om. *οὖν.* — *ἵνα μὴ ταύτην*] D ut edd. recte *ἵνα μὴ μάτην.* — *νῦν δὲ ἀφῆναι*] A et B *νῦν δὲ ἀφῆκε.* D ut Edd. *νῦν δὲ ἐφῆκε.* Renitente Heusdio in Spec. crit. in Plat. pag. 111 sq. Sed lege modo haec paucula Grammatici gr. in Append. ad Lexic. Gud. ed. Sturz. p. 635 lin. 55. *τὸ γὰρ ἐφίημι διπλῆν ἐν ἑαυτῷ περιορίζει τὴν σημασίαν· ἐφίημι γὰρ τὸ προτρέπω καὶ ἐνδίδωμι· ὡς τὸ ἐφίημί σοι λέγειν.* Et infra ipse codex Leid. in Procli commentar. exhibet *ἐφῆκε.* — *μοι ἀκούσαις*] cett. *μου ἀκούσαις.* Bene; et ita Edd. — *σὺ τὴν δύναμιν*] B om. *τὴν.* — *ἀγαθοειδῶς*] A *ἀγαθοειδὲς.* — *ἀνακόπτειν*] B *ἀνακάμπτειν.* [male. cf. p. 163. ] — *τοτὲ δὲ ἀφιέναι*] D *τοτὲ δε ἐφιέναι.* — *τὸ θεὸν αὐτὸν*] B *τὸν θεὸν αὐτὸν.*

τάξιν ἐν τῷ γένει τῶν δαιμόνων μαρτυρεῖ. Καὶ αὖ τα μέτρα πάλιν τῆς ὑφηγήσεως· πρότερον μὲν γὰρ δαιμόνιον αὐτὸν ἐκάλει, νυνὶ δὲ καὶ θεόν. Τοῖς γὰρ ἀναγομένοις πρῶτον ἐκφαίνεται ἡ τῶν δαιμονίων ἰδιότης, ἔπειτα καὶ ἡ τῆς θείας ὑπάρξεως μέθεξις. Ἀλλὰ διατί πρὶν τοσαύτης ἐλπίδος γέμειν, οὐκ εἴα ὁ θεὸς διαλέγεσθαι τὸν Σωκράτην; Ἢ ὅτι παῖδες ὄντες οὔπω κατὰ τὸ φιλότιμον δύνανται ζῆν οἱ ἄνθρωποι, ἀλλὰ κατ' ἐπιθυμίαν μᾶλλον, ὥςπερ οὐδὲ κατὰ φαντασίαν, ἀλλὰ μᾶλλον κατ' αἴσθησιν· τότε τοίνυν πορρώτερόν ἐστι τοῦ λόγου. Προελθόντες δὲ καθ' ἡλικίαν ὑπερανέχουσί πως ἤδη τοῦ γενεσιουργοῦ κλύδωνος καὶ μεθίστασθαι πρὸς τὰ ἀστειότερα τῶν παθῶν, οἱ φύσιν ἔχοντες ἁδροτέραν. Τότε δὴ οὖν καὶ ὑπὸ λόγου ῥυθμίζεσθαι μᾶλλον δύνανται, καὶ κατήκοοι γίνεσθαι τῆς ἐπιστήμης. Οὐκοῦν παιδὶ μὲν ὄντι τῷ Ἀλκιβιάδῃ περὶ τούτων λέγειν οὐκ ἦν· εἰς δὲ ταύτην ἥκοντι τὴν ἡλικίαν καιρός ἐστι προςάγειν τοὺς τοιούτους λόγους. Διατί δὲ ὡς αἰτία παρείληπται τὸ ἵνα μὴ ταύτην διαλεγοίμην; Ἢ ὅτι καὶ ἡ φύσις καὶ ὁ θεὸς οὐδὲν ποιεῖ μάτην, ὥς φησιν Ἀριστοτέλης, καὶ οὐδὲ τούτῳ μόνον, ἀλλ' οὐδὲ ἄλλῳ τοῦ μάτην ἐνεργεῖν αἴτιός ἐστιν, ὥς νυνί φησι Σωκράτης. Ὥςπερ γὰρ κακίας αἴτιος οὐκ ἔστιν, ἀγαθὸς ὤν, οὕτως οὐδὲ τοῦ μάτην τέλος ἂν τοῖς πᾶσιν. Τὸ γὰρ ἄσκοπον καὶ ἀόριστον καὶ ἀτελὲς τοῦ μάτην αἴτιόν ἐστι. Καὶ τί δεῖ λέγειν, ὅπου γε πολλοὶ καὶ τῶν ἐν τοῖς μερικοῖς αἰτίοις μάτην γίγνεσθαι δοκούντων διὰ τὴν θείαν αἰτίαν οὐ γένηται μάτην, πῶς ἂν οὖν ὁ θεὸς μάτην πράττειν ἐπιτρέποι;

— *αὖ τὰ μέτρα πάλιν*] D *αὖ πάλιν τὰ μέτρα.* — *παῖδες ὄντες*] B om. *ὄντες.* — *πορρώτερον*] D *πορρωτέρω*, quod placet. — *μεθίστασθαι*] cett. *μεθίστανται.* Bene. — *ὡς αἰτία*] *ὡς αἰτίῳ.* D *ὡς αἰτ...* (seq. lac.) — *τὸ ἵνα μὴ ταύτην*] B *τὸ δὲ ἵνα μὴ μάτην.* [cf. p. 95.] D *τὸ ἵνα μὴ μάτην*, et ita legendum, ut supra. — *καὶ ἡ φύσις*] B om. *καί.* vid. Aristot. Politic. I, 2. ubi de *natura* loquitur; sed ut noster locus de *natura et Deo*, nihil frustra facientibus, est in Libro I. De Caelo, c. IV. extr. p. 8 Sylburg.: *ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν.* — *καὶ οὐδὲ τούτῳ*] B *καὶ οὐδὲ τούτου.* D *καὶ οὐδὲ τοῦτο* (sic). — *οὐδὲ ἄλλῳ*] B *οὐδὲ ἄλλως.* — *τοῦ μάτην ἐνεργεῖν*] D *μάτην τοῦ ἐνεργεῖν.* — *τοῖς πᾶσιν*] B *τοῖς πάθεσιν.* Male, nec melius *ἄν.* Lege *τέλος ὢν τοῖς πᾶσι.* — *ὅπου γε πολλοὶ*] cett. *ὅπου γε πολλά*, recte. — *μάτην πράττειν*] cett. *μάτην τι πράττ.* excepto Cod. E. — *ἐπιτρέποι*] B *ἐπιτρέπει δὲ.*

καίτοι τὸ παρὰ τὰς ἡμετέρας αἱρέσεις ὁ θεὸς εἰς τὸ ἀγαθον ἑκάστοτε περιάγων, εἰκότως ἄρα οὐδὲ τῷ Σωκράτει τότε ἐνεργεῖν ἐφῆκεν, ὅτε δὴ μάτην ἔμελλεν ἐνεργεῖν. Ἀλλὰ τί τὸ ἐφεῖναι τὸν θεὸν, ἢ τὸ μὴ ἀνακόψαι τὴν σπουδὴν αὐτοῦ καὶ εἰς τὸν νεανίσκον πρόνοιαν; ᾧ καὶ δῆλον, ὅτι οὐκ ἐξαπαιτεῖ τὸ δαίμονα κινεῖν ἡμᾶς ἐπὶ τὰς πράξεις, ἀλλ' ὅταν ἀγαθοειδὴς ἡμῶν ἡ προαίρεσις ᾖ, καὶ τὸ μὴ ἀποτρέπεσθαι, μηδὲ ἐξεργάζεσθαι σημεῖόν ἐστι τοῦ καθήκοντος ἡμῖν τὴν πρᾶξιν. Διὸ καὶ ὁ Σωκράτης κωλυόμενος μὲν ἐπείθετο τῷ δαιμονίῳ, παυσαμένου δὲ ἐκείνου τῆς ἐναντιώσεως ἐφεῖσθαι νομίσας αὐτῷ τὴν πρὸς τὸν ἐρώμενον συνουσίαν, οὕτω θαῤῥῶν προσελήλυθεν. Καὶ φυλακτέον καὶ ἡμῖν ἐν ταῖς πράξεσι τὰ μέτρα ταῦτα τῆς ὁσιότητος. Οὔτε γὰρ ἀνθίστασθαι χρὴ ταῖς τῶν ἀγαθῶν δαιμονίων ἀποτροπαῖς, οὔτε κατὰ τοὺς δεισιδαίμονας ἀργοὺς καθῆσθαι, περιμένοντας ἐφ' ἑκάστους τὴν ἐκεῖθεν προτροπήν· ἀλλὰ προαίρεσιν ἀγαθὴν καὶ λογισμὸν προστησαμένους ἅπτεσθαι δεῖ τῶν πράξεων.

[νη.] „Πολύ γ' ἐμοὶ, ὦ Σώκρατες, νῦν ἀτοπώτερος (Edd. „add. aliquot αὖ) φαίνῃ, ἐπειδὴ ἤρξω λέγειν, ἢ ὅτε σιγῶν „εἴπου· καίτοι σφόδρα γε ἦσθα ἰδεῖν καὶ τότε τοιοῦτος· „εἰ μὲν οὖν ἐγὼ τοιαῦτα διανοοῦμαι, εἰ μὴ, ὡς εἶναι διέ„γνωκας, καὶ ἐὰν μὴ φῶ, οὐδέν μοι ἔσται πλέον πρὸς τὸ „πείθειν σε· εἶεν· εἰ δὲ δὴ ὅτι μάλιστα ταῦτα διανενόημαι, „πῶς διὰ σοῦ μοι ἔσται καὶ ἄνευ σοῦ οὐκ ἂν γένοιτο, „ἔχεις λέγειν;“ (p. 106. a. Bekk. p. 303. fq.)

— καὶ εἰς τὸν νεανίσκ.] D καὶ τὴν εἰς τὸν νεανίσκον, et ita legendum. — οὐκ ἐξαπαιτεῖ] A οὐκ ἐξ ἀπαιτεῖ. B οὐκ ἀπαιτεῖ. D οὐκ ἐκ παντὸς ἀπαιτεῖ. Bene. — τὸ δαίμονα] B τὸν δαίμονα. — ἐξεργάζεσθαι] A et B ἐξειργάζεσθαι. D ἐξείργεσθαι. — τοῦ καθήκοντος] B τοῦ καθῆ. (sic). D τοῦ καθήκειν. — θαῤῥῶν] B θαῤῥῶ. — ἀνθίστασθαι χρὴ] A ἀνίστασθαι χρὴ. B et D ἐνίστασθαι χρή. In Cod. E a prima manu fuit ἀνίστασθαι, altera correxit ἀνθίστασθαι. — κατὰ τοὺς δεισιδαίμονας] D κατὰ τὴν δεισιδαιμονίας (sic). — ἐφ' ἑκάστους] cett. bene ἐφ' ἑκάστοις, excepto Cod. E. — τὴν ἐκεῖθεν] D om. τὴν. — καὶ λογισμὸν] D καὶ λογισμῶν (sic).

πολύ γ' ἐμοὶ] B πολύ γέ μοι, et ita Edd. — ἀτοπώτερος] B ἀτοπότερος. Mox Astius φαίνει et Bekkerus. Pro τοιαῦτα in seqq. Editiones habent ταῦτα et ἢ μή. — σιγῶν εἴπου] A et B σιγῶν εἴπου κτλ. omissis seqq. usque ad ἔχεις λέγειν. — ὡς εἶναι διέγνωκας] D ὡς ἔοικε διέγν. Et ita est in Dialogo.

Τοῦτ' ἦν, ὃ καὶ ὁ Σωκράτης ἐβούλετο δράσαι διὰ τῶν προειρημένων λόγων, εἰς θαῦμα καὶ ἔκπληξιν κινῆσαι τὸν νεανίσκον, ἵνα διὰ μέσου τοῦ θαύματος τούτου πρὸς ἑαυτὸν ἐπιστρέψῃ τὸν ἐρώμενον καὶ πείσῃ τῆς ἑαυτοῦ προνοίας, ὥςπερ ἀφανοῦς πείσματος, ἀντέχεσθαι, καὶ μήτε δι' οἴησιν κενὴν ὑπερορᾷν τῶν αὐτοῦ λόγων, ὥςπερ τῶν πολλῶν ἐραστῶν, μήτε διὰ τὴν τῆς ἐφέσεως ὑπερβολὴν τὴν παρ' αὐτοῦ τιμὴν ἀπαιτεῖν, ὥςπερ τὰς παρὰ τῶν ἄλλων ἀνθρώπων, μήτε ὅλως πρὸς αὐτὸν ἁμιλλᾶσθαι περὶ πρωτείων, ὥςπερ δὴ πρὸς τὸν ἐπίτροπον αὐτοῦ Περικλέα. Διὰ ταῦτα γὰρ δὴ καὶ ἡ τοῦ θεοῦ μνήμη καὶ ἡ τοῦ δαίμονος ἔνδειξις καὶ ἡ φιλόδοξος παραδοξολογία μεμηχάνηται τῷ Σωκράτει, καταπλήττουσα πανταχόθεν αὐτὸν οὐκ ἀπὸ τῶν ἡλικῶν καὶ τῶν ἐκτὸς, ὥςπερ οἱ ἄλλοι ἐρασταὶ διὰ χρημάτων αὐτῶν καὶ ἵππων καὶ κυνῶν θηρευτικῶν προςήγοντο, ἀλλὰ διὰ φιλοσοφίας καὶ δαιμόνων, διὰ θεῶν, ἃ δὴ καὶ διὰ τὸ ἄγνωστον ἐξέπληττεν ἑαυτὸν, διὰ τὸ ἄϋλον μᾶλλον προςήγοντο. Πᾶν γὰρ τὸ ἔνυλον ἀδρανὲς ἐστι καὶ ἀσθενὲς, ὅσῳ δ' ἄν τι τῆς ὕλης ᾖ χωριστὸν, τοσούτῳ μᾶλλον καὶ ἀπαθέστερον καὶ δραστικώτερον. Ταῦτ' ἄρα καὶ τὴν Στωϊκὴν μεγαληγορίαν ὑπερβέβληκεν ὁ Σωκράτης ἐν τούτοις. Τί γὰρ ἄλλο ἐστὶν ἐκ τῶν εἰρημένων συνάγειν, ἢ ὅτι μόνος ἄρχων ὁ σπουδαῖος, μόνος δυνάστης, μόνος βασιλεὺς,

— τοῦτ' ἦν] D τοῦτ' αὖ (sic). — ἐβούλετο δράσαι] B ἐβ. δρᾶσαι. — θαῦμα καὶ ἔκπληξιν ..... διὰ μέσου τοῦ] haec omissa sunt in B. — διὰ μέσου τοῦ] διὰ μέσου (μόνου) (sic) τοῦ. — ἐπιστρέψῃ] B ἐπιστρέψει. — καὶ πείσῃ] B καὶ πείσει. — δι' οἴησιν] B δ' εἰσίν. — διὰ τὴν τῆς ἐφέσεως] B δὲ αὐτὴν τῆς ἐφέσεως. — ὥςπερ δὴ] B ὥπερ δεῖ. — φιλόδοξος] cett. melius φιλόσοφος, excepto E. — τῶν ἡλικῶν] cett. τῶν ὑλικῶν, bene, — καὶ δαιμόνων] cett. διὰ δαιμόνων, excepto Cod. E. — ἐξέπληττεν ἑαυτὸν] A et B ἐξέπληττεν αὐτὸ. D ἐξέπλ. αὐτὸν. Bene. — μᾶλλον προςήγοντο] A et B μᾶλλον ὑπῆρχεν δραστήρια. D μᾶλλ. ὑπῆρχε δραστ. Quod non displicet. Proxime ἀδρανὲς i. e. segnis, nervos non habens. Vid. Etymol. m. p. 18. 50. p. 17 Lips. et Sturzii Annot. p. 700. Adde Epicteti Dissertatt. III. 7. 13 ibiq. Schweigh. in notis pag. 639. — δ' ἄν τι τῆς ὕλης] B om. τι τῆς, — τοσούτῳ μᾶλλον] cett. add. ἐστὶ. — Στωϊκὴν] B Στοϊκήν. — ὑπερβέβληκεν] B ὑποβέβληκεν. in marg. cod. D περὶ τῆς βασιλείας τῶν Στωϊκῶν. — μόνος βασιλεὺς] haec om. cod. D. Zenonis fuerunt hae sententiae. Vid. Cicer. de Finib. III. 22. §. 75. pro Murena cap. 29. Diogen. Laert. VII. §. 122 ibiq. Menag. Suidas in δοῦλοι Vol. I. pag. 621 Kuster.

μόνος ἡγεμὼν πάντων, μόνος ἐλεύθερος, καὶ ὅτι πάντα τῶν σπουδαίων ἐστὶν, ὅσα καὶ τῶν θεῶν· κοινὰ γὰρ τὰ τῶν φίλων· εἴπερ οὖν πάντα τῶν θεῶν, πάντα καὶ τῶν σπουδαίων. Διὰ γὰρ ταῦτα καὶ μετὰ θεοῦ παραδώσειν ὑπέσχετο τὴν δύναμιν καὶ ἄρχοντα ποιήσειν καὶ ἐγκρατῆ πάντων, ἐπιστήμης ἀρχὴν μεταδούς. Ὡς γὰρ τέκτονα λέγομεν οὐ τὸν ἔχοντα τὰ ὄργανα τοῦ τέκτονος, ἀλλὰ τὸν τὴν τέχνην κεκτημένον· οὕτω καὶ ἄρχοντα καὶ βασιλέα τὸν ἔχοντα τὴν βασιλικὴν ἐπιστήμην, ἀλλ' οὐ τὸν κρατοῦντα πολλῶν. Ὄργανον γάρ ἐστιν ἡ φαινομένη δύναμις, τὸ δὲ χρώμενον ἡ ἕξις· χωρὶς δὲ ταύτης οὐκ ἂν ποτέ τις ἄρχων εἴη βασιλεύς. Τὸ παρὸν τοίνυν εἰς πλέον θαῦμα Ἀλκιβιάδην ἤγειρε· πλέον γάρ μοί φησι νῦν φαίνῃ θαυμαστὸς, ἢ ὅτε σιγῶν εἴπου· καὶ σιωπῶν ἄρα καὶ φθεγγόμενός ἐστιν ὁ σπουδαῖος θαύματος τοῖς συμπεφυκόσιν ἄξιος, ἀλλ' οὐχ ὅγε κακὸς τοιοῦτος· ἀλλὰ σιωπῶν ὕπουλός ἐστι καὶ φεγγόμενος ἀηδής. Ἔοικε δὴ οὖν ὁ νεανίσκος καταπλαγεὶς δι' ἀμφότερα, καὶ τὴν σιωπὴν τοῦ Σωκράτους καὶ τοὺς λόγους, ἄντικρυς οἷον δαίμονα αὐτὸν ὑπολαβεῖν. Τὸ γὰρ σιγῶντα ἕπεσθαι δαιμόνιόν ἐστι· καὶ γὰρ τὸν ἀγαθὸν δαίμονα σύμπορον ἡμῶν εἰώθασι λέγειν, καὶ ἕπεσθαί φασιν ἡμῖν αὐτὸν ἐκ θείας ὁρμῆς. Καὶ τὸ φθεγξάμενον ἔτι μειζόνως φαίνεσθαι θαυμαστὸν αὐτοῖς, προςήκει πάλιν τοῖς κρείττοσιν ἡμῶν. Ὅσον γὰρ πλέον συναισθανόμεθα τῆς τῶν κρειττόνων δυνά-

— τὰ τῶν φίλων] cett. om. τῶν excepto E. Est locus ex Euripidis Oreste v. 735. (723. Matth.), quae fabula plena est ejusmodi sententiarum. Sed de hoc proverbio v. Erasmi et All. Adagia p. 42, ubi plurimi veterum loci laudantur, neque noster omissus est. Inprimis autem de hac Pythagoreorum sententia vid. Porphyr. de Vita Pythag. 33. p. 37 Kust. ibiq. Rittershusius p. 46. Jamblich. de vita Pythag. 32. p. 24. et 92. p. 78. ed. Kust. — ἐπιστήμης ἀρχὴν] A ἐπιστήμην ἀρχικὴν. B et D ἐπιστήμης ἀρχικῆς. Non male; et praestat potius haec lectio nostrae. — εἴη βασιλεὺς] cett. εἴη καὶ βασιλεύς. Recte. — φαίνῃ θαυμαστὸς] B φαίνῃς θαυμαστόν. — σιγῶν εἴπου] D σιγῶν εἵπου, quod unice verum est. — ἀλλὰ σιωπῶν] A ἀλλὰ σιωπῶν. D ἀλλὰ καὶ σιωπῶν, quod placet. — φεγγόμενος] cett. recte φθεγγόμενος. Vocem ὕπουλος ab eodem mutuatus est Noster unde alii multi, a Platone in Gorg. p. 480. p. 109 Heindf. cf. Gatacker ad Marc. Antonin. III. 8 p. 82. Wyttenb. ad Plutarch. de S. N. V. p. 110 seq. Hinc ὑπούλως ex Theodoret. Vol. III. p. 758 ed. Schulz. adde Lexico Schneid. Lexicis nec minus addenda vox σύμπορος. — ὅσον γὰρ πλέον] cett. ὅσῳ γὰρ πλέον, excepto E.

μεως, τοσούτῳ μᾶλλον αὐτοὺς τεθήπαμεν. Οἷον εἰ βούλει καὶ τοῦ σωτῆρος Ἀσκληπιοῦ καὶ νῦν ὑγιάζοντος ἡμᾶς καὶ ἀεὶ σώζοντος καὶ ἔχοντος ἐν ἑαυτῷ θειοτέρας ἐνεργείας τῶν ἔξω προϊουσῶν, ὅμως μᾶλλον αὐτὸν ἀνυμνοῦμεν, ὅταν τινὸς ἐπιφανείας τύχωμεν. Ἐθέλομεν γὰρ καὶ τὸ ζῶον ἡμῶν συναισθάνεσθαι τῆς τοῦ θεοῦ δόσεως. Ταύτῃ μοι δοκεῖ καὶ ὁ νεανίσκος νυνὶ θαυμαστότερον εἶναι φῆσαι τὸν Σωκράτην· νυνὶ γὰρ αὐτοῦ συναισθάνεται τῆς τοῦ θεοῦ δόσεως. Ἐν δὲ τῷ πρόσθεν χρόνῳ σιγῶντα μόνον ἑώρα καὶ παρεπόμενον· σιγῶν τε οὖν ἐστι θαυμαστὸς ὁ σοφὸς, ὡς τῷ κρυφίῳ καὶ ἀγνώστῳ θεῶν γένει ὁμοιότατος· καὶ φθεγγόμενος ἔτι μειζόνως θαύματος ἄξιος τῷ ἐκφαντορικῷ τοῦ θείου προςεικάζων ἑαυτόν. Πᾶν γὰρ τὸ θεῖον τοιοῦτόν ἐστι, καὶ κατὰ πάσας ἑαυτοῦ τὰς δυνάμεις θαυμαστὸν φαίνεται, καὶ γινωσκόμενον καὶ ἄγνωστον μένον. Ὥςπερ δὴ τὸ ἄθεον καὶ σκοτεινὸν ὅσῳ γινώσκεται, τοσούτῳ μᾶλλόν ἐστιν εὐκαταφρονικώτερον· ὁ μὲν οὖν Σωκράτης τοιοῦτος. Καὶ ὅμως ἤδη μέγιστον πέφηνε τῷ νεανίσκῳ δυνηθείς· κεκίνηκε γὰρ αὐτὸν εἰς τὴν ἔκπληξιν καὶ τὸ θαῦμα τὸ περὶ ἑαυτόν· ὁ δὲ Ἀλκιβιάδης ὁποῖος καὶ διὰ τούτων ἀναφαίνεται εὐφυὴς ἄρα καὶ ἀσφαλὴς, οὔτε τὸ ψεῦδος προςιέμενος εἰς τὴν ἑαυτοῦ ζωὴν, οὔτε ἄντικρυς ὁμολογῶν φίλαρχος εἶναι καὶ δυναστείας ἐραστὴς καὶ πέπονθέ τι τοιοῦτον πάθος, οἷον δή τι καὶ ὁ Χαρμίδης ἐν τῷ ὁμωνύμῳ διαλόγῳ. Καὶ γὰρ ἐκεῖνος, περὶ σωφροσύνης ἐρωτηθεὶς, ἄπορον

— *φήσαι τὸν Σωκρ.*] cett. *φῆσαι τ. Σ.* excepto solo E. — *συναισθάνεται τῆς τοῦ θεοῦ δόσεως*] cett. om. *τῆς τ. θ. δόσεως*, et certe haec verba ex superioribus irrepserunt. — *σιγῶντα μόνον*] A *σιγῶν ταμόνον*. — *θεῶν γένει*] cett. *γένει τῶν θεῶν*. — *μειζόνως θαύματος*] A et B *μείζονος θαύματος*. — *πᾶν γὰρ τὸ θεῖον*] cett. *πᾶν γὰρ δὴ τὸ θεῖον*, praeter unum Cod. E. qui et h. l. et statim subsequente *καὶ κατὰ πάσας* cum nostro facit. — *καὶ κατὰ πάσας*] cett. om. *καὶ*, excepto, ut diximus, Cod. E. — *εὐκαταφρονικώτερον*] A *εὐκαταφρονηκώτερον*. B *εὐκαταφρονικότερον*. D *εὐκαταφρονιτότερον*. Scribendum ex vestigiis Cod. D *εὐκαταφρονητότερον*. — *τὸ περὶ ἑαυτὸν*] D *τὸ περὶ ἑαυτοῦ*. — *εὐφυὴς ἄρα*] cett. recte *εὐφυὴς ἅμα*, excepto Cod. E qui perperam nostro adstipulatur. — *ἑαυτοῦ ζωὴν*] A et B *ἐμαυτοῦ ζωήν*. — *τι τοιοῦτον πάθος*] A *τι τοιοῦτόν τι πάθος*. — *οἷον δή τι*] cett. om. *οἷον*, sed recte tenet Cod. E. — *ἄπορον αὐτῷ*] B *ἄπορον αὐτοῦ*. Locus est in Platonis Charmide p. 158. d. Bip. T. V. Bekk. T. I, 1. p. 313. cujus sententiam, neque vero verba expressit Proclus.

αὐτῷ τὴν ἀπόκρισιν εἶναι λέγει· κἄν τε γὰρ σωφρονεῖν φορτικὸς ὁ λόγος, κἄν τε μὴ φῶ κατήγορος ἔσομαι ἐμαυτοῦ. Τοῦτο δὴ οὖν καὶ ὁ Ἀλκιβιάδης ἐν τοῖς προκειμένοις πέπονθε. Καὶ γὰρ ὁμολογήσας δυναστείας ἐρᾷν κατηγορεῖ ἑαυτοῦ ὡς φιλάρχου, καὶ μὴ ὁμολογήσας ἐψεύδετο. Τούτοις δὲ συνεχόμενος τοῖς ἀπόροις δι' εὐφυΐαν εὗρέ τινα ἀποστροφήν· οὐ γὰρ κατηγορικῶς, ἀλλ' ὑποθετικῶς προάγει τοὺς λόγους, οὐδὲ μόνα τὰ καταφατικὰ παραλαμβάνει, ἀλλὰ καὶ τὰ ἀποφατικά. *Εἴτε γάρ φησιν ἐγὼ ταῦτα διανοοῦμαι εἴτε μή, ὡς ἔοικε, διέγνωκας.* Καὶ ἔχεις πάλιν ἐκ τούτων ἐπὶ τὰ πράγματα μετιὼν ὁρᾷν, ὅτι τὰ μὲν τελειότερα αἴτια καθαρεύει πάσης στερήσεως, τὰ δὲ κοινότερα τῷ μὴ ὄντι συμπλέκεται. Καὶ τὰ μὲν ἕστηκεν ἐν τῷ εἴδει, τὰ δὲ ῥέπει καὶ εἰς τὴν στέρησιν. Ὁ μέντοι γε Σωκράτης μονοειδῶς ἔλεγεν, ὅτι ταῦτά ἐστι διανοήματά σου καὶ ἀραροτέρως θάτερον μόριον τῆς ἀντιφάσεως· ὁ δὲ ἐπ' ἄμφω φέρεται καὶ ταῦτα ἐξ ὑποθέσεως, *εἴτε διανοοῦμαι εἴτε μή, ὡς ἔοικε, διέγνωκας· καὶ ἐὰν μὴ φῶ, οὐδὲν πλέον ἔσται πρὸς τὸ πείθειν σε.* Καὶ τοῦτο εἰκότως· οὐδὲν γὰρ ἀπὸ τῶν χειρόνων εἰς ἑαυτὸ τὸ κρεῖττον εἰςδέχεται, ὥςπερ οὐδὲ οὐρανὸς ἐκ τῆς μεταβολῆς πάσχει τι τῶν ὑπὸ σελήνης· οὐδὲ τὸ ἀκίνητον αἴτιον ἐκ τῆς κινήσεως τῶν ἐγκοσμίων, οὐδὲ ὅλως τὰ αἰώνια ἐκ τῶν κατὰ χρόνον ἐνεργούντων, οὐδὲ ὅλως τὸ ἀναγκαίως πάντα γινώσκων τροπὴν ὑπομένειν κατὰ τὸ γνωστὸν ἂν ἐνδεχόμενον. ἦ. Κατὰ δὴ τοῦτον τὸν λόγον καὶ ὁ Ἀλκιβιάδης οὐδὲν εἰς τὸν Σωκράτην διὰ τῆς οἰκείας ἀρνήσεως,

— κἄν τε γὰρ σωφρονεῖν] cett. κἄν τε γὰρ φῶ σωφρ., excepto Cod. E male cum nostro omittente φῶ. — κατήγορος ἔσομαι] B κατήγ. ἔδωκας. — τούτοις δὲ συνεχόμενος] A E et D bene τούτοις δὴ συνεχόμενος. B τούτοις δὴ συνεχόμενον. — τὰ δὲ κοινότερα] A et B τὰ δὲ κοιλότερα. D κοιλότερα. omiss. τὰ δέ. — Vocabulum κοιλὸς hac significatione me legere non memini. Ceterum huc facit Grammaticus mscr. qui ita: *εἶδος μὲν γὰρ τέλειόν τί ἐστι·* ὡς λέγομεν εἶδος ζώου ὁ ἄνθρωπος. — τῷ μὴ ὄντι] A τῷ μὲν ὄντι. — διανοήματά σου] D τὰ διανδήματά σου. — ἀραροτέρως] cett. bene ἀραρότως, praeter Cod. E. — εἴτε διανοοῦμαι] B εἴτε διανοοῦ. — ἐὰν μὴ φῶ] A ἐὰν μὲν φῶ. — οὐδὲν πλέον ἔσται] D οὐδέν μοι πλέον ἔσται. Bene. — ὑπὸ σελήνης] cett. ὑπὸ σελήνην, excepto Cod. E. — γινώσκων] A E et D γινώσκον. B γινῶσκον. Bene. — τροπὴν ὑπομένειν] cett. bene τροπ. ὑπομένει, praeter unum E. — ἂν ἐνδεχόμενον] B ἀναδεχόμενον. -- εἰς τὸν Σωκράτην] D add. δρᾷ, haud incommode.

οὐδὲ διὰ τῆς ἐπικρίσεως ἐλέγχει τὴν μόνιμον ἐκείνου γνῶσιν· ἐπειδὴ τούτοις συγχωρήσας ἐξ ὑποθέσεως, ὅτι ταῦτα διανοεῖται, καὶ θαυμάζων ἅμα τὴν Σωκράτους ὑπόσχεσιν ἀπαιτεῖ λέγειν αὐτόν, πῶς δι' αὐτοῦ ταῦτα ἔσται, καὶ ἄνευ αὐτοῦ κἂν γένοιτο. Καὶ προςενήνεκται πάνυ θαυμαστῶς τὸ ἔχει λέγειν, ὡς εἰς πᾶσαν ἀπορίαν αὐτὸν καταβάλλων. Ἀποβλέπει γὰρ εἰς τὰς ἐκτὸς δυνάμεις καὶ οἴεται ἀκούσεσθαι πόρους χρημάτων, καὶ πλῆθος ἀνθρώπων, καὶ ναυτικοῦ παρασκευήν, Σωκράτει δὲ οὐδενὸς τούτων ἔμελλεν, ἀλλ' ἐπιστήμης· οὐ γὰρ δεῖ πρὸ τοῦ χρησομένου τὰ ὄργανα ποθεῖν. Καί μοι δοκεῖ καὶ τοῦτο συντρέχειν τῷ παντὶ τοῦ διαλόγου σκοπῷ· εἰ γὰρ τὸ χρώμενον ἕτερόν ἐστι τῶν ὀργάνων, καὶ ἐν τῷ χρωμένῳ τὸ πᾶν ἐστιν, ἀλλ' οὐκ ἐν τοῖς ὀργάνοις, καὶ τὸ ὅλον τοῦ ἀνθρώπου ἐν ψυχῇ ἐστι, τὸ δὲ σῶμα ἔξωθεν ὡς ὄργανον ὑπέστρεται τῇ ψυχῇ, τοῦ αὐτοῦ τοίνυν ἐστὶ καὶ τὴν πρωτίστην δύναμιν ἐν τῇ ἐπιστήμῃ τῇ χρωμένῃ τίθεσθαι καὶ τὴν οὐσίαν ἡμῶν ἐν ψυχῇ δεικνύναι, τὰ δὲ ἄλλα πάντα ὡς ὄργανα τούτων ἐξάπτειν. Καὶ μὴν καὶ τὸ διὰ σοῦ πάνυ θαυμαστῶς ὁ νεανίσκος ἐπινενόηκεν· ἀκούσας γὰρ τοῦ Σωκράτους λέγοντος, ὅτι παραδώσω σοι τὴν δύναμιν, ἧς ἐπιθυμεῖς, μετὰ τοῦ θεοῦ μέντοι, συνοῖδεν, ὅτι τὸ μὲν πρώτως ποιητικὸν τῷ θείῳ προςήκει νέμειν, τῷ δὲ Σωκράτει τὸ ὀργανικόν. Ἔστι δὲ τὸ μὲν ποιοῦν αἴτιον, ὡς τὸ ὑφ' οὗ, τὸ δὲ ὄργανον ὡς τὸ δι' οὗ. Καθάπερ δὴ καὶ τὸ μὲν τέλος εἴωθε καλεῖσθαι δι' ὅ, τὸ δὲ παράδειγμα πρὸς ὅ, καὶ τὸ μὲν εἶδος

— *ἐπικρίσεως*] D *ἐπικρύψεως*. — *ἀπαιτεῖ λέγειν*] B *ἀπαιτεῖν λέγειν*. — *κἂν γένοιτο*] B E et D *οὐκ ἂν γένοιτο*. Recte. — *τὸ ἔχει λέγειν*] A *τὸ ἔχειν λέγειν*. B E et D *τὸ ἔχεις λέγειν*. Optime. In seqq. scribendum videtur *καταβάλλον*. — *οὐδενὸς τούτων*] D *οὐδὲν τούτων*. Tum legendum *ἔμελεν curae cordique erat*; cui verbo et nominativus et genitivus convenit. Vid. modo quae Sturz. congessit in Lex. Xenoph. III. p. 103. — *οὐ γὰρ δεῖ*] B *οὐ γὰρ δή*. — *καί μοι δοκεῖ*] A *καί μοι δοκεῖν*. — *ἔξωθεν ὡς ὄργανον*] B om. *ὡς*. — *ὑπέστρεται*] cett. *ὑπέστρωται*, et ita scribendum. — *πρώτως ποιητικὸν*] B *πρότερον ποιητ*. — Quod proxime Noster *Timaeum* et *Aristotelem* memorat, respexit Platonis Timaeum pag. 28 sq. Tom. IX p. 301 sqq. Bip. Part. III. Vol. II. p. 22 sqq. Bekker et Aristotel. Metaphys. I. b. cap. 2 p. 30 Sylburg. et V. 2. p. 70 sq. Quibus locis junge Senecae epistol. LXV. §. 8—11. et Simplicium ad Aristotelis Physica fol. 3. a.

καθ' ὅ, τὸ δὲ ὑλικὸν αἴτιον, ὡς μὲν Ἀριστοτέλης φησὶν, ἐξ οὗ, ὡς δὲ ὁ Τίμαιος, ἐν ᾧ. Προςήκει δὴ οὖν τὸ ὄργανον οὕτως αἴτιον λέγειν, ὡς τὸ δι' οὗ. Καὶ οὖν καὶ ὁ Σωκράτης, ὄργανον ὑπάρχων τοῦ θείου, τὸν δι' οὗ λόγον ἐπέχει, καὶ εἰκότως ὁ νεανίσκος φησί· τὸ διὰ σοῦ μοι ἔσται καὶ τὸ ἄνευ σοῦ οὐκ ἄν μοι γένοιτο· καὶ γὰρ τὰ ὄργανα τὸν ὧν οὐκ ἄνευ λόγον πρὸς τὸ γιγνόμενον ἔχουσιν, ἐπειδὴ τὰ ἀκυρίως αἴτια ἄλλα εἰσὶ τὸ τελικὸν, τὸ παραδειγματικὸν καὶ τὸ ποιητικόν.

[νθ.] „Ἆρα ἐρωτᾷς, ἤ τινα ἔχων εἰπεῖν λόγον μακρὸν, „οἵους δὴ ἀκούειν ἔθισαι; οὐ γάρ ἐστι τοιοῦτον τὸ „ἐμόν· ἀλλ' ἐνδείξασθαι μέν σοι, ὡς ἐγῷμαι, οἷός τ' ἂν „εἴην ταῦτα οὕτως ἔχειν, ἐὰν ἕν μόνον μοι ἐθελήσῃς „(Bekk. ἐθέλῃς) βραχὺ ὑπηρετῆσαι· — ἀλλ' εἴγε δὴ μὴ „χαλεπόντι λέγῃς τὸ ὑπηρέτημα, ἐθέλω· — εἰ χαλεπὸν „δοκεῖ τὸ ἀποκρίνασθαι τὰ ἐρωτώμενα; — οὐ χαλεπόν· — „ἀποκρίνου δή· — ἐρώτα· — οὐκοῦν ὡς διανοουμένου „σου ταῦτα ἐρωτῶ, ἅ φημί σε διανοεῖσθαι; — ἔστω, εἰ „βούλει, οὕτως, ἵνα σὲ καὶ εἰδῶ, ὅ τι ἐρεῖς." (p. 106, b. Bekk. p. 304.)

Περὶ τοῦ τρόπου τῶν λόγων ἐν τούτοις ὁ Σωκράτης διορίζεται, ὁποῖόν τινα αὐτὸν εἶναι προςήκει, πότερον ῥητορικὸν καὶ δημηγορικὸν καὶ πιθανουργικὸν, ἢ διαλεκτικὸν καὶ ἀκριβῆ

— προςήκει δὴ οὖν] B προςήκει δεῖ οὖν. — ὑπάρχων τοῦ θείου] cett. ὑπάρχον τοῦ θείου, sed E cum nostro facit, recte. — τὸν ὧν οὐκ] B τοῦ ὧν οὐκ. — ἄνευ λόγον] B ἄνευ λόγου. — ἀκυρίως αἴτια] A et B κυρίως αἴτια, recte; et ita quoque Cod. E ex correctione. D κυρία αἴτια. — καὶ τὸ ποιητικὸν] D om. καί.

ἤ τινα ἔχων] cett. ἤ τινα ἔχω Cod. E solus cum nostro ἔχων. Perperam; est enim apud Platonem ἔχω. Idem Cod. recte εἰ pro ἤ, quamquam ex correctione. — ἔθισαι] A et D εἴθισαι. B εἴθισται Cod. E item perperam ἔθισαι, cum sit in dialogo εἴθισαι. Mox idem liber a prima manu ἐθελήσεις, deinceps ὑπερωτῆσαι, utrumque male. — τοιοῦτον τὸ ἐμὸν] A et B τοιοῦτον τὸ ἐμὸν κτλ. omiss. cett. usque ad ὅ τι ἐρεῖς. — οἷός τ' ἂν εἴην] D ὅτι ταῦτα οὕτως ἔχει. Bene; et ita est in Edd. — χαλεπόν τι λέγῃς] D recte cum Edd. χαλ. τι λέγεις. Mox pro εἰ χαλ. Buttmannus invitis libris correxit ἤ, Astius autem et Bekkerus servant vulgatam, abjecto interrogandi signo. — ἵνα σὲ καὶ εἰδῶ] D om. σέ. — ὅτι ἐρεῖς] D ὅτι καὶ ἐρεῖς. Utrumque ut Edd. v. ad h. l. Buttm. et Ast. in editionibus singularibus.

καὶ ἐξεταστικόν. Ὁ μὲν γὰρ νεανίσκος προςεδόκει προοιμίων ἀκούσεσθαι καὶ ἐπιλόγων καὶ ἀγώνων τινῶν ἐπιχειρηματικῶν ἐντραφεὶς τοιούτοις λόγοις. Ὁ δὲ Σωκράτης ἐπὶ τὴν διαλεκτικὴν αὐτὸν ἄγει καὶ τὴν κατὰ βραχὺ προϊοῦσαν ἐξέτασιν τῶν ἐν αὐτῷ δογμάτων. Οὗτος γὰρ ὁ τρόπος ὁ τῶν λόγων διαλεκτικὸς, ἐρωτήσεσι καὶ ἀποκρίσεσι τελειούμενος, πρῶτον μὲν τὸν ἀκούοντα προςεκτικώτερον ποιεῖ, παρακολουθεῖν αὐτὸν ἀναγκάζων ταῖς ἐρωτήσεσιν, ἀλλ' οὐκ ἀφέντα τὴν τοῦ λέγοντος ῥοπὴν αὐτὸν πρὸς ἄλλοις ἔχειν τὸν νοῦν, ὅπερ πάσχουσιν οἱ τῶν ῥητορικῶν ἀκροώμενοι λόγων, οὐδὲν ἐπιστρεφόμενοι πρὸς αὐτοὺς, ἀλλ' ὡς τὰ πολλὰ χαίρειν ἐῶντες καὶ περὶ ἄλλα τὴν διάνοιαν ἀνατρέποντες. Δεύτερον δὲ πρὸς τὴν ζητητικὴν δύναμιν ἀνοσιμώτατός ἐστιν αὐτὸν τὸν ἀκροατὴν πείθειν, τὰς μὴ οὔσας ἀποκρίσεις ἀνερευνᾷν καὶ ταῖς ἐρωτήσεσι προςάγειν καὶ ἐπιστρέφειν αὐτὸν εἰς ἑαυτὸν ἀπὸ τῶν ἔξω φερομένων λόγων. Τρίτον καὶ πρὸς κάθαρσιν τὰ μέγιστα συντελεῖ· ποιεῖ γὰρ δὴ τὸν τὰς ψευδεῖς ἔχοντα δόξας αὐτὸν ὑφ' ἑαυτοῦ περιτρέπεσθαι, καὶ πρὸς ἑαυτὸν διαφωνεῖν, καὶ ἑαυτῷ διαμαχόμενον καθορᾷν τὸ αἶσχος τῆς ἀπάτης καὶ τῆς ἀληθοῦς ἐπορέγεσθαι γνώσεως. Ὁ γὰρ ἔλεγχος συλλογισμός ἐστιν ἀντιφάσεως· τοῦτο δὲ τῶν ψευδῶν ἐστιν ἀποκάθαρσις δοξασμάτων· γίνεται γὰρ ὁ ἐλεγχόμενος τῆς ἑαυτοῦ κατήγορος ἀγνοίας. Τέταρτον πρὸς ἀνάμνησιν ἱκανῶς συμβάλλεται· τὸ γὰρ διορᾷν ἐν ἑαυτῷ τὸ ἀληθὲς καὶ αὐτὸν εἶναι τὸν λέγοντα, καὶ πρὸς ἑαυτὸν ἐπιστρέφειν καὶ ἐν ἑαυτῷ τὸ γνωστὸν θεωρεῖν ὄντως τὰς μαθήσεις ἀναμνήσεις ἀποφαίνει. Ἐπὶ μὲν γὰρ τῶν ῥη-

— *προςεδόκει*] D *προςεδόκα*. Bene. — *τοιούτοις λόγοις*] D *τοῖς τοιούτοις λόγοις*. — *ὁ τῶν λόγων διαλεκτικὸς*] D *τῶν λόγων ὁ διαλεκτικὸς*, quod praestat. — *διάνοιαν ἀνατρέποντες*] D *δίαν. τρέποντες*. — *ἀνοσιμώτατός ἐστιν*] A et E *ἀνυσιμώτατός ἐστιν*. B *σιμώτατος ἐστὶν*. D *ἀνυσιμώτατόν ἐστιν*. — *τὸν ἀκροατὴν πείθειν*] cett. *τ. ἀκρ. πείθων*, sed E *πείθειν*. — *τὰς μὴ οὔσας*] A et B *τὰς μούσας*. D *τὰς προσηκούσας*. Quod placet. — *προςάγειν καὶ ἐπιστρέφειν*] cett. *προςάγων καὶ ἐπιστρέφων*, excepto E. Tum vero etiam corrigendum *ἀνερευνῶν*. — *ἐστιν ἀποκάθαρσις δοξ.*] cett. *ἐστιν δοξασμάτων ἀποκάθαρσις*, sed E ut noster. — *ἱκανῶς συμβάλλεται*] cett. *ἱκανῶς ἡμῖν συμβάλλεται*. Bene. — *διορᾷν ἐν ἑαυτῷ*] B *διορᾷν ἐν αὐτῷ*. — *ὄντως τὰς μαθήσες*] D *οὕτω τὰς μαθ.*

τορικῶν λόγων ἔξωθεν ἡμῖν ἡ γνῶσις τίθεται καὶ ἔστιν ἀλλοτρία καὶ ἐπεισοδιώδης, ἐν δὲ ταῖς διαλεκτικαῖς συνουσίαις αὐτοῦ προβάλλομεν τὸ ἀληθές. Ἂν γάρ τις, φησὶ, καλῶς ἐρωτᾷ, πάντα παρ' ἑαυτῶν οἱ ἐρωτώμενοι λέγουσιν· οὕτως ἡ μάθησις ἀνάμνησίς ἐστι. Διὰ ταύτης μὲν οὖν ὁ Σωκράτης καὶ ἄλλας πλείονας αἰτίας τὸν διαλεκτικὸν τρόπον δοκιμάζει τῆς συνουσίας, ὡς ὠφελιμώτατον ἡμῖν εἰς προσοχὴν, εἰς ζήτησιν, εἰς κάθαρσιν, εἰς ἀνάμνησιν. Εἰ δὲ βραχὺ τὸ ἀποκρίνασθαι τὰ ἐρωτώμενά φησιν ὑπάρχειν, μή τοι θαυμάσῃς· δοκεῖ μὲν γὰρ εἶναι σοφοῦ τὸ δεόντως ἀποκρίνεσθαι. Ὅταν δὲ ὁ ἐρωτῶν ἐπιστήμων ᾖ, καὶ ὁ ἐρωτώμενος μαιείας ἕνεκα ποιεῖται τὰς ἀποκρίσεις καὶ σοφιστικοὺς, δέονται μείζονος ἐπιστήμης, καὶ τὸ ὅλον ἔργον ἐστὶ τοῦ ἐρωτῶντος. Καὶ εἰ βούλει διελὼν εἰπεῖν, οὕτως ἂν λέγοις· ὡς αἱ μὲν πρὸς τοὺς ἐριστικοὺς ἀποκρίσεις καὶ σοφιστικοὺς, ἵνα μὴ λάθωμεν ἐξαπατηθέντες ὑπ' αὐτῶν, μείζονος δέονται ἐπιστήμης, αἱ δὲ πρὸς τοὺς μαιευομένους καὶ ἀνεγείροντας τὸν ἐν ἡμῖν νοῦν τοῦ ἐρωτῶντος ἐξήρτηνται, καὶ βραχὺ τὸ οἰκεῖον ἔργον ἔχουσιν· ἐκείνων γὰρ ὀρθῶς ὑφηγουμένων καὶ αἱ ἀποκρίσεις ῥᾴδιαι πάντως εἰσί. Καὶ ἔοικε καὶ τοῦτο τῶν λόγων τὸ πάθος τῇ φύσει τῶν πραγμάτων. Καὶ γὰρ ἐν ἐκείνοις, ὅταν μὲν κακοποιὰ τὰ αἴτια ᾖ, δεῖται τὸ ὑποκείμενον μεγάλης δυνάμεως πρὸς τὸ μὴ παθεῖν· ὅταν δὲ ἀγαθουργὰ, καὶ ἣν ἔχει δύναμιν, παρ' ἐκείνων ἔχει, καὶ ὅλον τὸ ἔργον τῶν ποιούντων ἐξήρτηται, παρ' ὧν καὶ ἡ δύναμις

— ἡ γνῶσις τίθεται] cett. ἡ γνῶσις ἐντίθεται, sed E τίθεται. — ἐπεισοδιώδης] A ἐπισοδιώδης. — αὐτοῦ προβάλλομεν] cett. αὐτοὶ προβάλλ. et ita legendum. — παρ' ἑαυτῶν] B παρ' ἑαυτῷ. — ἀνάμνησίς ἐστι] A et B ἀνάμνησίς ἐστιν. — διὰ ταύτης μὲν οὖν] cett. διὰ ταύτας μὲν οὖν, excepto Cod. E. Sed placet ταύτας. — ἀποκρίνεσθαι] D ἀποκρίνασθαι. — ποιεῖται τὰς ἀποκρίσεις] A et B ποιῆται τὰς ἀποκρίσεις. Bene. Ita etiam Cod. D ex corr. — καὶ σοφιστικοὺς, δέονται μείζονος ἐπιστήμης καὶ] cett. haec omittunt; bene. Sed Cod. E omittit nonnisi *δέονται μείζονος ἐπιστήμης, καὶ*, quae ex sequentibus irrepserunt, ut voces *καὶ σοφιστικούς*. — ἐριστικοὺς] B ἐρωτικούς. — ἀποκρίσεις καὶ σοφιστικοὺς] B ἀποκρ. καὶ σοφιστικάς. Post haec cett. add. δέονται μείζονος ἐπιστήμης, eadem autem omittunt post ὑπ' αὐτῶν. Perinde est, utrum eligas. — ἐξήρτηνται] A et B ἐξήρτηται. — καὶ αἱ ἀποκρίσεις] A et B om. αἱ. — πάντως εἰσὶ] D πάντας εἰσί. — καὶ τοῦτο] B καὶ τούτων. — ἀγαθουργὰ] D ἀγαθουργόν. — παρ' ἐκείνων ἔχει] A et D παρ' ἐκείνων ἔχῃ.

τοῖς ὑποκειμένοις, καὶ ἡ τελείωσις. Οὐκοῦν ἀμφότερα ἀληθῆ καὶ ὅτι τὸ ἀποκρίνεσθαι ἀληθῶς σοφοῦ τι εἰπεῖν, καὶ ὅτι τῷ Ἀλκιβιάδῃ τοῦτο οὐ χαλεπὸν διὰ τὴν τοῦ Σωκράτους μαιείαν. Ὥςτε καὶ νῦν σοφοῦ ἐστιν ἔργον ἀπόκρισις, λέγω δὴ τοῦ Σωκράτους. Οὗτος γάρ ἐστιν ὁ τῆς ἀποκρίσεως αἴτιος, καί μοι δοκεῖ καὶ τοῦτο προςῆκον εἶναι τῇ ἐρωτικῇ συνουσίᾳ. Τὸ γὰρ τρόπον τινὰ καὶ τὸν ἐρώμενον ἐν τῷ ἐραστῇ τοῦτο δείκνυσι περιφανῶς· ὡς γὰρ ἐν τῷ Ἀλκιβιάδῃ θεουργούμενος ὁ Σωκράτης, οὕτως αὐτῷ κατευθύνει τὰς ἀποκρίσεις, καὶ ὡς ἐν Σωκράτει γενόμενος ὁ Ἀλκιβιάδης, οὕτως ποιεῖται τὰς ἀποκρίσεις ὀρθάς.

[ξ.] Ταῦτα κοινῇ περὶ τούτων εἰρήσθω. Τῶν δὲ καθ' ἕκαστα ῥημάτων τὸ μὲν δὴ οἵους ἀκούειν εἴθισαι τὸ ἄλογον δηλοῖ τῆς τοιαύτης ἀκροάσεως· τὸ γὰρ ἔθος τοιοῦτον καὶ τὸ ἔξωθεν ἐντιθέμενον· τοῖς γὰρ      ἐθιζόμεθα· τὸ δὲ ἓν μόνον βραχὺ πρὸς τὸ πλῆθος καὶ τὸ μῆκος ἀντιδιῄρηται τῶν ῥητορικῶν λόγων. Τὸ δὲ αὖ ὑπηρετῆσαι δείκνυσιν, ὡς ἡ ἐρώτησις ἐνταῦθα τελείωσίς ἐστιν ἀπὸ τοῦ ἐρωτῶντος προϊοῦσα εἰς τὸν ἀποκρινόμενον· καὶ ὡς ἡ ἐπιστήμη πανταχοῦ τὴν ἡγεμονικὴν ἔλαχεν ἀξίαν καὶ δεσποτικήν, ἡ δὴ ἀτελὴς τῶν ἀνεπιστημόνων ἕξις τὴν ὑπηρετικήν. Καὶ τοῦτό ἐστιν αὐτῆς τὸ ἀγαθὸν τὸ τοιαύτην οὖσαν ὑποτάττεσθαι τῷ κρείττονι καὶ καταδέχεσθαι τὴν ἐκεῖθεν τελείωσιν· καὶ ἀναπέρανται πάλιν ἐν τούτοις ὁ Ἀλκιβιάδης ὁ τοῖς φίλοις πᾶσι τοῖς ἀρίστοις χρώμενος νυνὶ Σωκράτους ὑπηρέτης· ὥςπερ ὁ τῆς κατὰ πάντων ἀνθρώπων ἐφιέμενος εἰς τὴν Σωκράτους δύναμιν ἔχων τὰς τῆς δυ-

— *ἀληθῶς σοφοῦ*] *ὀρθῶς σοφοῦ* A et B. D *ὀρθῶς, σοφόν*. Quae lectiones praestant nostrae. — *τὸ γὰρ τρόπον τινὰ*] Post haec cett. addunt: *καὶ τὸν ἐραστὴν ἐν τῷ ἐρωμένῳ εἶναι*, excepto Cod. E. Sed addenda sane illa. — *θεουργούμενος*] cett. *θεωρούμενος*.

*ταῦτα κοινῇ*] D *καὶ ταῦτα κοινῇ*. — *τὸ μὲν δὴ οἵους*] cett. *τὸ μὲν οἵους δὴ* praeter unum E. — *ἔξωθεν ἐντιθέμενον*] B *ἔξωθεν τιθέμενον*. — *τοῖς γὰρ*] Post haec etiam in codd. A E et D lacuna relicta est; in B nullum lacunae indicium reperitur. An excidit *ῥήμασιν*? — *ἀναπέρανται*] cett. optime *ἀναπέφανται*, sed Cod. E ut noster. — *τοῖς ἀρίστοις*] cett. add. *ὑπερέταις*, excepto E. Sed addendum illud est *ὑπηρέταις*. — *ἀνθρώπων*] cett. add. *δυνάμεως*, neque abesse potest ea vox. — *εἰς τὴν Σωκρ*] B om. *τὴν*. D *εἰς τὴν. οὗ* (sic) *Σωκρ*. Voluit sine dubio *τοῦ*, quod placet. In seqq. *εἰ μὴ — λέγοις*,

*ναστείας* ἐλπίδας. Τὸ δὲ *εἰ μὴ χαλεπόν τι λέγοις τὸ ὑπηρέτημα* μετά τινος εἴρηκεν ὑποτιμήσεως, διά τε τὸ μέγεθος τοῦ ἐπαγγέλματος. Ὑποψίαν γὰρ αὐτῷ παρεῖχε, μὴ δυςαπόδεικτον ᾖ καὶ διὰ τὴν αὐτοῦ δύναμιν· οὐ γὰρ δυνατὸν παντὶ πᾶσαν ὑπηρεσίαν ὑπομένειν, ἀλλ' αἱ μὲν αὐτῷ εἰσι φορηταὶ, αἱ δὲ δυςχερεῖς. Τὸ δὲ *εἰ χαλεπὸν δοκεῖ τὸ ἀποκρίνασθαι* τὴν δευτέραν, ὧν ἐλέγομεν, ὑπόθεσιν ἔχει· πρότερον μὲν γὰρ ᾐτεῖτο περιμεῖναι καὶ ἀκοῦσαι, νῦν δὲ τὸ ἀποκρίνεσθαι. Ἀκούσας μὲν οὖν μόνον ἐθαύμασε τὸν Σωκράτην, ἀποκρινάμενος δὲ καὶ ἑαυτὸν, ὅςτις ἐστὶν, ὄψεται, καὶ ἐκεῖνον· τὸ δὲ *οὐκοῦν ὡς διανοουμένου σου ταῦτ' ἐρῶ* τοῦ Σωκράτους ἐστὶ τὰς ὑποθέσεις τῶν μελλόντων ῥηθήσεσθαι λόγων ἐμπεδουμένων, δεῖ γὰρ ἐξ ἀρχῶν ὁμολογουμένων προϊέναι τὰς ἀποδείξεις· καὶ ἅμα τὸ ἄστατον τῆς τοῦ νεανίσκου συγχωρήσεως εἰς ὅρον ὁ Σωκράτης περιάγει, καὶ τῇ στερήσει συμμιγὲς εἶδος καὶ τὸ ἀόριστον εἰς τὴν περιγεγραμμένην ἀμφισβήτητον γνῶσιν. Λοιπὴ τοίνυν ἡ ἀπόκρισις τοῦ Ἀλκιβιάδου, ἄλλα μὲν πρότερον ὁμολογοῦντος, ἀπηλλαγμένου δὲ οὐδενὶ πάντῃ τῆς κρίσεως· το γὰρ *εἰ βούλει* καὶ τὸ *ἵνα εἰδῶ, ὅ τι ἐρεῖς* ἐναργῶς δείκνυσιν, ὅτι πάλιν ὡς καθ' ὑπόθεσιν ταῦτα διδοὺς ποιεῖται τοὺς λόγους. Καὶ γὰρ ἐφίεται γνῶναι τὰς τοῦ Σωκράτους ἐπαγγελίας, καὶ διὰ τοῦτο οὐ παντελῶς ἔξαρνος γίνεται καὶ αἰσχύνεται καθ' ἑαυτοῦ τηλικοῦτον ὁμολόγημα συγχωρῆσαι.

[ξα.] „Φέρε δή· διανοῇ γὰρ, ὡς ἐγώ φημι, παριέναι συμ-

supra minus bene scriptum est *εἰ μή — λέγῃς*. In Edd. est *λέγεις*. Et praestat Indicativus, quem exhibent Codd. A B D. — *ὑποψίαν γὰρ*] D *ὑπεροψίαν γάρ*. — *δυςαπόδεικτον ᾖ*] D *δυςαπ. ᾖ*. — *δυνατὸν παντὶ*] B *δυνατὸν πάντα*. — *ὑπόθεσιν ἔχει*] A et D *ὑπόθ. εἰςάγει*. Bene. B *ὑπόθ. εἰςάγειν*. — *ἐθαύμασε*] B *ἐθαύμασα*. — *καὶ ἐκεῖνον*] B *καὶ ἐκεῖνος*. — *τὸ δὲ οὐκοῦν*] B *τὸ δὲ οὔ. τὸ δὲ οὐκοῦν*. — *ταῦτ' ἐρῶ*] cett. *ταῦτ' ἐρωτῶ*, sed Cod. E. *ἐρῶ*, illud est in Edd. — Paulo post primo adspectu suspicabar *ἐμπεδουμένου*, quod mox confirmatum vidi Cod. D, qui (nisi quod lacunas complures habet, sed parvas illas, quae ex aliis facile suppleri possunt) ceteris Codd. longe praestat. In eodem Cod. D paulo inferius legitur *ἀναμφισβήτητον*, quod probum videtur. — *ὁμολογουμένων*] D *ἀνομολογουμένων*. — *ἄλλα μὲν*] cett. excepto Cod. E *ἄλλα μὲν οὖν*. — *τῆς κρίσεως*] A et D *τῆς κρύψεως*.

*διανοῇ γάρ*] Astius et Bekkerus ediderunt *διανοεῖ γάρ*. Ille mox

„βουλεύσων Ἀθηναίοις ἐντὸς οὐ πολλοῦ χρόνου.“ (p. 106. c. Bekk. p. 304.)

Ἡ μὲν πρόθεσίς ἐστιν ἁπάντων τῶν προςεχῶς ῥηθησομένων λόγων κάθαρσις τῆς διανοίας ἡμῶν ἀπὸ τῆς διπλῆς ἀγνοίας καὶ ἀφαίρεσις τῶν ἐπιπροςθούντων εἰς τὴν τῆς ἀληθοῦς ἐπιστήμης ἀνάληψιν. Ἀδύνατον γὰρ τὰ ἀτελῆ τῆς ἑαυτῶν τελειότητος τυχεῖν μὴ διὰ τῆς ἑαυτῶν καθάρσεως τῶν ἐμποδίων πρότερον ὁδεύσαντα· τὸ γὰρ καθαίρειν πανταχοῦ ταύτην ἔχει τὴν δύναμιν. Τριττὴ δέ ἐστιν ἡ ἀληθινὴ κάθαρσις τῆς ψυχῆς, ἡ μὲν διὰ τελεστικῆς, περὶ ἧς ὁ ἐν Φαίδρῳ Σωκράτης λέγει, ἡ δὲ διὰ φιλοσοφίας, περὶ ἧς ὁ ἐν Φαίδωνι λέλεκται πολλάκις. Καὶ γὰρ ἡ φρόνησις ἐκεῖ καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν καθαρμός τις ἐπωνόμασται. Ἡ δὲ διὰ τῆς ἐπιστήμης ταύτης τῆς διαλεκτικῆς εἰς ἀντίφασιν περιάγουσα καὶ τὴν ἀνωμαλίαν ἀπελέγχουσα τῶν δογμάτων, καὶ τῆς διπλῆς ἡμᾶς ἀγνοίας ἀπαλλάττουσα. Τριπλῆς τοίνυν τῆς καθάρσεως οὔσης κατὰ τὴν τρίτην ὁ Σωκράτης ἐνταῦθα τὸν Ἀλκιβιάδην μεταχειρίζεται· τοῖς γὰρ κατὰ τὴν τριπλὴν ἀμάθιαν νοοῦσι διὰ ταύτης τῆς καθάρσεως ἡ ὠφέλεια παραγίνεται. Συγκρούουσι γὰρ τοὺς λόγους τοῖς λόγοις, καὶ τὴν σαθρότητα τῶν οἰκείων δι᾽ αὐτῶν, ὧν ἐτίθεντο δογμάτων, καταβάλλουσι. Διὸ καὶ ὁ Σωκράτης οὐδέν πω λέγει τῶν ἀληθῶν, πρὶν ἂν ἀφέλῃ τὰς ἐμποδίους τῇ ψυχῇ δόξας πρὸς τὴν τῆς ἀληθείας κατάληψιν. Τοῦτο δὲ ἅμα μετριοτέρους ἡμᾶς ἀποτελεῖν καὶ κοσμιωτέρους

*ξυμβουλ.* pro *συμβουλ.* Ex hoc loco primum caput dialogi initium ducere annotat Scholiastes Ruhnken. p. 70. — *ἐπιπροςθούντων*] B *ἐπιπροςθέντων.* — *πανταχοῦ*] B add. *δὲ.* — *ὁ ἐν φαίδωνι*] D recte om. *ὁ.* Locus in Phaedro est p. 249. c. 250. c. Bip. T. X. Bekk. I. 1. p. 46. 48. — In Phaedone p. 69. b. c. Bip T. I. Bekk. II, 3. p. 27. Wytt. pag. 21 sq. et annot. pag. 172. Fisch. pag. 288 sq. et passim. cf. etiam Plotin. de pulcrit. p. 55. ibiq. annott. p. 276 et ibid. Praeparat. p. CVII. CXI. — *πολλάκις*] cett. *πολλά.* Bene. — *καὶ γὰρ*] B *γὰρ καί.* — *ἀνωμαλίαν*] A et B *ἀνομαλίαν.* D *ἀνομολογίαν*, quod non pejus est nostro. — *ἀπελέγχουσα*] B *ἐπελέγχουσα.* — *τοῖς γὰρ*] B *τὴν γάρ.* — *κατὰ τὴν τριπλὴν*] D recte *κατὰ τὴν διπλῆν.* Post haec Cod. E *ἀμάθειαν.* Srib. *ἀμαθίαν*, ut est in Codd. D. A et B. Tum ex Cod. D scrib. *νοσοῦσι* pro *νοοῦσι.* — *ἅμα μετριοτέρους*] cett. *ἅμα μὲν μετριωτέρους*, bene; Cod. E *ἅμα μὲν μετριοτέρους.* — *ἡμᾶς ἀποτελεῖν καὶ κοσμιωτέρους*] haec omissa sunt in B. — A et D habent *ἀποτελεῖ* pro *ἀποτελεῖν.* Bene.

καὶ ἧττον εὐηδεῖς καὶ φορτικοὺς διὰ τὴν οἴησιν τοῖς συγγινομένοις, ἅμα δὲ πρὸς ἐπιστήμην ἑτοιμοτέρους. Ἡ γὰρ ἁπλῆ ἄγνοια μεταξύ πώς ἐστι τῆς τε ἐπιστήμης καὶ τῆς διπλῆς ἀμαθίας· Καὶ πρώτη μετάβασις ἀπὸ τῆς ἐπιστήμης εἰς τὴν ἁπλῆν ἄγνοιαν ἐπιτελεῖται καὶ προσεχὴς ἄνοδος ἐκ τῆς ἁπλῆς ἀγνοίας εἰς τὴν ἐπιστήμην. Ἅμα δὲ ἀφίστησιν ἡμᾶς τῆς πρὸς τὰ ἐκτὸς ἀποτεινομένης δόξης, ἐπιστρέφει δὲ τὴν ψυχὴν εἰς ἑαυτὴν, καὶ ποιεῖ αὐτὴν τῶν οἰκείων δογμάτων ἐξεταστὴν καὶ τοῦ ἐμποδίζοντος εἰς τὴν γνῶσιν ἀφαιρετικὴν καὶ τοῦ ἐλλείποντος ἀποπληρωτικήν. Ἔτι δὲ βεβαιότητα καὶ μονιμότητα παρέχει τῇ ὠφελείᾳ τῶν ῥηθησομένων λόγων. Ὡς γὰρ σῶμα ὑπὸ χυμῶν ἀλλοτρίων ἐνοχλούμενον φθείρει πολλάκις τὴν τροφὴν καὶ τὴν ἀπ' αὐτῆς ὠφέλειαν εἰς βλάβην μεθίστησιν, οὕτω δὴ καὶ ψυχὴ διὰ τῆς ψευδοῦς οἰήσεως ἐπιταραττομένη καὶ τὴν τῆς ἐπιστήμης ἐνδιδομένην βοήθειαν οἰκείαν τῇ ἑαυτῆς ἕξει δεχομένη ποιεῖται μείζονος ψευδοδοξίας καὶ ἀπάτης ἀρχήν. Ἡ μὲν οὖν κάθαρσις ἡ προηγουμένη τῶν λόγων πάντων διὰ ταῦτα περιλαμβάνεται, καὶ ἔοικε ταῖς τελετικαῖς καθάρσεσι ταῖς περὶ τῶν ἔργων τῶν ἱερῶν ἀπολυούσαις ἡμᾶς τῶν μιασμάτων πάντων, ἃν ἐκ τῆς γενέσεως ἐπισυρόμεθα, καὶ παρασκευαζούσαις πρὸς τὴν τοῦ θείου μετουσίαν. Γίνεται δὲ αὕτη κατὰ τὴν διαλεκτικὴν μέθοδον εἰς ἀντίφασιν ἡμᾶς περιάγουσαν καὶ τὴν ἀπάτην ἐπισκοποῦσαν τῆς διανοίας ἡμῶν ἐλέγχουσα, καὶ πρόεισι διὰ τῶν γνωριμωτέρων καὶ καθολικῶν ἐκλειμμάτων εἰς ἀναμφισβήτητα συμπεράσματα, τὰς μὲν μείζους τῶν προτάσεων ἐκ τῆς κοινῆς ἐννοίας λαμβάνουσα, τὰς

— *ἧττον εὐηδεῖς*] A E et D *ἧττον ἀηδεῖς*, quod probum est. B *ἧττον ἀήδεις*. — *τῆς τε ἐπιστήμης*] B om. *τε*. — *εἰς τὴν ἁπλῆν*] A *εἰς τὴν ἁπλῆ*. B *εἰς τὴν ἁπλήν*. — *καὶ ποιεῖ αὐτὴν*] haec omissa sunt in D. — *ἔτι δὲ βεβαιότητα κ. κονιμ.*] D *ἔστι δὲ βεβαιότατον καὶ μονιμότατον*. — *οἰκείαν τῇ ἑαυτῆς*] cett. *οἰκείως τῇ ἑαυτ.*, excepto E. — *ταῖς περὶ τῶν ἔργων*] cett. bene *ταῖς πρὸ τῶν ἔργων*, si excipias Cod. E. Quod praecedit vocabulum *τελετικαῖς* addendum diceremus Lexicis, nisi paulo superius legeretur *τελεστικός*, quod hoc quoque loco restituendum videtur. — *ἐπισυρόμεθα*] A *ἐπισυόμεθα*. B *ἐπιδυόμεθα*. — *περιάγουσαν*] cett. bene *περιάγουσα*. Mox Codd. A B et D *ἐπισκοτοῦσαν ταῖς διανοίαις ἡμῶν ἐλ.* Optime. — *γνωριμωτέρων*] B *γνωριμοτέρων* — *ἐκλειμμάτων*] A *κλημμάτων*. B *κλημάτων*. D *λημμάτων*, quod probum est. Vocabulum *ἔκλειμμα* auctoritate videtur destitui.

δὲ ἐλάττους ἐκ τῆς ὁμολογίας τοῦ προςδιαλεγομένου τιθεμένη, συνάπτουσα δὲ ἀλλήλοις τὰ ἄκρα διὰ τῶν μέσων· καὶ ὅσα μὲν ἀπαρνεῖται τῶν μειζόνων ὅρων, ταῦτα καὶ τῶν ἐλασσόνων ἀποφάσκουσα, ὅσα δὲ ἐν τοῖς κατηγορουμένοις ὑπάρχει, ταῦτα παρεῖναι καὶ τοῖς ὑποκειμένοις ἀξιοῦσα.

[ξβ.] Πῶς οὖν ταῦτα πάντα ὁ Σωκράτης ἐν τῇ παρούσῃ τῶν λόγων ἀποδείξει διασώζει τὰ θεωρήματα; πρόκειται μὲν γὰρ δὴ δεικνύναι τὸν Ἀλκιβιάδην οὐδὲν εἰδότα τούτων, ὧν οἴεται εἰδέναι καὶ περὶ ὧν ἐπαγγέλλεται συμβουλεύσειν Ἀθηναίοις. Δείκνυται δὲ πρῶτον, τίνα τῷ ἀγαθῷ συμβούλῳ πρόςεστιν, οἷον, ὅτι πᾶς ἀγαθὸς σύμβουλός ἐστιν ἐπίσταται ταῦτα, περὶ ὧν συμβουλεύει, καὶ μᾶλλον ἐπίσταται τῶν συμβουλευομένων. Οὔτε γὰρ ἧττον ἐπιστάμενος ἀξιώσει σύμβουλος εἶναι τῶν μᾶλλον ἐγνωκότων τὸ συνοῖσον ἑαυτοῖς· μανικὸν γὰρ τὸ τοιοῦτον· οὔτε ὁμοίως ἐπιστάμενος τῶν ὁμοίως εἰδότων, ἐν οἷς ὁμοίως ἴσασιν ἐκεῖνοι, σύμβουλός ἐστιν· περιττὸν γὰρ καὶ μάταιον τὸ ἐγχείρημα. Λείπεται ἄρα, τὸν σύμβουλον μειζόνως γινώσκειν τὸ συνοῖσον τῶν μεθεξόντων αὐτοῦ τῆς γνώμης καὶ ἀπολαυσόντων τῆς συμβουλῆς. Ἀλλὰ πῶς ὁ ἐπιστήμων ὁ τοῦ νοῦ πράγματος ἢ διὰ μαθήσεως ἀνέλαβε τὴν ἐπιστήμην ταύτην ἢ δι' εὑρέσεως· οὐ γὰρ ἄλλη τις ὁδὸς εἰς κτῆσιν ὑπολείπεται φρονήσεως, ἀλλ' ἢ μαθεῖν δεῖ τὸ ἀγνοούμενον, ἢ εὑρεῖν, ἢ πρὸς ἑαυτοὺς ἡμᾶς ἐπιστρέφοντας, καὶ δι' ἑαυτῶν τὸ ἀληθὲς ἀνευρίσκοντας, ἢ παρ' ἄλλων ἀνακινουμένους καὶ βοηθουμένους εἰς τὴν ἐπιστήμης ἀνάληψιν. Ὁ ἄρα ἀγαθὸς σύμβουλος, εἴπερ ἐπιστήμων ἐστὶν ἐν οἷς ἂν οἱ συμβουλευόμενοι ἀνεπιστήμονες, ἢ ἔμαθε ταῦτα, ἢ

— *προςδιαλεγομένου*] B *πρὸς διαλεγ.* — *τιθεμένη*] B *τιθεμένα.* — *τοῖς κατηγορουμένοις*] D *τοῖς κατηγορουμένα.* In cod. A et E abest *ἐν* ante *τοῖς.*

*διασώζει*] cett. *διασώζειν*, excepto Cod. E. — *πρόκειται μὲν γὰρ*] cett. om. *γὰρ*, sed Cod. E illud exhibet. — *πᾶς ἀγαθὸς*] D *πᾶς ὁ ἀγαθὸς.* — *σύμβουλός ἐστιν*] cett. om. *ἐστιν*, sed servat hanc vocem cum nostro Cod. E. Perperam. — *οὔτε γὰρ*] B *αὔτη γὰρ.* — — *γινώσκειν τὸ*] B *γινώσκει τῶν.* — *ἀλλὰ πῶς ὁ ἐπιστ.*] cett. *ἀλλὰ πᾶς ὁ ἐπιστήμων*, bene; sed Cod. E cum nostro facit. — *ὁ τοῦ νοῦ*] A *ὁ τουνοῦν.* B *ὁ τοοῦν.* D *ὁτουοῦν*, sic etiam Cod. E ex correctione; et ita lependum. — *εἰς τὴν ἐπιστήμης*] cett. *εἰς τὴν τῆς ἐπιστήμης*, quod praestat.

ἐπίσταται, ἢ εὗρε. Πολλὰ γὰρ καὶ εὗρον οἱ ἄνθρωποι, ὥςπερ οἱ πρῶτοί τισιν ἐπιβουλεύοντες ἐν τεχνικοῖς τισιν ἔργοις, ἢ ἐν ἐπιστημονικοῖς τισι θεωρήμασιν, οὓς καὶ θαυμάζομεν τῆς ἐπινοίας χάριν καὶ τῶν νοερῶν ἐπιβολῶν. Πολλὰ καὶ διὰ μαθήσεως γινώσκουσιν ἄλλοι παρ' ἄλλων τῶν τελεωτέρων ὠφελούμενοι· καὶ τῶν φύσεων αἱ μὲν ἐῤῥωμενέστεραι δι' ἑαυτῶν θεῶνται τὸ ἀληθὲς καί εἰσιν εὑρετικώτεραι, σωζόμεναι δι' ἑῆς ἀλκῆς, ὥς φησιν τὸ λόγιον, αἱ δὲ ἀσθενέστεραι ἐπιδέονται καὶ διδασκαλίας καὶ τῆς παρ' ἄλλων ἀναμνήσεως τῶν τὸ τέλειον ἐχόντων, ἐν οἷς εἰσιν οἱ ἀτελεῖς. Τούτῳ δὴ τῷ συλλογισμῷ προςθῶμεν ἕτερον τοιοῦτον· πᾶς ὁ μαθὼν ἢ εὑρὼν ἐζήτησε πρότερον ἢ διδασκάλοις ἐχρήσατο· προηγεῖται γὰρ ἀνάγκη τῆς μὲν εὑρέσεως τὴν ζήτησιν, τῆς δὲ μαθήσεως τὴν διδασκαλίαν· ἡ μὲν γὰρ εὕρεσις θήρα τοῦ ζητηθέντος ἐστὶ καὶ ἔντευξις, ἡ δὲ μάθησις μετάληψίς ἐστι τελειότητος ἀπὸ τοῦ διδάσκοντος προερχομένη. Εἰ τοίνυν ὁ ἀγαθὸς σύμβουλος ἢ ἔμαθε ταῦτα, ἐν οἷς ἐστι σύμβουλος, ἢ εὗρε· πᾶς γε μὴν ὁτιοῦν ἢ εὑρὼν ἢ ἐζήτησεν ἢ διδασκάλοις ἐφοίτησεν, ἀνάγκη πάντα τὸν ἀγαθὸν σύμβουλον ἢ διὰ ζητήσεως εἰδέναι ταῦτα, ἐν οἷς ἐστι σύμβουλος, ἢ διὰ τῆς παρ' ἄλλων διδασκαλίας. Τρίτον τοίνυν συλλογισμὸν κατὰ πρόθεσιν ἄλλης προτάσεως ἐννοήσωμεν τὸ τοιοῦτον· πᾶς ὁ ζητήσας ὁτιοῦν ἢ διδασκάλοις περί τι χρησάμενος ἔχει χρόνον εἰπεῖν, ἐν ᾧ ποτε

— οἱ ἄνθρωποι] D om. haec. — οἱ πρῶτοι] B οἱ πρώτως. — πολλὰ καὶ] cett. πολλὰ δὲ καὶ, sed E non agnoscit hoc δέ. — τελεωτέρων] B et D τελειοτέρων. — δι' ἑῆς ἀλκῆς] B δι' ἧς ἀλκῆς. Haec non insunt in λογίοις Zoroastris editis, quae supra saepe laudavimus. — ὥς φησιν] cett. ὥς φησι, bene. — τῶν τὸ τέλειον] D om. τό. — οἱ ἀτελεῖς] cett. om. οἱ. Merito. — προηγεῖται] cett. προηγεῖσθαι. Et ita scribendum, tum vero etiam ex Cod. recipiendum ἀνάγκη. — ζητηθέντος] B ζητήματος et in marg. ζητηθέντος. Ceterum h. l. diserte explicat quod Sophocles, Plato horumque imitatores tralatis locutionibus significant, ubi venatoria vocabula de vero investigando usurpant. Qua de re exposuerunt Wyttenb. in epist. crit. pag. 259. ed. Lips. Heusdius in Specim. crit. in Platon. p. 88. Boissonad. ad Philostrat. Heroica p. 418. Ast. ad Platon. Rempubl. IV. 9. p. 492 et ad libros de Legg. II. 2. p. 97. — πᾶς γε μὴν] cett. addunt ὁ μαθών. Necessario. — ἀνάγκη πάντα] B et D bene add. δήπου. Cett. recte etiam exhibent ἀνάγκη. — τὸ τοιοῦτον] D om. τό. E τόν. Bene; neque tamen omissum articulum desideraremus.

ταῦτα ᾤετο μὴ εἰδέναι· τὸ δὲ αἴτιον, ὅτι καὶ ἐπὶ τὴν ζήτησιν ὁρμῶσιν ἄνθρωποι ταῖς ἑαυτῶν ἀγνοίαις ἐπιστήσαντες καὶ εἰς διδασκάλων θύρας φοιτῶσιν ἑαυτοῖς ἀρκέσειν εἰς τὴν τῆς ἀγνοίας ἀπαλλαγὴν μὴ πιστεύσαντες· ἔστιν οὖν τις χρόνος καὶ πρὸ τῆς ζητήσεως καὶ πρὸ τῆς διδασκαλίας, ἐν ᾧ ᾤοντο μὴ εἰδέναι ταῦτα, ἅπερ ἐζήτησάν τε καὶ ἔμαθον· εἰ οὖν ὁ ἀγαθὸς σύμβουλος, ἢ ζητήσας ἢ διδαχθεὶς, ἔγνω ταῦτα, περὶ ἃ σύμβουλός ἐστιν, ὁ δὲ ζητήσας ἢ διδαχθεὶς, ἦν χρόνος, ὅτε οὐκ ᾤετο εἰδέναι ταῦτα, περὶ ἅ ἐστιν ἀγαθὸς σύμβουλος. Τρεῖς μὲν οὗτοι συλλογισμοὶ διὰ τῶν ἐλαχίστων καὶ συνεχῶν ληφθέντες προτάσεων. Εἰ δὲ δεῖ καὶ ἕνα ποιεῖν σύνθετον ἁπάντων τῶν λημμάτων, ἐφεξῆς αὐτὸν οὑτωσὶ κατὰ τὸ συνθετικὸν λεγόμενον σχῆμα προάγωμεν συγκείμενον ἐκ πρώτων πρώτοις ἐπιβαλόντων· πάντες γάρ εἰσιν ἐν πρώτῳ σχήματι. Λεγέσθω δὴ οὖν οὑτωσὶ κατὰ τὸ ἑξῆς. Πᾶς ὁ ἀγαθὸς σύμβουλος οἶδε, περὶ ὧν συμβουλεύει· πᾶς ὁ εἰδὼς, περὶ ὧν συμβουλεύει, ἢ μαθὼν ἢ εὑρὼν οἶδε· πᾶς ὁ μαθὼν ἢ εὑρὼν ἢ διδασκάλοις προςῆλθεν ἢ ἐζήτησεν αὐτός· πᾶς ὁ διδασκάλοις προςελθὼν ἢ ζητήσας αὐτὸς ἔχοι ἂν εἰπεῖν τινα χρόνον, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι, περὶ ὧν συμβουλεύει. Τούτῳ δὴ τῷ συλλογισμῷ συμπλέκειν δεῖ τὰς ἐλάττους προτάσεις καὶ ἑκάστῳ ἰδίᾳ τῶν ἁπλῶν καὶ κοινῇ πᾶσιν, οἷον, ἀλλὰ μὴν Ἀλκιβιάδης, οὐκ ἔχει χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι· οὐκ ἄρα ἀγαθὸς σύμβουλός ἐστιν.

— ᾤετο] B ὡς τὸ. — ἐζήτησάν τε] B ζητησάντες. — ἔγνω ταῦτα] D οἶδε ταῦτα. — ὅτε οὐκ ᾤετο εἰδέναι ταῦτα] Post haec cett. excepto E addunt: λείπεται δήπου τὸν ἀγαθὸν σύμβουλον ἔχειν τινὰ χρόνον, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι ταῦτα. Neque vero hoc supplemento carere potest syllogismus. Mox cett. omnes post τρεῖς μὲν addunt οὖν. Bene. — καὶ συνεχῶν] B καὶ συνεχῶς. — εἰ δὲ δεῖ] B εἰ δὲ δὴ (εἶ superscr.) (sic). — κατὰ τὸ συνθετικὸν] B κατὰ τὸν τὸ συνθ. — ἐπιβαλόντων] cett. ἐπιβαλλόντων, excepto Cod. E. — ἐν πρώτῳ σχήματι] B et D ἐν τῷ πρ. σχ. — κατὰ τὸ ἑξῆς] B κατὰ τὸ ἐφ ἑξῆς. — ἔχοι ἂν] B ἔχει ἄν. — συμβουλεύει] B σύμβουλος et in marg. γρ. συμβουλεύει. — ἰδίᾳ τῶν ἁπλῶν] B ἴδια τ. ἁπλ. — In marg. Codicis Leidens. leguntur haec: οὔτε ἐζήτησεν, οὔτε ἐδιδάχθη· οὐκ ἄρα ἀγαθός ἐστι σύμβουλος, καὶ ποῖον τὸν ὁμοῖον τῆς συμπλοκῆς τρόπον· καὶ πάλιν· ἀλλὰ μὴν Ἀλκιβιάδης, quae cett. codd. deinceps post οἷον, ἀλλὰ μὴν Ἀλκιβιάδης habent; sed pro καὶ ποῖον A et B καὶ ποιεῖ, et D καὶ ποιεῖς. Sed E ut Cod. Leid. hunc locum exhibet, nisi quod in contextu

[ξγ.] Ἡμεῖς μὲν καθ' ἕκαστον συλλογισμὸν τὴν ἐλάσσονα προλαβόντες τὸ αὐτὸ συνεπεραινάμεθα· ὁ δὲ Σωκράτης τῷ μεγίστῳ τῶν ὅρων· [εἰδὼς τυγχάνεις· πῶς γὰρ οὔ; p. 181.] Post haec verba cett. codd. multa addunt, omissa in codice Leidensi, quae exscribimus ex cod. D, varietate lectionis cod. A et B adnotata. Eadem omissa erant in Cod. E, sed alia manus duobus foliis insertis ea addidit, haec annotans: In commentario Procli Philosophi in Alcibiadem priorem Platonis sequentia haec inseranda pag. 56. post signum ♀. Quod signum positum est post συνεπεραινάμεθα. Habuit haec omnia etiam Ficinus, cujus versio h. l. pergit p. 228. *μεγίστῳ τῶν ὅρων* τὸ ἀποφατικὸν προςλαβὼν ἀνεῖλε πάντας τοὺς ἐλάττονας ὅρους. Εἰ γὰρ μὴ ἔχει χρόνον εἰπεῖν Ἀλκιβιάδης, ἐν ᾧ οὐκ ᾤετο εἰδέναι ταῦτα, περὶ ὧν συμβουλεύει, οὔτ' ἐζήτησεν οὔτε διδασκάλοις προςῆλθεν· εἰ δὲ μήτε ἐζήτησεν μήτε διδασκάλοις τισὶν ὡμίλησεν, οὔτε ἔμαθεν οὔτε εὗρεν· εἰ δὲ μήτε ἔμαθεν μήτε εὗρεν, οὐκ οἶδεν· εἰ δὲ μὴ οἶδεν, οὐκ ἔστιν ἀγαθὸς σύμβουλος, ἐν οἷς οὐκ ἔχει χρόνον εἰπεῖν, ὅτε οὐκ ᾤετο εἰδέναι. Καὶ ὁρᾷς, ὅπως, εἰ ταύτῃ προάγοιτο ὁ λόγος, τοτὲ μὲν ὁδεύομεν κατὰ σύνθεσιν, τοτὲ δὲ κατὰ ἀνάλυσιν, τὰ μὲν καταφατικὰ λέγοντες συνθετικῶς, τὰ δὲ ἀποφατικὰ ἀναλυτικῶς· ταῦτα δέ, ἡ σύνθεσις καὶ ἡ ἀνάλυσις, προςήκει πάντως τῇ φύσει τῆς ψυχῆς, κατιούσῃ μὲν ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἀτελέστερα διὰ συνθέσεως λόγων καὶ προσθέσεώς τινων ἀλλοτρίων χιτώνων, ἕως ἂν τὸν τοῦτον καὶ ἀντίτυπον περιτυχήσηται δεσμόν· ἀνιούσῃ δὲ δι' ἀναλύσεως καὶ ἀφαιρέ-

Cod. E leguntur, quae noster habet in margine. Ceterum in Cod. E est ποιεῖ — ὅμοιον. Sed placet ceterorum librorum lectio. — ἐν ᾧ οὐκ ᾤετο] B om. οὐκ.

ὁ δὲ Σωκράτης] Post haec cett. addunt ἑνὶ μόνῳ. Excepto Cod. E. — προςλαβὼν] A προλαβών. B περιλαβών. — ἔχει χρόνον] B ἔχει χρόνων. — μήτε ἐζήτησεν] A μήτ' ἐζήτησεν. scr. ἐζήτησε. — οὔτε ἔμαθεν οὔτε] A utrobique οὔτ'. — μήτε ἔμαθεν μήτε] A utrobique μήτ'. scr. ἔμαθε. — τοτὲ μὲν .... τοτὲ δὲ] A E et B ποτὲ μὲν .... ποτὲ δέ. — κατιούσῃ] E κατιούσης. D κατιου.... — τὸν τοῦτον] A B D et E τὸν παχὺν τοῦτον. Quod legit etiam Fic. Mox ἀνιούσης pro ἀνιούσῃ. Legendum videtur ἀνιούσῃ et paulo superius κατιούσῃ, ut referatur ad φύσει, quem sensum expressit etiam Fic.

σεως τῶν μηδὲν αὐτῇ προςηκόντων, ἕως γυμνῆτις γενομένη κατὰ τὸ λόγιον αὐτοῖς συναφθῇ τοῖς ἀΰλοις εἴδεσιν καὶ χωριστοῖς. Διὰ δὴ ταῦτα καὶ ὁ μὲν διὰ τῶν καταφράσεων συλλογισμὸς ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἀτελέστερα πρόεισιν, ὁ δὲ διὰ τῶν ἀποφάσεων ἀνάπαλιν. Τὸ γὰρ ἀγαθὸν εἶναι σύμβουλον τῆς γνώσεως τῆς ἐν αὐτῷ μόνης τελειότερόν ἐστι· τὸ μὲν γὰρ νοῦ μέθεξιν ἐμποιεῖ οἷον ἡ γνῶσις, τὸ δὲ καὶ τῆς πρωτίστης ἀρχῆς ἡ ἀγαθότης, καὶ αὖ πάλιν τὸ εἰδέναι τοῦ μαθεῖν καὶ εὑρεῖν ὑπάρχει δήπου σεμνότερον· ἐκεῖνο μὲν γὰρ ὡς τέλος πρόκειται, ἡ εἴδησις. Μάθεσις δὲ καὶ εὕρεσις ὁδοί τινές εἰσιν ἐπὶ τὴν γνῶσιν· αἱ δὲ ὁδοὶ πάντως ἀτελεῖς εἰσιν, ὡς ἔτι μετέχουσαι τῆς ἐναντίας τῷ τέλει στερήσεως. Καὶ δὴ καὶ τὸ μαθεῖν τοῦτο καὶ τὸ εὑρεῖν ζητήσεώς ἐστι καὶ διδαχῆς κάλλιον· ἐκεῖνα γὰρ τούτων ἕνεκα, ταῦτα δὲ, εἰ καὶ πρὸς τὴν εἴδησιν κινήσεις εἰσὶν, ἀλλ' ἐκείνῳ τέλη τινά ἐστιν· ἔτι δὲ αὖ τὸ ζητῆσαι καὶ τὸ διδαχθῆναι τῆς ἀγνοίας ὑπερέχει κατὰ τὴν ἀξίαν. Τὰ μὲν γὰρ ἀρχαὶ τῆς γνώσεώς εἰσιν· ἡ δὲ ἄγνοια τοὐναντίον ἀπόπτωσίς ἐστι τῆς γνώσεως· εἰ τοίνυν ταῦτα ὀρθῶς εἴπομεν, ὁ καταφατικὸς συλλογισμὸς ἀπὸ τοῦ τελειοτέρου πρόεισιν ἐπὶ τὸ ἀτελέστερον, διὸ καθόδῳ ἔοικεν· ὁ δὲ ἀποφατικὸς ἀνόδῳ, χωρῶν ἐπὶ τὰ τελειότερα· καὶ αὖ πάλιν, ὁ μὲν οὐκ ἀναιρῶν τὰ βελτίονα τῇ κατὰ φύσιν τῶν πραγμάτων ὑποστάσει· ὁ δὲ ἀπὸ τῶν ἐλασσόνων ἀνατρέπων τὰ μείζονα, τῇ παρὰ φύσιν διαθέσει. Τοῦ δὲ κατ' ἀμφότερα τῇ κατὰ τὸ εἶδος τῆς πλοκῆς καὶ κατὰ τὰ πράγματα προςήκει τοῖς ἡμετέ-

— *ἕως γυμνῆτις*] A E et B bene *ἕως ἂν γυμνῆτις*. Cod. E mox *εἴδεσι*, recte. — *διὰ τῶν καταφάσεων*] B et E *διὰ τῶν κατὰ φάσεων*, sed in Cod. E conjunctim scribitur *καταφάσεων*. Bene. Post *ἀνάπαλιν* Fic. omisit duas paginas. — *μόνης τελειότερόν ἐστι*] A et B *μόνης τελειότερόν ἐστιν*. — *μέθεξιν ἐμποιεῖ*] B et E *μέθεξιν ἐμποιεῖν*. — *οἷον ἡ γνῶσις*] A B et E *μόνον ἡ γνῶσις*. — *μάθεσις δὲ*] A E et B *μάθησις δὲ* et ita scrib. Mox Cod. E *ζητήσεώς ἐστι καὶ διαδοχῆς κάλλος*. in margine: *ἴσως· διδαχῆς τέλος*. Optime. Paulo inferius idem *κινήσεις εἴ τισιν*, et in margine: *ἐστὶν ἢ εἰσίν*. Tum *τῆς γνώσεώς εἰσιν* pro *εἰσι*, recte. — *αἱ δὲ ὁδοὶ πάντως*] A et B om. *δὲ*. — *ἀλλ' ἐκείνῳ τέλη*] A E et B *ἀλλ' ἐκείνων τέλη*. Bene. — *ὀρθῶς εἴπομεν*] B *ὀρθῶς εἴπωμεν*. — *τῶν πραγμάτων ὑποστάσει*] A B et D *ὑποστάσει τῶν πραγμ.* — *τοῦ δὲ κατ' ἀμφότερα*] A E et B *τῇ δὲ κατ' ἀμφότερα*. — *τῆς πλοκῆς*] B et D *πλοκῇ* omisso *τῆς*.

ροις παθήμασι. Ταῦτα μὲν δὴ περὶ τῶν συλλογισμῶν προειρήσθω. Λοιπὸν δὲ αὐτὴν ἐκθέμενοι τὴν λέξιν τὰ πράγματα θεωρήσομεν.

[ξδ.] „Φέρε δὴ, διανοῇ γὰρ, ὡς ἐγώ φημι, παριέναι συμ„βουλεύσων Ἀθηναίοις ἐντὸς οὐ πολλοῦ χρόνου· εἰ οὖν „μέλλοντός σου ἰέναι ἐπὶ τὸ βῆμα λαβόμενος ἐροίμην· „ἐπειδὴ περὶ τίνος Ἀθηναῖοι διανοοῦνται βουλεύεσθαι, „ἀνίστασαι συμβουλεύσων; ἆρα ἐπειδὴ περὶ ὧν σὺ ἐπί„στασαι βέλτιον ἢ οὗτοι; τί ἂν ἀποκρίναιο. — εἴποιμ' „ἂν δήπου, περὶ ὧν οἶδα βέλτιον ἢ οὗτοι· — περὶ ὧν „ἄρ' εἰδὼς τυγχάνεις, ἀγαθὸς σύμβουλος εἶ. — πῶς γὰρ „οὔ;" (p. 106. c. d. Bekk. p. 305.)

Τὸ ἀγαθὸν ἄνωθεν, ἅτε ὑπέκεινα τῆς νοερᾶς φύσεως ἱδρυμένον, εἰ θέμις εἰπεῖν, ἄχρι τῶν ἐσχάτων πρόεισι καὶ πάντα καταλάμπει, καὶ πάντα σώζει, καὶ κοσμεῖ, καὶ ἐπιστρέφει πρὸς ἑαυτὸ, καὶ πρώτως μὲν τοῖς ὄντως οὖσι πάρεστι, δευτέρως δὲ ταῖς θείαις, κατὰ δὲ τρίτην ἀπόστασιν τοῖς κρείττοσι γένεσιν· μετὰ δὲ ταῦτα ταῖς ἡμετέραις ψυχαῖς, καὶ δὴ ζώοις, καὶ φυτοῖς, καὶ σώμασι, καὶ αὐτῇ τῇ ὑποστάθμῃ τῶν ὄντων ἁπάντων τῇ ἀμόρφῳ ὕλῃ. Μᾶλλον δὲ ἐκεῖνο μὲν κρυφίως καὶ ἀῤῥήτως προστάξεως ἁπάσης ἐλλάμπει πᾶσι τὴν οἰκείαν δόσιν. Ταῦτα μετέχει κατὰ τὴν αὐτῶν τάξιν ἄλλα ἄλλως, καὶ ὡς ἕκαστα πέφυκε, τοῦ ἀγαθοῦ, τὰ μὲν ἁδρότερον, τὰ δὲ ἐναργέστερον, καὶ τὰ μὲν ἐννοειδεστέρως, τὰ δὲ μεμερισμένως μᾶλλον, καὶ τὰ

*ἐντὸς οὐ πολλοῦ χρόνου*] A et B *ἐντὸς οὐ πολλοῦ χρόνου κτλ.* omissis ceteris usque ad *πῶς γὰρ οὔ;* Cod E post *ἐροίμην* addit: *ὦ Ἀλκιβιάδη*, ut est in Edd. Mox exhibet *περί τινος*, tum *ἀποκρίναιτο* pro *ἀποκρίναιο*. Perperam. Paulo superius in Edd. est *ἄρ' ἐπειδή*. Circa finem loci Platonici iterum edidit Astius *σύμβουλός εἰ* pro *σύμβουλος εἶ*. De qua re supra monuimus. Codd. A B et D exhibent *εἶ*, Cod. E accuratius *εἶ*. — *ὑπέκεινα*] cett. *ἐπέκεινα*, excepto Cod. E. Sed hoc probum est. — *καταλάμπει*] B *καταλάμποι*. — *ταῖς θείαις*] cett. add. *ψυχαῖς*, quod legit item Fic. — *μετὰ δὲ ταῦτα*] B *κατὰ δὲ ταῦτα*. — *καὶ σώμασι*] cett. cum Ficino *καὶ σώμασιν ἅπασιν*, excepto E, ubi est *σώμασιν καί*. Tum ex Cod. D cum Ficino scrib. *αὐτῇ* pro *αὐτῇ*. — *προστάξεως*] A *πρὸς τάξεως*, B et D *προτάξεως*. Legit Fic. *πρὸ τάξεως*, quod placet, et exhibet idem Cod. E. — *τὰ μὲν ἁδρότερον*] D *τὰ μὴν ἀμυδρότερον*. Ficinus vertens: *haec quidem debilius, efficacius illa*, legit procul dubio *τὰ μὲν ἀμυδρότερον, τὰ δὲ ἐνεργέστερον*, in quo nos adsentientes habet. — *ἐννοειδεστέρως*] A E et D *ἑνοειδεστέρως*. Bene. B *ἑνοειδῆ στεῤῥῶς*.

μὲν ἀϊδίως μᾶλλον, τὰ δὲ κατὰ μεταβολήν. Τὰ μὲν δὴ θειότερα τῶν πραγμάτων ὥςπερ ἀμέριστον ἔχει τὴν οὐσίαν, οὕτω δὴ καὶ τὸ ἀγαθὸν ἡνωμένον ἔχει καὶ τὸ ἀδιαίρετον. Τὰ δὲποῤῥώτερον προεληλυθότα τῶν ἀρχῶν, ἐν διαστάσει καὶ μερισμῷ θεωρούμενα, ἔλαχε τὸ ἑαυτοῦ ἀγαθόν. Ὅθεν δὴ τὰ τοιαῦτα καὶ τῆς εἰς αὐτὸ δεῖται συνόδου καὶ τῆς πρὸς ἄλληλα συμπνοίας, ἵνα, ἐπείπερ ἕκαστον οὐκ ἔχει τὸ αὔταρκες, ὃ δὴ τοῦ ἀγαθοῦ στοιχεῖόν ἐστι, διὰ τῆς πρὸς ἄλληλα κοινωνίας καὶ συντάξεως τὸ ἐλλεῖπον ἀναπληρώσει τῇ φύσει, καὶ τὴν διὰ τὸν μερισμὸν ἀσθένειαν καὶ ἔλλειψιν διὰ τὴν σύμπνοιαν αὖθις παραμυθήσεται, καὶ πρὸς τὸ δυνατὸν καὶ τέλειον ἐπανακαλέσεται. Διὰ δὴ τὸν συλλογισμὸν τόνδε καὶ ἄνθρωποι καθ' ἑαυτοὺς ὄντες ἀσθενεῖς συνέρχονται καὶ κοινῇ περὶ τῶν συμφερόντων αὐτοῖς βουλεύονται, τὸν διῃρημένον ἀθροίζοντες νοῦν, καὶ οἷον ἐκ σπινθήρων πολλῶν ἓν φῶς ἀνάψαι σπεύδοντες, καὶ το μερισθὲν περὶ ἕκαστον ἀγαθὸν εἰς τὴν κοινὴν εὐπραγίαν συνεισφέροντες. Καὶ τοῦτο αἴτιον τοῦ καὶ βουλευτήριά κοινά τινα μεμηχανῆσθαι ταῖς πόλεσιν· ἐπειδὴ δὲ ἄλλος κατ' ἄλλον τρόπον τοῦ ἀγαθοῦ μετέχει, καὶ ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον, καὶ νοῦν κριτὴν τῶν ἀγαθῶν ὁ μὲν τελειώτερον, ὁ δὲ ἀτελέστερον ἔλαχε. Νοῦς γάρ ἐστιν ὁ τὸ ἀγαθὸν δυνάμενος θεωρεῖν. Φύεταί τις ἐν τοῖς πολλοῖς ἐξῃρημένην ἔχων διάνοιαν τοῦ πλήθους τοῦ τε ἀγαθοῦ μειζόνως μετέχων, καὶ τοῦ νοῦ τὴν ἑαυτοῦ ψυχὴν πληρώσας, ὃς δὴ καὶ σύμβουλος ἀξιοῖ τῶν πολλῶν εἶναι, τὸ διεσπαρμένον ἀγαθὸν ἐν αὐτοῖς

— ἀϊδίως] B ἀδεῶς. — καὶ τὸ ἀδιαίρετον] cett. om. τὸ. Bene. — προεληλυθότα] D προςεληλυθότα. — τὸ ἑαυτοῦ ἀγαθὸν] B et D τὸ ἑαυτῶν ἀγαθόν. — εἰς αὐτὸ δεῖται] cett. bene εἰς ταὐτὸ δεῖται, sed E ut noster. Illud Fic. legit. — ἀναπληρώσει] D ἀναπληρώσῃ (sic). Legendum sane ἀναπληρώσῃ, praecedente ἵνα, et mox cum Codd. E A et B παραμυθήσηται et ἐπανακαλέσηται, ut legit etiam Fic. — — αὐτοῖς βουλεύονται] D αὐτοῖς συμβουλεύονται. Non male. — ἓν φῶς] B ἐς φῶς. — μερισθὲν περὶ ἕκαστον] B περὶ ἕκαστον μερισθέν. Inde ab hoc loco usque ad verba αὐτάρκειαν ἀνακαλούμενος omnia omisit Fic. — τοῦτο αἴτιον τοῦ] B τοῦτο τὸ αἴτιον τούτου. — κοινά τινα] cett. τινὰ κοινά. — κατ' ἄλλον τρόπον] D κατ' ἄλλο μέτρον. — τοῦ πλήθους τοῦ τε] D τοῦ πλ. καὶ τοῦ τε. — ἐν αὐτοῖς συνάγων] D ἐν ἑαυτοῖς συνάγ.

συνάγων καὶ τὸν μερισμὸν εἰς κοινωνίαν συνάγων, καὶ τὸ ἐνδεὲς εἰς αὐτάρκειαν ἀνακαλούμενος. Καὶ πῶς γὰρ ἄν ποτε τοῦ πλήθους αὐτὸ καθ' ἑαυτὸ τύχῃ τοῦ κοινοῦ συμφέροντος μὴ περὶ ἕν τι τὸ κρατιστεῦον ἐν ἑαυτῷ συναπτόμενον; Τοῦτο γὰρ δὴ κατὰ πᾶσαν ἐστὶ τάξιν τῶν ὄντων θεωρεῖν, πλῆθος πανταχοῦ συμφυόμενον τῷ ἑνὶ καὶ διὰ τοῦ ὁμοφυοῦς ἑνὸς ἐπὶ τὴν ἐξῃρημένην ἕνωσιν ἀνατεινόμενον. Οὕτω δὴ οὖν καὶ τὸ τῶν βουλευομένων πλῆθος τὸ ἀγαθὸν σπεῦδον ἑλεῖν διὰ μέσου τοῦ συμβούλου τυγχάνει τοῦ τέλους. Τὸ γὰρ συντεταγμένον αὐτοῖς ἓν ὁ σύμβουλός ἐστιν, ὁ καὶ τὴν ἐπωνυμίαν ταύτην λαχὼν, ὡς τοῦ συμπεράσματος καὶ τῆς ἑνώσεως αἴτιος ὢν τοῖς βουλευομένοις. Καὶ γὰρ, ὥςπερ ἅπασι τοῖς οὖσιν ἀπὸ μιᾶς ἀρχῆς ἐφήκει καὶ ἡ ἕνωσις καὶ τὸ ἀγαθὸν, οὕτω δὴ καὶ ἐν τοῖς ἀνθρώποις ὁ αὐτὸς κοινωνίαν τε τοῦ νοῦ καὶ μετάδοσιν προτείνει τῶν ἀγαθῶν. Καὶ ὥςπερ τὸ πρῶτον τῶν ἀγαθῶν νοῦ γεννητικόν ἐστιν, οὕτω δὴ καὶ ὁ σύμβουλος φρονήσεώς ἐστι τοῖς βουλευομένοις χορηγός. Εἰκότως ἄρα καὶ ἡ παλαιὰ φήμη τὴν συμβουλὴν ἱερὸν χρῆμα προσείρηκεν· ἔνθεον γάρ ἐστι καὶ τοῦ ἀγαθοῦ στοχάζεται, καὶ ἀνάλογον ἐκείνῳ κοσμεῖ τὰ καταδεέστερα. Διὸ καὶ ὅσοι τὸ συμβουλευτικὸν εἶδος τοῦ ἐπιδεικτικοῦ καὶ τοῦ δικανικοῦ διαιροῦσι τῷ ἀγαθῷ, πάνυ

— εἰς κοινωνίαν συνάγων] cett. εἰς κοιν. συνάπτων, sed Cod. E ut Leid. Nihil certius scriptione συνάπτων, quod et rei aptum est, et requiritur, ne bis idem vocabulum interjectis paucis verbis recurrat. — ποτε τοῦ πλήθους] cett. ποτε τὸ πλῆθος, sed E nonnisi ex correctione, fuit enim ut in Cod. Leid. — περὶ ἕν τι] B περιϊέντι. — θεωρεῖν πλῆθος] D θεωρεῖν τὸ πλῆθος, non male. — ἀνατεινόμενον] D ἀνατεινομένην. male. Desinit h. l. Ficini versio, neque pergit nisi tribus foliis interjectis. — σπεῦδον ἑλεῖν] B σπεύδειν ἑλεῖν. — συμπεράσματος] D συμπίστ..... (sq. lac.) — καὶ ἐν τοῖς ἀνθρώποις] D om. ἐν. — κοινωνίαν] B κοινωνοί. Proxime: τὴν συμβουλὴν ἱερὸν χρῆμα. Plato in Theage p. 122. II. 3. p. 261 Bekker: Ἀλλὰ μὲν δὴ — καὶ λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι Idem epistol. V. p. 321 c. Steph. Vol. XI p. 87 Bip. — καὶ ἱερὰν συμβουλὴν λεγομένην. Ex Epicharmo laudat Zenobius in Proverbiis IV. 40 p. 93 Schotti. Nec minus Suidas habet in ἱερόν Vol. II. p. 101 Kuster. Etiam Xenophon attingere videtur nonnullis idem adagium Anabas. IV. 6. 4 cf. Interprr. et Erasmum in Adagg. p. 128. — τε τοῦ νοῦ] D τοῦ τε νοῦ. — τοῦ ἐπιδεικτικοῦ] B et D τοῦ τε ἐπιδεικτ. A τοῦτ' ἐπιδεικτικοῦ. Tu vid. Aristotelis Rhetor. I. 3 et 4. pag. 13—17 Sylb. cf. J. Chr. Th. Ernesti Lexicon Technol. Graecorr. rhetor. p. 326.

μοι δοκοῦσι τῆς ἀληθείας τυγχάνειν. Τὸ μὲν γὰρ συμβουλευτικὸν τέλος ἔχει τὸ ἀγαθὸν, τὸ δὲ ἐπιδεικτικὸν εἰς τὸ καλὸν βλέπει· τὸ δ᾽ αὖ δικανικὸν τοῦ δικαίου στοχάζεται. Τὸ μὲν ἄρα δικανικὸν ψυχῆς ἐξήρτηται, παρ᾽ ᾗ τὸ δίκαιον καὶ αἱ ἀναλογίαι πᾶσαι καὶ ἡ διαίρεσις ἡ κατ᾽ οὐσίαν· τὸ δὲ ἐπιδεικτικὸν τοῦ νοῦ, παρ᾽ ᾧ τὸ ἀληθινὸν κάλλος διαλάμπει· τὸ δὲ συμβουλευτικὸν τοῦ ἀγαθοῦ· τὸ γὰρ συμφέρον δήπου καὶ αὐτὸ τῆς τοῦ ἀγαθοῦ μοίρας ἐστί. Τέλος μὲν οὖν καὶ τοῖς συμβουλευομένοις ἐστὶ καὶ τῷ συμβούλῳ τὸ ἀγαθόν· συμπεπλήρωται δὲ ἐκ πάντων ὁ σύμβουλος τῶν στοιχείων τῆς τοῦ ἀγαθοῦ μεταδόσεως. Δεῖ γὰρ αὐτὸν καὶ προαίρεσιν ἔχειν ἀγαθοειδεστάτην καὶ ἐπιστήμην τελεωτάτην καὶ δύναμιν νεανικωτάτην, ἵνα καὶ πρὸς τὸ οἰκεῖον τέλος ἀποτείνηται, καὶ τυγχάνει τοῦ τέλους διὰ τῆς ἐπιστήμης, καὶ τὴν ἑαυτοῦ γνῶσιν ἐμφαίνει τοῖς χρωμένοις· καὶ διὰ μὲν τῆς ἀγαθοειδοῦς προαιρέσεως ὁμοιοῦσθαι τῷ θείῳ, διὰ δὲ τῆς ἐπιστήμης τῷ νοερῷ, διὰ δὲ τῆς δυνάμεως ταῖς ψυχαῖς. Ἀγαθότης μὲν γὰρ ὡς θεοῖς πρώτως, γνῶσις δὲ ἐν τῇ νοερᾷ φύσει, δύναμις δὲ λογικὴ πάντως ἐν ψυχαῖς· ἔκγονος γὰρ ψυχῆς ὁ λόγος καὶ ἡ διαλεκτικὴ πᾶσα δύναμις. Τῶν τοίνυν τριῶν τούτων, ὧν ἀνάγκη τὸν σύμβουλον ἔχειν ἕν, ὁ Σωκράτης ἐν τοῖς παροῦσιν ἐκλέγεται τὴν ἐπιστήμην καὶ κατὰ τοῦτο δείκνυσιν οὐκ ὄντα τὸν Ἀλκιβιάδην σύμβουλον ἀγαθὸν, ὡς ἐπιστήμης ἀπολειπόμενον, δέον τὸν σύμβουλον ἐπιστήμονα περὶ τούτων εἶναι, περὶ ὧν ἐστι σύμβουλος, καὶ οὐχ ἁπλῶς γνῶσιν ἔχειν τοῦ συμφέροντος, ἀλλὰ μείζονα καὶ τελειοτέραν τῶν μεταληψομένων τῆς συμβουλῆς· καὶ στοιχεῖον ἓν τούτου περὶ τοῦ συμβούλου

— καλὸν βλέπει] B καλὸν βλέπειν. — τὸ δ᾽ αὖ δικανικὸν] B et D τὸ δὲ αὖ δικανικόν. — ἐκ πάντων ὁ σύμβουλος] D om. ὁ. — καὶ τυγχάνει] A καὶ τυγχάνῃ, ita etiam Cod. D ex corr. Et requiritur sane conjunctivus. — ἐμφαίνει] A E et B ἐμφαίνῃ. Necessario. Et hoc loco in Cod. D correctum est ἐμφαίνῃ. — ὡς θεοῖς πρώτως] cett. recte ἐν θεοῖς πρώτως, sed E ὡς θ. πρ. uti assolet in vitiis concinere cum Leid. — νοερᾷ φύσει] B νοερᾷ φύσεως. — δύναμις δὲ λογικὴ] B δυνάμει δὲ λογικὴ et in marg. γρ. δύναμις. A et D δύναμις δὲ λογική. — πάντως ἐν ψυχαῖς] B πάντων ἐν ψ. — ὧν ἀνάγκη] B ὧν ἀνάγκαι. — ὁ Σωκρ.] B om. ὁ. — Ἀλκιβιάδην σύμβουλον] A Ἀλκ. σύμβολον. — περὶ τούτων εἶναι] D εἶναι περὶ τούτων. — ἓν τούτου] cett. excepto E: ἐν τούτῳ; bene.

προλαμβάνει τὴν εἴδησιν, ἵνα, εἰ μὲν ὁ νεανίσκος δειχθείη ταύτην ἔχων τὴν εἴδησιν, ἀγαθὸς ἀποφανθῇ σύμβουλος τῆς γε ἐπιστήμης ἕνεκα, ταύτης δὲ διαμαρτάνων παντελῶς στερῆται καὶ τῆς κατὰ σύμβουλον ὑπεροχῆς. Τούτοις δὲ ἕπεται δήπου τὸ δεῖν ἐπιστήμῃ τὰ μέλλοντα κρίνεσθαι, καὶ τὸ ἕκαστον ἐν τούτοις ἀγαθὸν εἶναι, περὶ ἃ καὶ φρόνιμός ἐστι, καὶ ἐν τούτοις κακὸν, περὶ ἃ τὴν ἐναντίαν ἀφροσύνην ἔχει. Μὴ δὴ λεγέτω τις· οὐκ ὀρθῶς ταῦτα ὁ Σωκράτης διορίζεται· μὴ δεῖν γὰρ μόνον ἐπιστήμης τοῖς συμβούλοις, ἀλλὰ καὶ τῶν παθῶν συμμετρίας· μὴ δ', ὅτι αἱ ἀρεταὶ οὐκ εἰσιν ἐπιστῆμαι μόνον ὡς δεόμεναι καὶ τῆς ὁμολογίας τῶν ἀλόγων δυνάμεων. Καὶ γὰρ αἱ ἀρεταὶ πᾶσαι τῆς φρονήσεως ὡς ἡγεμονευούσης ἐξήρτηνται, καὶ περὶ ταύτην ὑφεστήκασι, καὶ ἀπὸ ταύτης ὥρμηνται, καὶ ἔτι τὸ διαγινώσκειν τά τε ἀγαθὰ καὶ τὰ κακὰ μόνης ἐστὶ τῆς φρονήσεως ἔργον, ὡς αὐτὸς ἔν τε Χαρμίδι καὶ ἐν Μέμνωνι δείκνυσιν. Εἰ τοίνυν ὁ σύμβουλος τῶν ἀγαθῶν ἐστι καὶ τῶν κακῶν καὶ τῶν συμφερόντων καὶ βλαβερῶν ἐξεταστὴς, καὶ εἰκότως εἰς φρόνησιν ἀνήνεγκε τὴν σύμπασαν αὐτοῦ παρασκευήν. Ταῦτα περὶ τῶν πραγμάτων. Ἄξιον δὲ θαυμάσαι καὶ τὴν μεταχείρησιν τῶν λόγων, ὅσον μὲν ἔχει τὸ ἐναργὲς, ὅσον δὲ τὸ πληκτικόν. Τὸ μὲν γὰρ, ὡς ἐγώ φημι, τὴν τοῦ νεανίσκου κρύψιν καὶ τὴν ἀοριστίαν εἰς τὸν οἰκεῖον ὅρον ἐπανάγει, μονονουχὶ λέγων ἐμφανῶς, ὅτι τοῖς σοφοῖς ἡ τῶν πολλῶν ἕξις γνώριμός ἐστι, καὶ οὐδὲν αὐτοὺς διαλανθάνει τῶν χειρόνων, ὁποῖόν ποτ' ἐστί· τὸ δὲ ἐντὸς οὐ πολλοῦ χρόνου

— *προλαμβάνει*] B *παραλαμβάνει.* — *ὁ νεανίσκος*] E *καὶ ὁ νεανίσκος.* — *δὲ διαμαρτάνων*] B *δι' ἁμαρτάνων* omisso *δὲ.* — *στερῆται*] A et B *στερῆσαι.* D *στερεῖται.* — *μὴ δὴ λεγέτω τις*] B et D *μὴ δὲ λεγέτω τις.* — *οὐκ ὀρθῶς*] B add. *δὲ.* — *μὴ δεῖν γὰρ*] A *δεῖν γὰρ* omisso *μή.* B *δεῖ γὰρ μή.* D *δεῖν γὰρ μή.* In Cod. E est *δεῖν γὰρ μόνον* et in marg. *μὴ ἴσ.*, ut ponatur *μὴ* post *γάρ.* Bene. Neque displicet *δεῖ.* — *ἐπιστῆμαι μόνον*] B *ἐπιστῆμόνον.* — *ἡγεμονευούσης*] cett. *ἡγεμονούσης*, sed E ut noster. — *διαγινώσκειν*] D *διαγινώσκει.* — *ἔν τε Χαρμίδι*] A et D *ἔν τε Χαρμίδῃ.* Bene. B *οὔτε Χαρμίδῃ.* cf. Plat. Charm. pag. 160. Bip. T. V. Bekk. I, 1. pag. 317. — *ἐν Μέμνωνι*] A et D *ἐν Μένωνι.* Recte. Vid. Plat. Menon. p. 77. c. d. e. Bip. T. IV. Bekk. II, 1. p. 340. — *τῶν συμφερόντων*] B *τῶν συμφρόνων.* — *καὶ εἰκότως*] D om. *καί.* — *ἀνήνεγκε*] D *ἀνένεγκε.* — *πληκτικὸν*] cett. bene add. *ὅσον δὲ τὸ ἐπιστημονικὸν*, excepto Cod. E. — *τὸ δὲ ἐντὸς*] B *τὸν δὲ ἐντός.*

πληκτικόν ἐστιν· εἰ γὰρ οὔπω γεγωνὸς εἴκοσιν ἔτη τοῖς κοινοῖς ἐπιπηδᾷ, πῶς οὐκ ἔμπληκτον ποιεῖται τὴν ὁρμήν; τὸ δὲ ὥςπερ ἐν σκηνῇ τὴν ἐκκλησίαν αὐτῷ τὸν δῆμον ἐπ' ὀφθαλμοῖς ἀναγαγεῖν, καὶ αὐτὸ τὸ βῆμα, καὶ τὸν μὲν σπεύδοντα τὴν τοῦ συμβούλου χώραν καταλαβεῖν, τὸν δὲ λαμβανόμενον αὐτοῦ καὶ οἷον χαλινὸν ἐπάγοντα τῇ ὁρμῇ τὸν λόγον, πολλὴν παρέχεται τὴν ἐνέργειαν, ἅμα δὲ κἀκεῖνον ποιεῖ δῆλον, ὡς οὐδὲν ἀνεξετάστως προςήκει πράττειν, οὐδὲ πρὸ τοῦ τὴν ἑαυτοῦ γνῶσιν ἀνακρίναι πρὸς τὴν τῶν ἄλλων ᾄττειν ἐπανόρθωσιν. Λόγος οὖν ἡγεμὼν ἔστω τῶν πράξεων, καὶ τὴν μὲν φιλότιμον ἕξιν σωφρονεστέραν ποιείτω, τὴν δὲ ἀνυπεύθειον ὁρμὴν εἰς βάσιν ἀγέτω καὶ κρίσιν, καὶ χαίρειν εἰπόντες τῷ βήματι καὶ τῷ δήμῳ, τὸν ἐν ἡμῖν δῆμον καταστησώμεθα, καὶ τὸν θόρυβον τῶν παθῶν ἐκκόψαντες ἀκούσωμεν τῶν τοῦ νοῦ συμβόλων. Αὐτὸς γάρ ἐστιν ὁ τῶν ψυχῶν σύμβουλος ἀληθὴς καὶ πρὸς τοῦτον ἐπιστρέψαντες τὸ ἀγαθὸν ἀνερευνήσωμεν. Διὰ γὰρ νοῦ καὶ αἱ ψυχαὶ θεῶνται τὸ ἀγαθόν, ἡ δὲ ἀγνοίας μέν, ἀναπεπλησμένη δὲ ὑπὸ τῶν παθῶν ἕξις, οὔτε ἐν αὐτῇ τὸ ἀγαθόν, οὔτε τοῖς ἄλλοις πορίσαι δύναται.

[ξε.] „Οὐκοῦν ταῦτα μόνον οἶσθα, ἃ παρ' ἄλλων ἔμαθες,

— οὔπω γεγωνὸς] A et B οὕτω γεγονώς. D οὔπω γεγονώς. Bene. — Proxime ἔμπληκτον Platonicum est. Vid. Lysid. p. 214. p. 129 Bekk. μηδέ ποθ' ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀσταθμήτους, ubi cf. Heindorf. p. 31. Nostro loco est: *temerarium, stolidum*. Vid. Hesych. et Suid. in voce. Adde Zonar. Lex. Gr. p. 698 ubi explicatur, μαινόμενον, μανιῶδες. Junge illis Corayi Annot. ad Plutarch. Artax. cap. 28. p. 451. — ἐπ' ὀφθαλμοῖς] D ὑπ' ὀφθαλμοῖς. — ἀναγαγεῖν] cett. ἀγαγεῖν, praeter E, ubi est ut in Cod. Leid. — τὴν τοῦ συμβούλου] B τὴν τοῦ συμβόλου. — χαλινὸν] B χαλκὸν. — τὸν λόγον] D τὸν λογισμὸν. Mox E παρείχεται. — ἅμα δὲ] B ὅμασι δὲ. — κἀκεῖνον] cett. κἀκεῖνο. Bene. — γνῶσιν ἀνακρίναι] A et B recte γνῶσιν ἀνακρῖναι. D γνῶσιν διακρῖναι. — ᾄττειν] B ἅπτειν. — ποιείτω] B ποιεῖται. — ἀνυπεύθειον] cett. ἀνυπεύθυνον. Bene. — εἰς βάσιν] cett. εἰς βάσανον et ita scribendum. — ἐν ἡμῖν δῆμον] D ἐν ἡμῖν δῆλον. — τοῦ νοῦ συμβόλων] B τοῦ νοῦ συμβουλων (sic). D τοῦ νοῦ συμβούλων. Bene quidem; sed malim συμβουλῶν. — σύμβουλος ἀληθὴς] B συμβούλων ἀληθὴς. D σύμβουλος ἀγαθός. — ἀγνοίας] B ἄγνοια. — ἀναπεπλησμένη] B ἀναπεπλασμένη. D addit ταραττομένη, neque hoc commode abesse posse videtur, scribendum potius ἡ δὲ ἀγνοίας μὲν ἀναπεπλησμένη, ταραττομένη δὲ κτλ. — ἐν αὐτῇ] D ἑαυτῇ, quod placet. — πορίσαι] cett. πορίζειν.
ἃ παρ' ἄλλων] B ἅπερ ἄλλων.

„ἢ αὐτὸς ἐξεῦρες; — ποῖα γὰρ ἄλλα; — ἔστιν οὖν ὅπως „ἄν ποτε ἔμαθές τι ἢ ἐξεῦρες, μήτε μανθάνειν ἐθέλων „μήτε αὐτὸς ζητεῖν; — οὐκ ἔστιν. — τί δαί; ἠθέλησας „ἂν ζητῆσαι ἢ μαθεῖν, ἃ ἐπίστασθαι ᾤου; — οὐ δῆ- „τα. — ἆρα, ἃ νῦν τυγχάνεις ἐπιστάμενος, ἦν χρόνος, „ὅτε οὐχ ἡγοῦ εἰδέναι;" (p. 106. d. e. Bekk. p. 305.)

*Δύο* ταύτας ὁδοὺς ὁ Πλάτων ἁπάσης τίθεται γνώσεως, μάθησιν καὶ εὕρεσιν, προσηκούσας ταῖς ἡμετέραις ψυχαῖς. Οὔτε γὰρ τὰ κρείττονα γένη τῆς ἡμετέρας ψυχῆς διὰ μαθήσεως ἢ εὑρέσεως τυγχάνει τῆς ἑαυτῶν τελειότητος· ἀεὶ γὰρ σύνεστι τοῖς ἑαυτῶν γνωστοῖς, καὶ οὐδέποτε ἀφίσταται αὐτῶν, οὐδὲ ἐνδεῆ γίγνεται τῆς οἰκείας γνώσεως· οὔτε καταδεέστερα καὶ ἄλογα καλούμενα μανθάνειν πέφυκε μάθημα διανοητικὸν, ἢ παρ' ἑαυτῶν ἀνευρίσκειν τι τῶν ὄντων. Οὐδὲ γὰρ ὁρᾷ τι τῶν ἀληθῶν, ἀλλ' ἡ ἀνθρωπίνη ψυχὴ πάντας μὲν ἐν ἑαυτῇ τοὺς λόγους ἔχουσα, πάσας δὲ προλαβούσας τὰς ἐπιστήμας, ἐπιπροσθουμένη δὲ ἐκ τῆς γενέσεως περὶ τὴν θεωρίαν, ὧν ἔχει, καὶ τῆς μαθήσεως δεῖται καὶ τῆς εὑρέσεως, ἵνα διὰ μὲν τῆς μαθήσεως ἀνακινήσῃ τὰς ἑαυτῆς νοήσεις, διὰ δὲ τῆς εὑρέσεως ἑαυτὴν εὕρῃ καὶ τὸ πλήρωμα τῶν ἐν αὐτῇ λόγων. Καὶ ἔστι ταῦτα τὰ δῶρα θεῶν εὐεργετούντων αὐτὴν πεσοῦσαν, καὶ ἐπανακαλουμένων εἰς τὴν νοερὰν ζωήν· ἄμφω μὲν γὰρ ἐκ τῆς Ἑρμαϊκῆς ἥκοντα τάξεως, ἀλλ' ὁ μὲν καθόσον ἐστὶν ὁ θεὸς οὗτος Μαίας, τῆς Ἄτλαντος, υἱὸς, ἡ δὲ καθόσον ἐστὶν ἄγγελος τοῦ Διός. Ἐκφαίνων μὲν γὰρ τὴν πατρικὴν ἐνδίδωσι

— ἢ αὐτὸς] D ἢ καὶ αὐτὸς. — ἔμαθές τι] A et B ἔμαθές τι κτλ. omiss. seqq. usque ad ἡγοῦ εἰδέναι. — τί δαί;] D τί δὲ, ut est in Edd. — ᾤου] D ὧν. Mox in Edd. scribitur ἆρ', ἅ. Bekk. vero edidit ἃ ἆρα. — τίθεται γνώσεως ..... ταῖς ἡμετέραις] haec omissa sunt in B. — ψυχαῖς] B ψυχῆς. — Mox pro οὐδὲ ἐνδεῆ legendum videtur οὔτε ἐνδ. — οὔτε καταδεέστερα] B et D melius: οὔτε τὰ καταδεέστερα, E voculam τὰ in margine additam habet ab alia manu. Paulo inferius in eodem fuit προλαβούσας, quod alia manus correxit in προλαβοῦσα. Bene. — ἑαυτὴν εὕρῃ] A et B ἑαυτὴν εὕροι. — ἀλλ' ὁ μὲν] D ἀλλ' ἡ μὲν, quod probum est. Hoc enim et quod sequitur ἡ δὲ referuntur ad μάθησιν et εὕρεσιν. — τὴν πατρικὴν] cett. add. βούλησιν, sed E nonnisi in margine ab alia manu. Necessario vero addendum est βούλησιν. — Pergit h. l. Ficini versio p. 230, qui item in libris suis habuit βούλησιν. — ἐνδίδωσι] B δίδωσι.

ταῖς ψυχαῖς· ἐκ δὲ τῆς Μαίας προϊὼν, παρ' ᾗ κρυφίως ἡ ζήτησις, τὴν εὕρεσιν δωρεῖται τοῖς ἑαυτοῦ τροφίμοις. Ἀλλ' ὅταν μὲν ἡ μάθησις ἄνωθεν ἀπὸ τῶν κρειττόνων εἰς τὰς ψυχὰς περιέρχεται, τῆς εὑρέσεώς ἐστι κρείττων· ὅταν δὲ ἀπὸ τῶν συστοίχων, οἷον ἀνθρώπων ἀνακινούντων ἡ μὲν γνωστικὴ δύναμις, καταδεεστέρα ὑπάρχει τῆς εὑρέσεως· μέση τοίνυν ἡ εὕρεσίς ἐστι τῷ αὐτοκινήτῳ προσήκουσα τῆς ψυχῆς. Τὸ γὰρ αὐτόζων ἡμῶν καὶ τὸ αὐτενέργητον δι' αὐτῆς μάλιστα γίνεται καταφανές. Ἡ δὲ μάθησις ἐφ' ἑκάτερα, κατὰ μὲν τὸ κρεῖττον πληροῦσα τὴν ψυχὴν ἀπὸ τῶν θειοτέρων αὐτῆς αἰτίων, κατὰ δὲ τὸ χεῖρον ἀπὸ τῶν ἔξω τῆς οὐσίας ἡμῶν ἀνακινοῦσα τὴν ζωτικὴν δύναμιν ἑτεροκινήτως. Ὅτι δὲ καὶ παρὰ τῶν κρειττόνων ἐγγίνεταί τις ἡμῖν γνῶσις τῶν πραγμάτων, αἱ τῶν θεῶν αὐτοψυχίαι καὶ ὑφηνήσεις ἱκανῶς δηλοῦσιν, ἐκφαίνουσαι μὲν τὴν τάξιν τῶν ὅλων ταῖς ψυχαῖς, προκαθηγούμεναι δὲ τῆς πρὸς τὸ νοητὸν πορίας καὶ τοὺς πυρσοὺς ἀνάπτουσαι τοὺς ἀναγωγούς.

[ξς.] Ταῦτα μὲν οὖν περί τε μαθήσεως καὶ εὑρέσεως ἔχομεν λέγειν. Αἱ δὲ ζητήσεις καὶ αἱ διδασκαλίαι προηγουμένην ἔχουσιν ἐξ ἀνάγκης τὴν ἁπλῆν ἄγνοιαν. Οὔτε γὰρ οἱ ἐπιστήμονες ἔτι ζητοῦσι τὸ ἀληθὲς, ἤδη τῆς γνώσεως ὅρον κατὰ τὴν ἐπιστήμην εἰληφότες, οὔτε οἱ τὴν διπλῆν ἔχοντες ἄγνοιαν.

— *τῆς Μαίας*] B *τῆς Μαιείας*. — *περιέρχεται*] cett. *προέρχεται*, excepto Cod. E. Lege *προέρχηται*. — *ἡ μὲν γνωστικὴ δύναμις*] A et B *ἡμῶν τὴν τὴν γνωστικὴν δύναμιν*. D *ἡμῶν τὴν γνωστικὴν δύναμιν*. Bene; et ita quoque legit Fic. — *καταδεεστέρα*] B *καταδεεστέρως*. D *καταδεέστερ*... (sq. lac.) — *καὶ τὸ αὐτενέργητον*] B *κατὰ ταυτοενέργητον*. D *καὶ αὐτοενέργητον*. Vocabulum *αὐτόζως* non est in Schneideri Lexico. — *δι' αὐτῆς μάλιστα*] D *δι' αὐτῶν μάλιστα*. — *ἑτεροκινήτως*] B *ἑτεροκινήσεως*. — *ἡμῖν γνῶσις*] A et B *ἡμῶν γνῶσις*. — *αὐτοψυχίαι*] D *αὐτοψίαι*, quod E etiam habet in margine, ut var. lect. — *ὑφηνήσεις*] B et D *ὑφηγήσεις*, ita etiam Cod. E, sed ex correctione, fuit enim *ὑφηνήσεις*. Neque quidquam certius est lectionibus *αὐτοψίαι* et *ὑφηγήσεις*, quas agnoscit etiam Ficini versio, ubi est *manifesta deorum praesentia* et *expositio*. — *νοητὸν πορίας*] D bene *νοητὸν πορείας*.

*περί τε μαθήσεως*] B *περὶ τῆς μαθ*. Inde ab h. l. Ficinus omisit dimidiam pagellam. — *ἔχομεν λέγειν*] A E et D *εἴχομεν λέγ*. Bene. — *αἱ δὲ ζητήσεις*] B et D *αἱ δὲ δὴ ζητ*. Non displicet.

Αὐτὸ γάρ τοῦτό ἐστιν ἡ διπλῆ ἀμάθια, τὸ μὴ ὂν καλὸν μήτε ἀγαθὸν μήτε φρόνιμον οἴεσθαι ἱκανὸν εἶναι, φησὶν ὁ τῆς Διοτίμας λόγος. Τὸ δὲ αἴτιον, ὅτι κατελθοῦσαι εἰς γένεσιν αἱ ψυχαὶ πλήρης κατ' οὐσίαν τῶν ἐπιστημῶν ὑπάρχουσαι, τὴν ἐκ τῆς γενέσεως λήθην εἰςδέχονται, καὶ τὸ μὴ ἔχειν τοὺς λόγους τῶν πραγμάτων οἷον σφύζοντας, ἐννοίας ἔχουσι περὶ αὐτῶν, τῷ δὲ τῆς λήθης πόματι κρατούμεναι διαρθροῦν τὰς ἑαυτῶν ἀδυνατοῦσιν ἐννοίας καὶ εἰς ἐπιστήμην ἀναπέμπειν. Οἷον οὖν ἀνεψυγμένας αὐτὰς περιφέρουσι καὶ μόλις ἀναπνεούσας, καὶ διὰ τοῦτο ἡττῶνται τὴν διπλῆν ἄγνοιαν, οἰόμεναι μὲν εἰδέναι διὰ ταύτας τὰς ἐννοίας, ἀγνοοῦσαι δὲ διὰ τὴν λήθην· καὶ ἡ ἀπάτη καὶ ἡ δόκησις τῆς γνώσεως ἐντεῦθεν. Ὁ μὲν τοίνυν ἀμαθαίνων διπλῆ πόῤῥω τῆς τῶν πραγμάτων ἐστὶ ζητήσεως, ὥςπερ ὁ ἐπιστήμων. Οὔτε γὰρ σοφοῦ τὸ φιλοσοφεῖν, οὔτε τοῦ τὴν διπλῆν ἄγνοιαν νοσοῦντος, ἀλλὰ δῆλον, ὅτι τοῦ κατὰ τὴν ἁπλῆν ἑστῶτος. Ἔοικε γὰρ ὁ διπλῆ ἀμαθαίνων κατὰ τοῦτο τῷ σοφῷ, ὥςπερ ἡ ὕλη τῷ θεῷ κατὰ τὴν ἀνόμοιον ὁμοιότητα, φησί τις ὀρθῶς. Ὡς γὰρ ἡ ὕλη ἀνείδεος, καὶ ὁ θεός· καὶ δὴ καὶ ἄπειρον ἑκάτερον καὶ ἄγνωστον, εἰ καὶ πάντα, ὁ μὲν κατὰ τὸ κρεῖττον, ἡ δὲ κατὰ τὸ χεῖρον· Οὕτω

*διπλῆ ἀμάθια*] B *διπλῆ ἀμαθεία*. Scribendum ut supra diximus, aut *ἀμαθία* aut *ἀμάθεια*. Sed illud usitatum. — *τὸ μὴ ὂν*] cett. *τὸ μὴ ὄντα*, praeter Cod. E. Sed ceterorum librorum lectio unice vera est, et ita etiam Plato Sympos. XXIII, 10. ed. Wolf. — p. 204. a. Bip. T. X. Bekk. II, 2. p. 430. — *μήτε φρόνιμον*] cett. *μὴ δὲ φρόνιμον*, E vero *μηδὲ*, correctum ex *μήτε*. In Edd. est *μηδέ*. — *ψυχαὶ πλήρης*] cett. *ψυχαὶ πλήρεις*, bene. Proxime repone *τῷ μὴ ἔχειν* ex cod. D. — *σφύζοντας*] B *σφύζονται*. — *διαρθροῦν τὰς*] B *διαρθροῦντας*. — *ἀναπέμπειν*] D *ἀναπέμπτειν*; mox cett. omnes *ἀπεψυγμένας*, neque aliter legendum. cf. Odyss Ω. 348 ibiq. Eustath. et Schweighaeus. Indic. ad Epictet. p. 262 Est *exanimatas*. — *ἡττῶνται*] D et B *κτῶνται*. Paulo post Cod. E. *τὰς ἐννοίας ταύτας*. Pergit h. l. Fic. pag. 231. — *ὥςπερ ὁ*] A et D *ὥςπερ καὶ ὁ*. B *ὥςπερ καὶ* (omisso *ὁ*). Non displicet additum *καί*. — *τοῦ τὴν διπλῆν*] A *τὸ τὴν διπλὴν*. B *τὸ τὴν διπλὴν*. — *τοῦ κατὰ τὴν*] B *τοῦ κατ' αὐτὴν*. D *τοῦ κατὰ ...'ν* (sic). — *ἑστῶτος*] A et D bene *ἑστῶτος*. B *ἑστῶτες*. — *κατὰ τὴν ἀνόμοιον*] B *καὶ τὰ τὴν ἀν...* — *εἰ καὶ πάντα .... κρεῖττον*] haec omissa in B. Fic. ita vertit, ut aliter eum in libris suis scripta reperisse appareat: *Tametsi haec omnia deo quidem secundum melius conveniunt: secundum vero deterius, materiae competunt.* Quae sequuntur omisit Ficinus, neque pergit nisi una pagina interjecta.

τοίνυν καὶ ὁ ἐπιστήμων καὶ ὁ διπλῆ ἀμαθαίνων οὐδενός εἰσι ζητηταί, ἀλλ' ὁ μὲν τῷ σοφὸς εἶναι καὶ οἷον πόρος, ὁ δὲ τῷ μὴ ἀρχὰς τοῦ ζητεῖν εἰληφέναι διὰ τὸ ψεῦδος τὸ περὶ αὐτόν. Ὁ δέ γε τὴν ἁπλῆν ἄγνοιαν ἔχων μέσος πώς ἐστι τοῦ τε ἐπιστήμονος καὶ τοῦ διπλασιάσαντος ἐν αὐτῷ τὴν ἀπάτην. Τῷ μὲν γὰρ ὅλως ἑαυτὸν εἰδέναι καὶ πρὸς ἑαυτὸν ἐπιστρέφειν κρεῖττόν ἐστι τοῦ παντελῶς ἀγνοοῦντος ἑαυτόν· τὸ δὲ εἰς ἑαυτὸν ἀποβλέποντα μὴ γνῶσιν ὁρᾷν, ἀλλὰ ἄγνοιαν καταδεέστερός ἐστι τοῦ ἐπιστήμονος. Τῶν γὰρ τριῶν τούτων ὁ μὲν ἀνεπίστροφός ἐστι πάντη πρὸς ἑαυτόν, ὁ δὲ καὶ ἐπιστρέφεται, καὶ ἐπιστραφεὶς ἀρετὰς ἔνδον εὑρήσει καὶ ἐπιστήμας, οἷον ἀγάλματα θεῖα προλάμποντα· ὁ δὲ ἐπιστρέφεται μέν, ὁρᾷ δὲ ἀμαθίαν ἔνδον καὶ ἀνεπιστημοσύνην, καὶ οὕτως εἰς ἀρχὴν καθίστεται μαθήσεώς τε καὶ εὑρέσεως, ἢ ζητῶν ἑαυτὸν καὶ τὸν ἑαυτοῦ πλοῦτον, ὃν ἔχων οὐκ οἶδεν, ἢ διδασκάλοις προςιὼν καὶ παρ' ἐκείνων ποδηγούμενος. Ὡς δ' ἁπλῶς εἰπεῖν, ἡ ψυχὴ κατὰ μὲν τὴν ἐπιστήμην ὁμοιοῦται νῷ, κατ' ἐνέργειαν περιλαμβάνουσα τὸ γνωστόν, ὥςπερ ὁ νοῦς τὸ νοητόν· κατὰ δὲ τὴν διπλῆν ἀμάθιαν ὁμοιοῦται τῇ ὕλῃ. Ὡς γὰρ ἐκείνη πάντα καὶ δόκησιν ἔχει ψιλήν, κατ' ἀλήθειαν δὲ οὐδέν, καὶ

— τῷ σοφὸς εἶναι] B τῷ σοφαὶ εἶναι. In voce *πόρος* haesitavit librarius codicis D; quod puncta subscripta arguunt. Non erat, quod haesitaret. Etenim paulo supra Diotimae sententias attigerat Proclus. Nec minus *στερήσεως* mentionem fecerat; cujus item ex eadem Diotimae oratione mentionem repetiit in Theolog. Platon. cap. 28. p. 68 sq. Quid quaeris? Nostro loco *sapiens*, *ὁ σοφός*, comparatur cum *Poro* Convivii Platonici cap. 29 p. 203. pag. 429 Bekk. Attende illud *καὶ οἷον*. Videlicet et Platonicis philosophis haud pauci *Πόρον* illum accipiebant tamquam *rationem*. Vide modo Plotinum p. 298. B. *ἡ μὲν γὰρ Ἀφροδίτη ψυχὴ ἦν ἡμῖν· λόγος δὲ ἐλέγετο τῶν πάντων ὁ Πόρος* et ibid. F. *Ὁ οὖν Πόρος λόγος ὢν τῶν ἐν τῷ νοητῷ καὶ νῷ.* Nolo interpretationes aliorum apponere, qui plurimi eam fabulam similiter explicarunt. Hoc unum adjiciam, in Proclo legendum esse *καὶ οἷον Πόρος*, cui opponitur *Πενία* i. e. *ἡ στέρησις*. — *μὴ ἀρχὰς*] cett. bene *μηδὲ ἀρχάς*, excepto E. — *ἐν αὐτῷ τὴν ἀπάτην*] D bene *ἐν ἑαυτῷ τ. ἀπ.* — *ἀλλὰ ἄγνοιαν*] A *ἀλλ' ἄγνοιαν*. Paulo superius pro *τὸ δὲ εἰς* in Cod. E est *τῷ δὲ εἰς*. Potius supra item legendum *τὸ μὲν γάρ*. — *εὑρήσει*] cett. melius *εὑρίσκει*, praeter Cod. E. — *ἐπιστρέφεται μὲν*] D om. *μέν*. — *καθίστεται*] cett. *καθίσταται*, ut scribi debuit. — *ὡς δ' ἁπλῶς*] A *οὐδ' ἁπλῶς*. Pergit Fic. p. 232. — *κατὰ μὲν τὴν ἐπιστήμην*] D om. *μέν*. — *τὸ γνωστὸν*] B *τὸν γνωστόν*. — *κατὰ δὲ τὴν διπλῆν .... ἐκείνη πάντα*] haec omissa sunt in B. — *καὶ δόκησιν*] cett. *κατὰ δόκησιν*, sed E nonnisi ex correctione, fuit enim

οἴεται μὲν κεκοσμεῖσθαι, τῆς δὲ ἀκοσμίας οὐκ ἀπήλλακται· οὕτω δὴ καὶ ὁ τὴν διπλῆν ἔχων ἄγνοιαν οἴεται γινώσκειν, ἃ μὴ γινώσκει, καὶ δόκησιν περιφέρει σοφίας, ὧν ἐστιν ἀμαθής. Ταῦτα περὶ τούτων. Εἰπόντος δὲ Σωκράτους, ὅτι, ἃ νῦν τυγχάνομεν εἰδότες, ἦν χρόνος, ὅτε οὐκ ᾠόμεθα εἰδέναι, μάχεσθαι τὸν λόγον τοῦτον οἴονταί τινες τοῖς ἐν τῷ Φαίδωνι γεγραμμένοις, ἐν οἷς περὶ τοῦ τὰς μαθήσεις ἀναμνήσεις εἶναι διαλεγόμενος ἐπιδείκνυσιν, ὅτι καὶ τοῦ ἴσου καὶ τοῦ δικαίου καὶ τοῦ καλοῦ καὶ ἑκάστου τῶν εἰδῶν τὴν γνῶσιν ἔχοντες οὐκ ἂν ἔχοιμεν χρόνον εἰπεῖν, ἐν ᾧ ταύτην εἰλήφαμεν. Ῥητέον δὲ πρὸς τὴν ἔνστασιν, ὅτι διττή ἐστι τῶν ψυχῶν ἡμῶν ἡ γνῶσις, ἡ μὲν ἀδιάρθρωτος καὶ κατ' ἔννοιαν ψιλήν, ἡ δὲ διηρθρωμένη καὶ ἐπιστημονικὴ καὶ ἀναμφισβήτητος. Κινδυ-

καί. Et nihil certius lectione κατά. — κεκοσμεῖσθαι] cett. κεκοσμῆσθαι, excepto uno E, qui male, ut noster, exhibet vocem nihili. — δὲ ἀκοσμίας] B δὲ/τε (sic) ἀκακίας. Voluit fortasse: τῆς δὲ κάκης (sive κακίας) καὶ ἀκοσμίας. Etenim et materiae (τῇ ὕλῃ) et animae imbecillae proprie tribuitur ἡ κακία sive ἡ κάκη. Vide, ne plura, Plotinum p. 80 G. et p. 719. — ὧν ἐστιν ἀμαθής] B ὧν ἐστιν ὁ ἀμαθής. Desunt apud Fic. aliquot lineae usque ad εἰλήφαμεν. — ἃ νῦν τυγχάνομεν] B ἂν νῦν τυγχ. — τοῦτον οἴονταί τινες] A οἴονται τοῦτόν τινες. B οἴονται τοῦτό τινες. D τοῦτόν τινες οἴονται. — καὶ τοῦ δικαίου] D om. τοῦ. Locus Platonis est in Phaedone p. 73 sqq. Bip. T. I. Bekk. II, 3. p. 35 sqq. — p. 27 sqq. ed. Wytt. et annott. p. 184. — Fisch. p. 304 sqq. — De illo Platonis placito plura contuli ad Plotin. de pulcr. p. 166 sq. p. 405. — πρὸς τὴν ἔνστασιν] *ad dubitationem* sive *objectionem* quam vulgo dicunt. Aristotel. Rhetor. III. 17. 22: ἐνστάσει λῦσαι τὰς πίστεις. Idem ibid. II. 25 et 26 luculenter definit ἔνστασιν. Reliquos vocis per philosophorum scripta admodum frequentatae significatus explicuerunt Hemsterhus. ad Thom. Mag. p. 313—315 Bernard. Upton. ad Epicteti dissert. III. 14. 7—8 p. 681 Schwgh. Heynius ad Enchirid. cap. 23. p. 66 sq. Irmisch. ad Herodian. VIII. 3. 17. p. 968. Adde ad nostri loci sententiam Ernesti Lex. Technol. Graec. Rhet. p. 111. — ἐστι τῶν ψυχῶν ἡμῶν] D τῶν ψυχῶν ἐστιν omisso ἡμῶν. — καὶ κατ' ἔννοιαν] D om. καί. — διηρθρωμένη] D διηῤῥωμένη. — Κινδυνεύομεν — ὡς αὐτὸς — φησὶν — ὕπαρ ἀγνοεῖν. Tangit Platonis locum in Politico p. 277. p. 290 Bekker: Κινδυνεύει γὰρ ἡμῶν ἕκαστος οἷον ὄναρ εἰδὼς ἅπαντα πάντ' αὖ πάλιν ὥςπερ ὕπαρ ἀγνοεῖν ubi ex Stobaei Eclogg. II. 157 (p. 12 Heer.) ἕκαστα pro ἅπαντα malebat Valckenaer. ad Ammon. pag. 217. Alia omnia Heeren l. l. p. 13, quem tamen Valckenarii disputatio fugit. Tu legito eam, etiam ad nostri loci intelligentiam. Locos Platonis consimiles indicavit Astius ad de Legg. VII. 8. pag. 356. Locum in Cratylo p. 148 b. p. 338 Heindf. ante oculos habuit Arnobius adv. Gent. I. p. 55. Orell. Eadem similitudine delectatur Plotinus. Vid. Enn. II. 5. 3. III. 6. 6. et quae plura laudavi in *Studiis* nostris I. p. 83.

νεύομεν γάρ, ὥς αὐτός πού φησιν, ὄναρ πάντα ἐγνωκότες, τά αὐτά ταῦτα ὕπαρ ἀγνοεῖν, κατ' οὐσίαν μὲν ἔχοντες τοὺς λόγους καὶ οἷον ἀποπνέοντες τὰς τούτων γνώσεις, κατ' ἐνέργειαν δὲ καὶ κατὰ προβολὴν οὐκ ἔχοντες. Τῆς μὲν οὖν καθ' ὕπαρξιν ἐν ἡμῖν ἑστώσης τῶν εἰδῶν ἐννοίας χρόνος οὐκ ἔστι προηγούμενος· ἐξ ἀϊδίου γὰρ αὐτὴν εἰλήφαμεν· τῆς δὲ κατὰ προβολὴν καὶ διάρθρωσιν τῶν λόγων γνώσεως καὶ χρόνον ἔχομεν εἰπεῖν. Οἶδα γάρ, ὅτι τὸ μὲν εἶδος τοῦ κύκλου τί ἐστιν ἔμαθον ἐν τῷ χρόνῳ, τὸ δὲ εἶδος τῆς δικαιοσύνης ἐν ἄλλῳ, καὶ οὕτως ἐφ' ἑκάστου τῶν ὄντων, ὧν τὰς ἐπιστήμας κατ' ἐνέργειαν ἔχομεν. Οὗ μὲν γὰρ ἀναμνησκόμεθα τὸν χρόνον, οὐ συνανεφέρομεν, τῆς δὲ ἀναμνήσεώς ἐστί τις πάντως ὡρισμένος χρόνος.

[ξζ.] „Ἀλλὰ μὴν ἅ γε μεμάθηκας, σχεδόν τι καὶ αὐτὸς „οἶδα· εἰ δέ τι ἐμὲ λέληθεν, εἰπέ· ἔμαθες γάρ δὴ σὺ „κατὰ μνήμην γράμματα καὶ κιθαρίζειν καὶ παλαίειν· „οὐ γὰρ δὴ αὐλεῖν γε ἤθελες μαθεῖν· ταῦτ' ἔστιν, ἃ σὺ „ἐπίστασαι, εἰ μή πού τι μανθάνων ἐμὲ λέληθας· οἶμαι „δὲ οὔτε γε νύκτωρ, οὔτε γε μεθ' ἡμέραν ἐξιὼν ἔνδο„θεν· — ἀλλ' οὐ πεφοίτηκα εἰς ἄλλων ἢ τούτων." (p. 106. e. Bekk. p. 305. sq.)

Ἡ τῶν μαθημάτων, ὧν Ἀλκιβιάδης ἔμαθεν, ἀπαρίθμησις ἀναγκαία τῷ Σωκράτει γέγονεν· ἐπειδὴ γὰρ προωμολόγηται ταῦτα χρῆναι διδάσκειν ἄλλους καὶ περὶ τούτων συμβουλεύειν,

— οἶδα γάρ, ὅτι] B ᾔδει γάρ, ὅτι. — ἐν τῷ χρόνῳ] cett. cum Fic. ἐν τῷδε τῷ χρ. excepto Cod. E. — ἐν ἄλλῳ] B pro his ἀνάγει. — ὧν τὰς ἐπιστήμας κατ' ἐνεργ. ἐχ.] B κατ' ἐνεργ. ἐχ. ὧν τ. ἐπιστ. — ἀναμνησκόμεθα] D ἀναμιμνησκόμεθα et ita scribendum est. — ὡρισμένος] A et B ὁρισμένος. Desinit h. l. Ficini versio, neque continuatur, nisi quatuor paginis interjectis.

εἰ δέ τι ἐμὲ] A εἰ δέ τις ἐμὲ. Paulo superius In Dialog. Edd. pro αὐτὸς est ἐγὼ. — εἰπὲ] A et B εἰπὲ κτλ. omiss. sqq. usque ad ἢ τούτων. — δὴ σὺ] Astius omisit δὴ, quod ex Bas. 2. et Cod. Venet. addiderunt alii. In seqq. Buttmannus edidit μνήμην τὴν ἐμήν ex Cod. Ven. — Astius omisit articulum, qui abesse potest salvo sensu, neque vero ἐμήν, ut apud Proclum. In Ed. Bip. est γὰρ σύ γε, apud Bekk. γὰρ δὴ σύ γε. Paulo inferius idem οἶμαι δέ γε, οὔτε νύκτωρ οὔτε μεθ' ἡμ. — οὔτε γε νύκτωρ] D om. γε. — πεφοίτηκα] D πεφοικότα. — ἡ τῶν μαθημάτων] A et B om. ἡ.

ὧν ἔχει τὴν εἴδησιν, ἀναγκαῖον ἦν, πρότερον ἐκφῆναι τὰς γνώσεις, ὧν μετέσχεν Ἀλκιβιάδης ἐκ νεότητος, ἵνα ἔχωμεν, ἐν τίσιν ἐστὶ τῶν πολλῶν ἀμείνων καὶ τίσι μαθήμασιν ὑπερέχει ἄν τινων ἀνθρώπων, ἐν οἷς δὴ καὶ σύμβουλος ἀξιόχρεώς ἐστιν. Ἀναγκαία μὲν οὖν, ὅπερ ἔφην, ἡ τῶν Ἀττικῶν παιδευμάτων ἀπαρίθμησις. Διὰ ταῦτα οὖν καὶ Ἀλκιβιάδῃ· παρέχεται δὲ καὶ κόσμον τῶν λόγων καὶ χάριν, ἵνα μὴ ξηρὰ τὰ διαλεκτικὰ θεωρήματα κείμενα τὸν ἀκροατὴν ἀσχάλλειν ἐπ' αὐτοῖς ποιεῖ. Πρόςεστι δὲ καὶ τὸ χρήσιμον τὸ πρὸς τὸν ἐσόμενον ἔλεγχον· ἄρχεται γὰρ ἀφ' ὧν οἶδεν ὁ νεανίσκος, καὶ τελευτᾷ εἰς ἃ μὴ οἶδεν, ἵν' ἐπὶ τῶν ἐγνωσμένων τοὺς κανόνας βασανίσας τῆς γνώσεως, οἷον ὅτι δεῖ μαθεῖν ἢ εὑρεῖν, καὶ πρὸ τούτων ζητῆσαι ἢ διδαχθῆναι, ἢ πρὸ τούτων γέγονεν ὁ τῆς ἀγνοίας χρόνος, οὕτω δὴ καὶ ἐπὶ τῶν ἀγνοουμένων τὰ αὐτὰ ἀπαιτούμενος προςδέξηται τὸν ἔλεγχον. Ποῖαι γὰρ δὴ μαθήσεις, ποῖαι εὑρέσεις παραδεδώκασί σοι τὴν τοῦ δικαίου γνῶσιν; ποῖαι ζητήσεις, ποῖοι διδάσκαλοι προκαθηγήσαντό σοι τῆς μαθήσεως ἢ τῆς εὑρέσεως; ποῖός ἐστι χρόνος, ἐν ᾧ τὸ δίκαιον ᾠήθης ἀγνοεῖν; Ὡς γὰρ ἐπὶ τῆς πάλης, οὕτω δὴ καὶ ἐπὶ τῶν δικαίων καὶ ἐπὶ τῶν συμφερόντων ἅπαντα ταῦτα τὴν γνῶσιν αὐτῶν συνειςάγειν· καὶ μὴν καὶ ὅτι τὰ τρία ταῦτα μαθήματα· γράμματα, κιθαρίζειν καὶ παλαίειν συντελεῖν πως εἰς τὴν ὅλην πολιτικὴν ἀρεϊκὴν, κατάδηλόν ἐστι.

— ὧν ἔχει] B ὧν ἔχειν. — τὴν εἴδησιν] Post haec cett. add. *καὶ ἐν οἷς ἐπιστημονικώτερός ἐστι τῶν διδασκομένων καὶ συμβουλευομένων*, sed Cod. E eadem omittit; nos vero ea addenda censemus. — πολλῶν ἀμείνων] B πολλ. ἀμείνω. — ὑπερέχει ἄν τινων] A ὑπερέχει ὥντινων. B ὑπερέχει τίνων. D ὑπερέχοι ἄν τινων. Scr. ex Cod. B τίνων. — ἀξιόχρεως] A et B ἀξιόχρεος, Cod. E ἀξιόχρεος superscripto ω. — οὖν καὶ Ἀλκιβιάδῃ] cett. ὧν καὶ Ἀλκιβιάδῃ μετῆν, sed E οὖν καὶ Ἀλκιβιάδῃ μετῆν. Bene. — ποιεῖ] D ποιῇ. Bene. Ἀσχάλλειν supra etiam usurpavit Noster cap. 43 fin. — ἄρχεται γὰρ] A et B ἔρχεται γὰρ. — ἢ πρὸ τούτων γέγονεν] A καὶ πρὸς τούτων γέγοναι. B καὶ πρὸς τούτων γεγονέναι. D καὶ πρὸ τούτων γεγονέναι. Quod receperim. — ὁ τῆς ἀγνοίας χρόνος] cett. bene τὸν τ. ἀγν. χρόνον, excepto Cod. E. — προςδέξηται] B πρὸς δέξηται. D προςδέξεται (sic). — γράμματα κιθαρίζειν] cett. inserunt καὶ, neque vero Cod. E. Post haec cett. συντελεῖ pro συντελεῖν. Probe. [et supra leg. συνειςάγει pro συνειςάγειν.] — ἀρεϊκὴν] cett. ἀρετὴν. Sed E ἀρετικὴν et in margine ἀρεϊκὴν ἴσ. Schneiderus in Lexico hanc vocem, quam Proclus infra commode usurpat, in dubiis posuit. Hoc loco ego non video, quid sibi velit ἡ ὅλη πολιτικὴ

Καὶ γὰρ ἐν τοῖς ἀδιαστρόφοις πολιτείαις διὰ γυμναστικῆς οἱ παῖδες ἄγονται, μουσικῆς καὶ τῶν μαθημάτων, ἵνα τῇ μὲν γυμναστικῇ τὸ μαλακὸν τῆς ἐπιθυμίας ἐῤῥωμένον ποιήσωσι, καὶ τὸ εὔλυτον εἰς εὐτονίαν ἀνακαλέσονται· (προςεχὲς γὰρ ὂν τοῦτο δὴ τὸ ἐπιθυμητικὸν τοῖς σώμασιν· ὁ γὰρ θυμὸς τόνος ἐστὶ τῆς ψυχῆς, καὶ οἷον νεκρωθὲν ὑπὸ τῆς ὕλης δεῖται τοῦ ῥωννύοντος αὐτὸ καὶ ἀνεγείροντος)· διὰ δὲ τῆς μουσικῆς τὸ σύντονον τοῦ θυμοῦ καὶ ἄγριον χαλάσωσι καὶ ποιήσωσιν ἐμμελὲς καὶ ἐνάρμοστον· οὔτε γὰρ γυμναστικὴ μόνον εἰς παιδείαν ἐξαρκεῖ· μόνη γὰρ αὕτη τῆς μουσικῆς ἀποδιαληφθεῖσα πέρα τοῦ δέοντος ἄγρια καὶ φιλόνεικα καὶ σύντονα τὰ ἤθη τῶν μετιόντων ἀποτελεῖ· οὔτε μουσικὴ μόνον ἄνευ γυμναστικῆς. Καὶ γὰρ οἱ μουσικῇ τόνῃ χρησόμενοι την ζωὴν ἐκθηλύνονται καὶ μαλακώτεροι γίνονται. Δεῖ δὲ, ὥςπερ ἐν λύρᾳ, μήτε τὴν συντονίαν εἶναι μόνην μήτε τὴν ἄνεσιν, ἀλλὰ τὴν ὅλην αὐτὴν πρὸς ἑαυτὴν ἡρμόσθαι ψυχὴν ἔκ τε ἐπιστάσεως παιδευτικῆς καὶ ἀνέσεως. Ταῦτα μὲν οὖν τὴν ἀναλογίαν καθίστησι καὶ σπεύδειν τι νέον· τὰ δὲ μαθήματα καὶ ἡ διαλεκτικὴ τὸν λόγον ἡμῶν ἀνακλινεῖ καὶ συνάγει. Τὸ γὰρ ὄμμα τῆς ψυχῆς ὑπὸ πολλῶν ἐπιτηδευμάτων ἀποτυφλωθὲν καὶ κατωρυχθὲν ὑπὸ τούτων ἀναζωπυρεῖται καὶ πρὸς ἑαυτὸ ἐπιστρέ-

*ἀρεϊκή*. Legendum cum cett. *ἀρετήν*. — *πολιτείαις*] A *πολιτίαις*. [pro *τοῖς* leg. *ταῖς*.] — *ἄγονται μουσικῆς*] D inserit *καί*. — *εἰς εὐτονίαν .... τοῦτο δη τὸ*] omissa in B. — *ἀνακαλέσονται*] A et D *ἀνακαλέσωνται*. Bene. — *νεκρωθὲν*] D *νεκρωθείς*. mox vocula *αὐτὸ* punctulis notata est, ut voluisse videatur librarius *αὐτόν*. — *ἀνάρμοστον*] Cod. E *εὐάρμοστον*, et ita legendum. — *εἰς παιδείαν*] A et B omittunt *εἰς* lacunâ interjectâ. — *ἐξαρκεῖ*] B *ἐξ ἀρκεῖ*. De musicae et gymnasticae artis conjunctione vide fusius disputantem Platonem de Republ. L. III. Bip. T. VI. Bekk. III, 1. — *ἀποδιαληφθεῖσα*] D *ἀποληφθεῖσα*. Leg. vid. *ἀπολειφθεῖσα*. Nisi malis *διαληφθεῖσα* vel illud ipsum *ἀποδιαληφθεῖσα*, ut sit: *disjuncta*, *segregata*, tametsi hanc duplicem ejus verbi compositionem Lexica ignorant. — *πέρα τοῦ δέοντος*] A *πάρὰ τ. δεοντ* in marg. cod. *γρ. πέρα*. — *μουσικῇ μόνῃ*] B *μουσικῇ μόνον*. Tum Cod. D *χρώμενοι* pro *χρησόμενοι*. Bene. — *τὴν ἀναλογίαν*] A et D *τὴν ἀλογίαν*. Paulo superius Cod. E ex correctione habet *ἐπιτάσεως*, quod unice verum et exhibet item Cod. D. — *σπεύδειν τι νέον*] A *σπεύδειν τὸν νέον*. B *παιδεύει τὸν νέον*. D *παιδεύει τῶν νέων*. Et placet sane *παιδεύει τὸν νέον* et magis etiam: *τὴν ἀλογίαν* — *παιδεύει τῶν νέων*. — *ἀνακλινεῖ* (sic) *καὶ συνάγει*] cett. *ἀνακινεῖ καὶ ἀνάγει*, quod probum. — *πρὸς ἑαυτὸ ἐπιστρέφει*] B *πρὸς ἑαυτὸν ἐπιστέφειν*. Ad sententiam cf. Platon. Sophist. p. 254. p. 407 Heindorf. de Republ.

φει καὶ τὴν ἑαυτοῦ γνῶσιν. Τούτοις δὴ οὖν τρέφεται ὁ ἐν ἡμῖν λόγος καὶ διὰ τοῦτο ἄνεισιν εἰς νοῦν, ὡς καὶ ὁ Σωκράτης ἐν ἐκείνοις ἐδίδαξε. Καὶ ἔστι πάντα ταῦτα τὰ Ἑμαϊκὰ παιδεύματα· καὶ γὰρ γυμνασίων ἔφορος ὁ θεός (διὸ καὶ τοὺς Ἑρμᾶς ἵστασαν ἐν ταῖς παλαίστραις) καὶ μουσικῆς (διὸ καὶ Λυραῖος ἐν οὐρανῷ τετίμηται) καὶ τῶν μαθημάτων (γεωμετρίας γὰρ καὶ λογισμῶν καὶ τῶν τοιούτων πάντων εἰς αὐτὸν ἀναπέμπουσι τὴν εὕρεσιν) καὶ τῆς διαλεκτικῆς (λόγου γὰρ ἐστι παντὸς ὁ θεὸς εὑρετής, εἴπερ ὁ τὸ λέγειν μιμησάμενός ἐστιν αὐτὸς, ὡς ἐν Κρατύλῳ μεμαθήκαμεν). Παιδείας τοίνυν ἁπάσης προεστὼς εἰκότως ἡγεμόνιός ἐστι, καθηγούμενος ἡμῖν ἐπὶ τὸν νοητὸν καὶ ἀνάγων τὴν ψυχὴν ἐκ τοῦ θνητοῦ τόπου καὶ κατευθύνων τὰς διαφόρους τῶν ψυχῶν ἀγέλας, καὶ τὸν ὕπνον αὐτῶν καὶ τὴν λήθην διασκεδαννὺς, καὶ τῆς ἀναμνήσεως χορηγὸς γενόμενος, ἧς ἐστι τέλος ἡ τῶν θείων εἰλικρινὴς νόησις· Ἐν μὲν οὖν ταῖς ὀρθαῖς πολιτείαις διὰ τούτων, ὡς ἔφαμεν, τῶν παιδευμάτων ἡ ἀγωγὴ πρόκειται τῶν τρεφομένων ὑπὸ τοῖς νομοφύλαξιν. Ἐν δὲ ταῖς Ἀθήναις εἴδωλα ἅττα τούτων διεσώζετο· τὸ δὲ κιθαρίζειν τῆς μουσικῆς, τὸ δὲ παλαίειν τῆς γυμναστικῆς, δι' ὧν οἱ εὐγενεῖς ἤγοντο τῶν παίδων. Καὶ διὰ ταῦτα καὶ τὸν Ἀλκιβιάδην φησὶν ὁ Σωκράτης ταῦτα μαθεῖν ὡς τῆς προσηκούσης ἀγωγῆς παισὶ τυγχάνον-

VII. 13. p. 533 p. 219 Ast. et quae plura congessi ad Plotin. de pulcr. p. 361 sq. — *καὶ διὰ τοῦτο*] D *καὶ διὰ τούτων*. Ad proxima adhibe hymnum Orph. in Mercur. XXVIII (27). — *καὶ μουσικῆς*] Vid. Symb. und Mythol. III, 290 sq. pag. 275 sqq. ed. alter. Proxime forma *λυραῖος*, quam nostri libri omnes agnoscunt, addenda Lexicis est itemque Mercurii epithetis. Vocem *οὐρανῷ* expunxit librarius codicis D. — *καὶ λογισμῶν*] B *καὶ λογισμῶ*. — *λόγου γὰρ*] B *λόγον γάρ*. — *Κρατύλῳ*] A *Κροτύλῳ*. Mox Codd. E A B et D *ἐπὶ τὸ νοητόν*: bene. Locus Platonis est in Cratylo pag. 408. a. Bip. T. III. ubi est *τὸν τὸ λέγειν — μησάμενον*, et hoc verbum Proclo restituendum. Bekk. II, 2. p. 54. Plura de hoc verbo dixi in Mythol. III. pag. 270 sqq. ed. alter. — Mercurius autem *ἡγεμόνιος* Athenis praecipue cultus. De eo vid. Cornut. de N. D. XVI. p. 168, unde Eudocia repetiit in Violar. pag. 155. Scholiast. Aristoph. Plut. 1160 ibiq. Hemsterh. Adde Boeckh. Staatshaush. der Athener II. p. 254. — *τὰς διαφόρους*] B *τὰς διαφόρας*. — *διασκεδαννὺς*] A *διασκεδανὺς*. D *διασκδανὺς* (sic). — *ἅττα*] A et E *ἄττα*. bene. D *ἄττα* (sic). — *διεσώζετο*] cett. add. *καὶ τὰ μὲν γράμματα τῆς διαλεκτικῆς παιδείας ἐστοχάζετο*. bene. neque vero ea leguntur in Cod. E. — *ἀγωγῆς παισὶ*] cett. add. *εὐγενέσι*, excepto E, in quo prius vocabulum scri-

τα. Κατὰ γὰρ τὴν τῶν παίδων ἡλικίαν τούτων μετέχειν ἤδει τοὺς εὐγενεῖς.

[ξη.] Τοῦτο δὲ καὶ τῇ τάξει τοῦ παντός ἐστι σύμφωνον. Ἡ μὲν γὰρ πρωτίστη τῶν ὑλικῶν διαφερόντως ἡμῖν τῆς Σεληνιακῆς μεταδίδωσι ποιήσεως· κατὰ γὰρ τὴν θρεπτικὴν τότε καὶ φυσικὴν διαζῶμεν δύναμιν. Ἡ δὲ δευτέρα τῆς Ἑρμαϊκῆς, ὅτε δὴ καὶ γραμμάτων καὶ κιθάρας καὶ πάλης ποιοῦνται πρόνοιαν. Ἡ δὲ τῆς Ἀφροδισιακῆς, ἡνίκα σπερμογονεῖν ἄρχονται καὶ ἀνακινεῖν τὰς παιδουργοὺς τῆς φύσεως δυνάμεις. Ἡ δὲ τετάρτη τῆς Ἡλιακῆς, ὅτε δεῖ τὸν νέον ἀκμάζειν καὶ τὴν τῆς τελειότητα πάσης ἐπιδείκνυσιν αὐτὸ τὸ μέσον καταλαβοῦσαν, τῆς τε γενέσεως καὶ φθορᾶς· ἡ γὰρ ἀκμὴ τοιαύτην ἔλαχε τάξιν. Ἡ δὲ πέμπτη τῆς Ἀρεϊκῆς, ἐν ᾗ μάλιστα δυνάμεων ἀντέχονται καὶ τῆς πρὸς τοὺς ἄλλους ὑπεροχῆς. Ἡ δὲ ἕκτη τῆς Διΐας, καθ' ἣν εἰς φρόνησιν ἐπιδιδόναι καὶ τὴν πρακτικὴν καὶ τὴν πολιτικὴν ἀξιοῦσιν· Ἡ δὲ ἑβδόμη τῆς Κρονίας, καθ' ἣν ἀφίστασθαι τῆς γενέσεως καὶ χωρίζειν ἑαυτούς ἐστι κατὰ φύσιν, καὶ περιάγειν ἐπ' ἄλλην ζωὴν τὴν ἀσώματον. Ταῦτα δὴ πάντα διείλομεν εἰς πίστιν τοῦ καὶ γράμματα καὶ πᾶσαν τὴν τῶν παίδων ἀγωγὴν τῆς Ἑρμαϊκῆς ἐξάπτων σειρᾶς· τὸν δὲ αὐλὸν κατιδεῖν ἄξιον δι' ἣν

bitur *ἀναγωγῆς*. Sed a ceterorum librorum lectione standum. — *ἤδει*] A B et D *ἔδει*, quo nihil est verius.

*τοῦτο δὲ καὶ*] B om. *δὲ*. Pergit h. l. Fic. p. 233. — *ὑλικῶν*] Codd. Leid. et E in margine habent: *ἡλικιῶν ἴσ.*: A *ὑλικῶν* B et D *ἡλικῶν* et ita legendum, prouti legit etiam Fic. Adhibui autem haec ipsa decreta in Mythologia, ubi alios quoque vett. scriptores contuli Vol. I. p. 401 sqq. ed. alter. — *τότε καὶ*] B *τό γε καὶ*. — *φυσικὴν*] B et D *φυτικὴν*. Recte. Agnoscit etiam Ficinus, vertens *vegetalem*. — *ὅτε δὴ καὶ*] B *ὅτε δὲ καὶ*. Mox E *κιθάρας*, recte. — *ἡ δὲ τῆς Ἀφροδισιακῆς*] cett. *ἡ δὲ τρίτη τῆς Ἀφρ.* Bene; et ita Fic. — *ὅτε δεῖ*] cett. *ὅτε δὴ*, excepto E. Cod. D *τὸ νέον*. Et placet hujus Cod. lectio *ὅτε δὴ τὸ νέον ἀκμάζει*. Fic. *Tunc enim regnat vigor.* — *ἀκμάζειν*] A et B *ἀκμάζῃ*. D *ἀκμάζει*. — *καὶ τὴν τῆς τελειότητα*] cett. *καὶ τὴν τῆς ἡλικίας τελειότ.* neque aliter sensus exit justus. Ficinus: *aetatisque perfectio properat aetasque media.* — *καταλαβοῦσαν*] D *καταλαβοῦσα*. — *καὶ φθορᾶς*] cett. bene *καὶ τῆς φθορᾶς*, neque vero *τῆς* est in Cod. E. — *τὴν πρακτικὴν*] cett. bene add. *ζωὴν*, praeter Cod. E. Sed etiam Ficinus: *vitam.* — *ζωὴν τὴν ἀσώματον*] cett. *τὴν ἀσώματον ζωήν*. Desinit h. l. Fic. neque pergit nisi tribus interjectis paginis. — *καὶ γράμματα*] cett. inserunt *τὰ*, excepto Cod. E. — *ἐξάπτων*] cett. *ἐξάπτειν*. Probe. — *τὸν δὲ αὐλὸν*] B et D *τὸν δὲ*

αἰτίαν ὁ Ἀλκιβιάδης οὐ προςήκατο, καίτοι ἡ αὐλητικὴ μουσική τίς ἐστιν. Ἤδη μὲν οὖν τινες εἰρήκασιν, ὅτι καλλωπιστὴς ὢν οὗτος ἐκ παιδὸς οὐ προςῆλθε τῇ αὐλητικῇ, τὴν ἐν τῷ προςώπῳ καὶ τῷ παντὶ σώματι φεύγων ἀσχημοσύνην ἐκ τῆς τῶν αὐλῶν ἐμπνεύσεως· ἄσχημον γὰρ τὸ χρώμενον φαίνεται τοῖς τοιούτοις ὀργάνοις. Ἔστι δὲ ἡ ἀπόδοσις αὕτη καὶ ἄλλως προπετὴς τοῦ Ἀλκιβιάδου καταψηφιζομένη τὴν περὶ τοὺς καλλωπισμοὺς πτοίαν καὶ τὸ κοινὸν οὐχ ὁρῶσα τῆς ὅλης εὐγενείας φυλαττομένης τὸν αὐλόν· κάλλιον δὲ λέγειν, ὅτι καὶ ὀρθαὶ πολιτεῖαι τὴν αὐλητικὴν ἀπεστράφησαν· οὐκοῦν οὐδὲ ὁ Πλάτων αὐτὴν παραδέχεται. Τὸ δὲ αἴτιον ἡ ποικιλία τοῦδε τοῦ ὀργάνου, τοῦ αὐλοῦ λέγω, ὃ καὶ τὴν τέχνην τὴν χρωμένην αὐτῷ ἀπέφηνε φευκτήν. Καὶ γὰρ τὰ παναρμόνια καὶ ἡ πολυχορδία μιμήματα τῶν αὐλῶν ἐστιν· ἕκαστον γὰρ τρύπημα τῶν αὐλῶν τρεῖς φθόγγους, ὥς φασι, τοὐλάχιστον ἀφίησιν· εἰ δὲ καὶ τὰ παρατρυπήματα ἀνοιχθείη, πλείους. Δεῖ δὲ οὐ πᾶσαν παραδέχεσθαι τὴν μουσικὴν εἰς τὴν παιδείαν, ἀλλ' ὅσον ἐστὶν αὐτῆς ἁπλοῦν. Ἔτι τοίνυν τῶν μουσικῶν τούτων ὀργάνων τὰ μέν ἐστι καταστατικὰ, τὰ δὲ πνειτικὰ, τὰ δὲ στάσει προςήκοντα, τὰ δὲ κινήσει. Τὰ μὲν

αὐτὸν, sed D in marg. habet *αὐλόν*. — *ἡ αὐλητικὴ*] cett. bene *καὶ ἡ αὐλητ.*, excepto E. Mox idem *μουσικὴ τίς ἐστίν*. Ad argumentum hujus loci universi confer Plutarchi Alcib. cap. 2 p. 3 Coray; cujus loci secundam partem nuper exposuit *Baehrius* noster in Comment. de Apolline et Minerva Atheniens. Heidelb. 1820. Adde Stephan. Byz. in *Ἀραβ. αὐλ.* ibiq. Berkel. p. 151 et quae plura posui in Mytholog. II. p. 643 sq. — *καὶ τῷ παντὶ σώματι*] cett. non male *καὶ τῷ ἄλλῳ παντὶ σώματι*, sed E ut noster. — *ἐμπνεύσεως*] B *ἐμπνεύσας*. — *προπετὴς*] B *προπετεῖς*. — *καταψηφιζομένη*] B *καταψηφίζομεν*. — *τὸ δὲ αἴτιον*] B om. *αἴτιον*. Proxime *ὁ Πλάτων*. Vid. de Republ. III. 10 p. 398 sq. p. 79 Ast. hujusque Commentar. p. 456. cf. de Legg. II. 11 p. 669 sq. p. 74 sqq. Ast. — *τοῦ αὐλοῦ λέγω*] B et D *τοῦ αὐτοῦ λέγω*. — *πλείους*] B *πλείστους*. Paulo superius in Cod. D pro *παρατρυπήματα* est *τρυπήματα*. Illud vocabulum non habent Lexica. Et est hic locus insignis ad explicandam tibiarum rationem, quae apud Veteres invaluerat. Tu adhibe insuper geminam disputationem Procli in Platonis Polit. p. 366. — *καταστατικὰ*] D *καταστηματικὰ*. [recte, et sic paulo infra leg. Vid. Diog. L. Epicur. X. 136.] — *πνειτικὰ*] A *κινιτικὰ*. B E et D *κινητικὰ*, quamquam in Cod. E fuit a prima manu *πνητικά*. Sed scribendum *κινητικά*. — *τὰ δὲ κινήσει*] B *τὰ δὲ κινήσας*. — *τὰ μὲν οὖν καταστατικὰ*] A *τὰ μὲν οὖν καταστηματικὰ*. B *τ. μ. οὖν καταστατικὰ* et in marg. *ἴσως· καταστηματικά*. D *τὸ μὲν οὖν καταστηματικόν*.

οὖν καταστατικὰ πρὸς παιδείαν εἰσὶν ἀνυσιμώτατα, τὸ ἦθος ἡμῶν εἰς τάξιν ἄγοντα καὶ τὸ θορυβῶδες καταστέλλοντα τῆς νεότητος, καὶ τὸ κεκινημένον εἰς ἡσυχιότητα καὶ σωφροσύνην περιάγοντα, τὰ δὲ κινητικὰ πρὸς ἐνθουσίας οἰκειότητα. Διὸ δὴ καὶ ἐν τοῖς μυστηρίοις καὶ ἐν ταῖς τελεταῖς χρήσιμος ὁ αὐλός· χρῶνται γὰρ αὐτοῦ τῷ κινητικῷ πρὸς τὴν τῆς διανοίας ἔγερσιν ἐπὶ τὸ θεῖον· δεῖ γὰρ τὸ μὲν ἄλογον κοιμίζειν, τὸν δὲ λόγον ἀνακινεῖν. Διὸ παιδεύοντες μὲν τοῖς καταστηματικοῖς χρῶνται, τελοῦντες δὲ τοῖς κινητικοῖς· τὸ μὲν γὰρ παιδευόμενον τὸ ἄλογόν ἐστι, τὸ δὲ τελούμενον καὶ ἐνθουσιάζον ὁ λόγος. Τοσαῦτα καὶ περὶ τῆς αὐλητικῆς. Λάβοι δ' ἄν τις καὶ ἐκ τούτων, ὅτι δαίμονος ἀγαθοῦ τάξιν ὁ Σωκράτης ἐν τῇ περὶ τὸν Ἀλκιβιάδην προνοίᾳ διεσώσατο. Τὸ γὰρ μήτε νύκτωρ μήτε μεθ' ἡμέραν λανθάνειν αὐτὸν οἴκοθεν προϊόντα δαιμόνων ἐστὶν ὄντως. Ὥςπερ γὰρ ἐκεῖνος καὶ τὰς ἐμφανεῖς ἡμῶν καθορᾷ καὶ τὰς ἀναφανεῖς ἐνεργείας, οὕτω δὴ καὶ ὁ Σωκράτης καὶ τὰς νυκτερινὰς καὶ τὰς ἡμερινὰς τοῦ ἐρωμένου προόδους ἐφύλαττε καὶ ἐπόπτευεν, ὥςπερ εἴπομεν, ὡς ἀγαθὸς δαίμων. Ἄντικρυς οὖν τὸ Ὁμηρικόν, ὅ φησιν Ὀδυσσεὺς πρὸς τὴν δέσποιναν ἡμῶν, τὴν Ἀθηνᾶν, τὸ οὐδέ σε λήθω κινούμενος, τοῦτο ἂν καὶ ὁ Ἀλκιβιάδης εἴποι πρὸς τὸν Σωκράτην. Τὸ γὰρ καὶ πανταχοῦ αὐτὸν παρεῖναι καὶ

— *εἰσὶν ἀνυσιμώτατα*] A et B *ἐστὶν ἀνυσιμώτατα*. D *ἐστὶν ἀνυσιμώτατον*. — *τὸ ἦθος*] D *τὸ δὲ ἦθος*. — *πρὸς ἐνθουσίας*] cett. *πρὸς ἐνθουσίαν*. Insolentius vocabulum cave corrigas. Etenim Hesych. I. pag. 1240 Alb. ita: *Ἐνθουσία· ἔπληξις*. Zonaras autem in Lex. gr. p. 728. *Ἐνθουσία· θεοφορία*. Itaque adde Lexicis. Ex Cod. autem D legendum: *οἰκειότατα*. Ceterum de usu tibiarum dicendi otium faciunt mihi Coel. Rhodigin. Antiqq. Lectt. lib. IX. cap. 4—7. et Bartholinus de tibiis Amstel. 1679. De vi musices ad animos hominum erudiendos disputat Proclus in Scholiis in Cratylum ed. princ. Franc. Boissonad. Lips. 1820 p. 107 sq. Alia apposui in Mythologiâ Vol. III. p. 154—157 ed. alter. ubi nostrum quoque locum adhibui. — *προνοίᾳ διεσώσατο*] B *ἐσώσατο*, omisso *προνοίᾳ*. — *δαιμόνων ἐστὶν*] cett. *δαιμόνιόν ἐστιν*, excepto E, qui perperam cum nostro facit. — *ὄντως*] B *οὕτως*. In seqq. omnes libri exhibent *ἀφανεῖς*, quod restituendum est Proclo. — *ἐπόπτευεν*] D *ἐπώπτευεν*. Recte.

....*δευραν*

— *δέσποιναν*] D *δέσποιναν*. (sic). — *οὐδέ σε λήθω*] B *οὐ δώησε λίθῳ*. D *οὐδέν σε λήθω*. Idem tamen recte *κινύμενος*. Est locus Homer. Il. *κ*, 279 sq. — *εἴποι πρὸς τὸν*] B *εἴπῃ πρ. τ.* — *αὐτὸν παρεῖναι*] cett. bene *αὐτῷ παρεῖναι*, excepto Cod. E.

κατὰ πάντα καιρόν, καὶ προκαταλανβάνειν αὐτοῦ πάσας τὰς μεταβάσεις δαιμονίας τινός ἐστι καὶ θείας φρουρᾶς καὶ ἐποπτίας ἴδιον. Καὶ μὴν καὶ τὸ πάντα αὐτοῦ καὶ τὰ μαθήματα καὶ πᾶσαν τὴν γνῶσιν προειληφέναι, πάνυ καὶ τοῦτο τῆς αὐτῆς ὑπεροχῆς ἔνδειξιν ἔχει. Τὰ γὰρ τελειότερα πανταχοῦ τὰς τῶν ὑφειμένων γνώσεις ἡνωμένως περιέχει καὶ κρειττόνως, ἤπερ ἐστὶν ἐν τοῖς καταδεεστέροις. Ὅσα γὰρ ἐνύλως ἡ αἴσθησις γινώσκει, ταῦτα ἀϋλότερά ἐστιν ἐν τῇ φαντασίᾳ, καὶ ὅσα χωρὶς αἰτίας ἡ δόξα, ταῦτα μετ' αἰτίας ἡ ἐπιστήμη· καὶ οὕτω δὴ τὰ κρείττονα πανταχοῦ κατά τινα ὑπεροχὴν ἐξῃρημένην προείληφεν ἅπασαν τὴν ἐν τοῖς καταδεεστέροις γνῶσιν. Ἔτι τοίνυν τὸ μηδὲν λεληθέναι τὸν Σωκράτην τῶν περὶ τὸν νεανίσκον μήτε τῶν κατὰ τὴν ψυχικὴν παρασκευὴν μήτε κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα μήτε κατὰ τὴν ἐκ τῆς τύχης χορηγίαν, πῶς οὐ δαιμόνιον; οὐδὲ τὸν ἐφεστῶτα δαίμονα λανθάνει τι τῶν περὶ ἡμᾶς, οὐ ψυχῆς κίνησις, οὐ φυσικὴ δύναμις, οὐ μεταβολὴ κατὰ τύχην, ἀλλὰ πάντα ἑνοειδῶς ἐκεῖνος ἐπιτροπεύει καὶ κυβερνᾷ· καθάπαξ δὴ καὶ ὁ Σωκράτης ὅλον τὸν ἐρώμενον ἐπεσκεμμένος ἀπ' αὐτῆς τῆς ψυχῆς ἀρξάμενος προάγει τὴν βοήθειαν αὐτῷ καὶ οἷον ἐκ πρύμνης αὐτὸν κατευθύνει καὶ τελειοῖ.

[ξθ.] „Πότερον οὖν, ὅταν περὶ γραμμάτων Ἀθηναῖοι „βουλεύονται, πῶς ἂν ὀρθῶς γράφοιεν, τότε ἀναστήσῃ „αὐτοῖς συμβουλεύσων." ((p. 107. e. Bekk. p. 306.)

— καὶ προκαταλαμβ.] B om. καί. — δαιμονίας τινός ἐστι] D om. ἐστι. — ἐποπτίας] cett. ἐποπτείας, sed E cum nostro facit. Inde a verbis τὰ γὰρ τελειότερα continuatur Ficini versio. — πάντα αὐτοῦ] B πάντῃ αὐτοῦ. — καὶ τὰ μαθήματα] B om. καί. — ἤπερ ἐστὶν] A et B ἧπερ ἐστὶν. D εἴπερ ἐστὶν. — Ὅσα — γινώσκει — ἡ ἐπιστήμη] Ficin: quae opinio sine causa reputat, eadem per causam scientia *comprehendit*. Unde fortasse conjicias reperisse eum suo in codice καταλαμβάνει post ἐπιστήμη. At vero assolet ille nunc dilatare textum graecum, nunc eundem contrahere. — μήτε τῶν κατὰ] cett. om. τῶν, et commode abest haec vocula. — ψυχικὴν παρασκευὴν μήτε κατὰ τὴν] haec omissa in B — καθάπαξ] D καθάπερ. Desinit Ficini versio h. l. et continuatur post quatuor fere paginas. — ἐπεσκεμμένος] B ἐπεσκεμμένον. — κατευθύνει] A et B κατευθύνοι.
Locus Platonicus in Cod. D incipit πότερ' οὖν. — βουλεύονται] A et E βουλεύωνται, bene; neque aliter scribi potuit. Mox Astius et Bekk. ἀναστήσει, et ille ξυμβουλ. — πῶς ἂν] B πρὶν ἂν. — ἀναστήσῃ] B ἀναστήσοι (corr. ει).

Ἐν τάξει πρόεισιν ὁ λόγος· διομολογησάμενος γάρ, τίνα μὲν ὑπάρχειν προςήκει τοῖς ἀγαθοῖς συμβούλοις, ὅτι γνῶσιν καὶ ἐπιστήμην ἐν οἷς συμβουλεύουσι τελεωτέροις τῶν βουλευομένων· τίνα δὲ ἔγνωκεν ὁ Ἀλκιβιάδης, καὶ τίνα μεμάθηκεν, ὅτι γράμματα καὶ κιθαρίζειν καὶ παλαίειν, ἐκ τούτων ὁρμηθεὶς δείκνυσιν, ὅτι τὰ μὲν Ἀλκιβιάδου μαθήματα τοῖς Ἀθηναίοις ἄχρηστά εἰσιν· οὐ γὰρ βουλεύονται περὶ αὐτῶν. Ἃ δὲ βουλεύονται Ἀθηναῖοι, ταῦτα ἀγνοῶν Ἀλκιβιάδης οὐκ ἔστι σύμβουλος ἀγαθός, εἴπερ ὁ μὲν ἀγαθὸς σύμβουλος διαφέρουσαν ἔχει γνῶσιν τῶν πολλῶν· ὁ δὲ Ἀλκιβιάδης ἐν οἷς Ἀθηναῖοι βουλεύονται τῶν πολλῶν οὐδὲν διενήνοχεν· οὔτε οὖν ἐν οἷς οἶδε χρήσιμός ἐστιν, οὔτε ἐν οἷς ἐκεῖνοι δέονται κατὰ διαφόρους αἰτίας, οὗ μὲν διὰ τὴν ἄγνοιαν, οὗ δὲ διὰ τὴν ἀχρηστίαν τῶν ἐν αὐτῷ μαθημάτων πρὸς τὰς ἐκείνων βουλάς. Σκοπὸς μὲν οὖν οὗτος τῶν λόγων· πρόεισι δὲ διαιρετικῶς. Λαβὼν γάρ, ὅτι τὰ μὲν καὶ οἶδεν ὁ Ἀλκιβιάδης καὶ οἴεται γινώσκειν, ὥςπερ τὰ γράμματα καὶ τὸ κιθαρίζειν καὶ τὸ παλαίειν, τὰ δὲ οὔτε οἶδεν οὔτε οἴεται γινώσκειν, ὥςπερ οἰκοδομικὴν καὶ ἰατρικὴν καὶ μαντικήν· τὰ δὲ οὐκ οἶδε μέν, οἴεται δὲ ὅμως, ἃ μὴ οἶδεν, εἰδέναι, ὥςπερ τὰ δίκαια καὶ τὰ συμφέροντα, περὶ ἃ καὶ ἡ ἀπάτη καὶ ἡ διπλῆ ἄγνοια, δείκνυσιν, ὅτι περὶ μὲν τῶν πρώτων οὐκ ἂν συμβουλεύσειεν Ἀθηναίοις· οὐδὲ γὰρ βουλεύονται περὶ αὐτῶν· περὶ δὲ τῶν δευτέρων παραχωρήσει τοῖς εἰδόσιν, ἰατροῖς δήπου καὶ οἰκοδόμοις καὶ μάντεσι· περὶ δὲ τῶν τρίτων ἐθελήσας συμβουλεύειν ἐξ ἀγνοουμένων ἀρχῶν ποιήσεται τὴν συμβουλὴν καὶ μετὰ ἀνεπιστη-

— *πρόεισιν*] A *πρόϊσιν*. Mox pro *γνῶσιν* est *καὶ γνῶσι* in Cod. D. — *τελεωτέροις*] A *τελεοτέροις*. B *τελεωτέραν*. D *τελειωτέραν*. — *ἃ δὲ βουλεύονται*] B *ἃ δὲ βούλονται*. — *Σκόπος μὲν οὖν*] D omittit *μέν*. — *δὲ διαιρετικῶς*] A *διδιαιρετικῶς*. B *δὲ ......τιμῶν* (sic). — *οὔτε οἶδεν*] B *οὔτ' οἶδεν*. — *καὶ ἰατρικὴν καὶ μαντικὴν*] cett. *καὶ μαντ. κ. ἰατρ.*, excepto Cod. E. — *οὐκ οἶδε μὲν*] A *οὐκ οἶδα μέν*. — *περὶ μὲν τῶν πρώτων*] D om. *μέν*. — *συμβουλεύσειεν*] B *συμβήσειεν*. — *οἰκοδόμοις*] Atticis haud ignotum fuisse hunc vocis usum vel ipse locus, qui in hoc dialogo p. 107 A. p. 120 Buttm. legitur, arguit, quem attigi ad Plotin. de pulcr. pag. 185, ubi plura exempla posui. Adde Lobeckii Parerg. ad Phrynich. p. 487 sqq. — *ἐξ ἀγνοουμένων*] B *ἀπ' ἀγνοουμένων*.

μοσύνης. Κεῖται δὲ, ὅτι ὁ ἀγαθὸς σύμβουλός ἐστιν ἀγαθός. Καὶ ὁρᾷς, ὅτι ἡ διαίρεσις αὕτη πάλιν γέγονεν εἰς γνῶσιν καὶ ἁπλῆν ἄγνοιαν καὶ τὴν διπλῆν, καὶ ἔστιν ἀναντίβλεπτος· εἴληπται γὰρ ἐξ ἀντιφάσεως. Ἢ γὰρ ἴσμεν, ἢ οὐκ ἴσμεν· καὶ εἰ μὴ ἴσμεν, ἢ οἰόμεθα γινώσκειν, ἢ οὐκ οἰόμεθα. Ἀλλ' εἰ μὲν ἴσμεν, γνῶσιν ἔχομεν· εἰ δὲ οὐκ ἴσμεν καὶ οὐκ οἰόμεθα γινώσκειν, ἁπλῆν ἄγνοιαν, εἰ δὲ καὶ οὐκ ἴσμεν καὶ οἰόμεθα γινώσκειν, διπλῇ ἀμαθαίνομεν. Τοσαῦτα καὶ περὶ τῆς μεθόδου τῶν προκειμένων λόγων. Τῶν δὲ προτάσεων, ἐξ ὧν ὁ συλλογισμὸς, αἱ μὲν ἐπαγωγῆς ἕνεκα παρελήφθησαν, ὥσπερ αἱ διὰ τῶν καθ' ἕκαστα ἐπιστημῶν τὸ καθ' ὅλου πιστούμεναι τὸ πᾶσαν συμβουλὴν τοῦ εἰδότως εἶναι. Καὶ γὰρ ὁ μάντις ἐν τοῖς μαντικοῖς καὶ ὁ ἰατρὸς ἐν τοῖς ἰατρικοῖς ἀγαθὸς σύμβουλος καὶ ἐπιστήμων ἐστίν· αἱ δὲ κόσμον τῷ λόγῳ παρέχονται διὰ τῆς ποικιλίας, οἷον τὸ καὶ ἐπὶ τῶν διαλόγων καὶ ἐπὶ τῶν δι' ἔργων κινουμένων δεικνύναι ταὐτόν· αἱ δὲ προτροπῆς ἕνεκα συμπλέκονται, ἐάν τε μέγας ᾖ κἄν τε γενναῖος κἄν τε ἀγεννὴς, ἀξιόχρεως ἔσται σύμβουλος, ἐν οἷς ἐπιστήμων ἐστὶν ἕκαστος. Ἐκ δὲ τούτων ὁ διάλογος ἅμα μὲν δύναμιν εἰσάγει διαλεκτικὴν, ἅμα δὲ χάριν ὁμηλιτικὴν, ἅμα δὲ ποικιλίαν προτρεπτικὴν, καὶ συμπληροῦται πᾶσι τοῖς ἀγαθοῖς τοῖς τε λεκτικοῖς καὶ τοῖς διανοητικοῖς. Καὶ μὴν καὶ τοὺς τρόπους τῶν

— *Κεῖται — ἀγαθός*] Cod. D ita distinguit: *Κεῖται δὲ ὅτι ὁ ἀγαθὸς, σύμβουλός ἐστιν ἀγαθός.* — *εἰ δὲ οὐκ ἴσμεν καὶ*] cett. *εἰ δὲ καὶ οὐκ ἴσμεν καί.* Sed magis placet omissum primum *καί*, quod mox in verbis *εἰ δὲ καὶ οὐκ ἴσμεν καὶ οἰόμ. γ.* suo loco ponitur. — *καὶ οἰόμεθα γινώσκειν*] A et D *καὶ οὐκ οἰόμεθα γινώσκειν.* — *ἀμαθαίνομεν*] B *ἀμ....* sq. lacuna. Ceterum addendus hic locus iis est, qui verbum *ἀμαθαίνειν* absolute usurpatum exhibent; v. c. Platon. de Legg. IX. 7. p. 863. p. 345 Astii, quem cf. ad de Legg. III 9. Animadvv. pag. 169. — *τοῦ εἰδότως*] cett. *τοῦ εἰδότος*, et ita scribendum. — *αἱ δὲ κόσμον*] A et B *αἱ δὲ κόσμου.* — *τῆς ποικιλίας*] D *τὴν ποικιλίαν.* — *τῶν διαλόγων*] A et D *τῶν διὰ λόγου.* B *τῶν διαλόγου.* Cod. E *διὰ λόγων.* — *δι' ἔργων κινουμένων*] B et D *δι' ἔργου κυρουμένων.* Quod placet. Plato in Gorg. pag. 451 b. pag. 17 Heindf. *ὅτι καὶ αὕτη (ἡ τέχνη) ἐστὶ τῶν λόγῳ τὸ πᾶν κυρουμένων.* et in antecedentibus: *καὶ τὸ κῦρος αὐταῖς διὰ λόγων ἐστί*, itemque: *τῶν διὰ λόγου τις τὸ κῦρος ἐχουσῶν* — *ἐάν τε μέγας*] B *ἐάν τι μέγας.* — *ἀξιόχρεως*] A *ἀξιόχρεος.* E *ἀξόχρεος.* *ἀξιόχρεως* solum verum. Paulo post cum cett. scribendum *ὁμιλητικήν.* — *τοῖς τε λεκτικοῖς*] B *τοῖς τε διαλεκτικοῖς.*

ἐρωτήσεων ἐπισκέπτεσθαι ἄξιον· οὐ γὰρ ἐρωτᾷ, πότερον συμβουλεύσεις, εἰ δεῖ κιθαριστὴν εἶναι ἐν τῇ πόλει, καὶ εἰ δεῖ παλαιστήν, ἀλλὰ πῶς ἂν παλαίοιεν, καὶ πῶς ἂν γράφοιεν. Καὶ γὰρ ὁ πολιτικὸς οὐ συμβουλεύσει περὶ τῶν καθ' ἕκαστα τεχνῶν, ἀλλὰ τὸ ἀγαθὸν πρὸς τὴν πόλιν ἀναφέρων καὶ τὸ χρήσιμον τὸ ἀπ' αὐτῶν σκοπούμενος, τὰς δὲ χρήσεις αὐτῶν καὶ τοὺς περὶ τῶν χρήσεων λογισμοὺς ἐπιτρέψει τοῖς καθ' ἕκαστα τεχνίταις. Ὡς γὰρ ἐν παντὶ τούτῳ κόσμῳ πάντα τὰ τέλη τῶν ἑαυτῷ τεταγμένων συννεύει πρὸς τὸ τοῦ κόσμου τέλος· (ἵνα γὰρ ὁ κόσμος τέλειος ᾖ, καὶ τὰ θεῖα πάντα ζῶα καὶ τὰ θνητὰ τὴν ὑπόστασιν ἔσχεν, ὥς φησιν ὁ Τίμαιος·) οὕτω δὴ καὶ ἐν ταῖς ὀρθαῖς πολιτείαις πάντα τὰ τέλη τῶν τεχνῶν καὶ τὰ ἀπ' αὐτῶν χρήσιμα συντέτακται πρὸς τὸ πολιτικὸν τέλος. Οὗ δὴ καὶ ὁ ἀγαθὸς σύμβουλος στοχαζόμενος εἰσηγήσεται περὶ τῶν καθ' ἕκαστα τεχνῶν, τίνας μὲν αὐτῶν παραδεκτέον, τίνας δὲ οὔ; καὶ διὰ ποίας αἰτίας; Ὅπως δὲ ἑκάστην μετιέναι χρὴ καὶ τὰ ἑκάστης τέχνης ἔργα τοῖς τεχνίταις παραχωρήσει· ὥστε εἰ μὲν δεῖ μαντικὴν εἶναι ἢ μή, συμβουλεύσει, μαντεύειν δὲ οὐκ ἐθελήσει· καὶ εἰ μὲν δεῖ τὴν ἰα-

*εἰ δεῖ παλαιστὴν*] D *εἰ δεῖ παλαιστικήν*. — *παλαίοιεν, καὶ πῶς ἂν γράφοιεν*] cett. *γράφοιεν καὶ πῶς ἂν παλαίοιεν*. Sed E nostri ordinem servat. — *ἀλλὰ τὸ ἀγαθὸν*] cett. bene add. *αὐτῶν*, excepto Cod. E. — *σκοπούμενος*] A E et D *ἐπισκοπούμενος*. B *ἐπισκοπούμενον*. Placet verbum simplex. — *καθ' ἕκαστα τεχνίταις*] B *καθέκαστα τεχνήταις*. Post haec Cod. D *ἐν τῷ παντὶ* pro *ἐν παντὶ*, et *τούτῳ τῷ κόσμῳ* pro *τούτῳ κόσμῳ*. Pergit h. l. Fic. p. 234. — *τὰ τέλη*] B *τὰ τέως*. — *τῶν ἑαυτῷ*] A et B *τῶν ἑαυτῶν*, ita et E a prima manu; D *τῶν ἐν αὐτῷ*. Bene; et ita Fic. — *ἵνα γὰρ ὁ κόσμος τέλειος*] haec om. B. D *ἵνα καὶ* habet pro *ἵνα γάρ*. Locus est in Platonis Timaeo p. 92. c. Bip. T. IX. extremis fere dialogi verbis. Bekk. III, 2. p. 142. — *τῶν καθ' ἕκαστα*] B et D *τῶν καθέκαστα*. Quae leguntur inde a verbis *οὗ δὴ* usque ad exitum hujus sectionis, quam excipiunt Platonis verba *Πότερον οὖν*, Ficinus ita et immutavit et in compendium redegit: „Item sicut unumquodque eorum, quae in generatione „versantur, secundum speciem unicam habet esse, ideoque non est „infinita, ipsum vero intelligibile est omnia, quandoquidem sensi„bilium habet causas: sic et quilibet privatus artifex plurimum est „ignorans, semel vero peritus; ipse vero civilis est absolute pru„dens. Novit enim et finem proprium et aliorum fines, atque ceteras „artes ad unam dirigit civitatis vitam." — *ἑκάστης τέχνης*] cett. om. *τέχνης*, sed E exhibet hoc vocabulum. — *τοῖς τεχνίταις*] D add. *λέγειν*, quod placet.

τρικὴν παραδέχεσθαι τὴν πόλιν ἢ μὴ, γνώσεται, ἰατρικῶν δὲ ἔργων τὸν ἰατρὸν ποιήσεται σύμβουλον. Κατὰ τὰ αὐτὰ δὲ καὶ περὶ οἰκοδομικῆς καὶ τῶν ἄλλων ἑκάστης τεχνῶν. Εἰκότως ἄρα τῶν μὲν τεχνιτῶν ἕκαστος ἕν τι φρόνιμος ὢν κατὰ τὰ ἄλλα πάντα ἄφρων ἐστὶν, ἃ δὴ μὴ μεμελέτηκεν· ὁ δὲ πολιτικὸς διὰ πάντων ἐστὶ φρόνιμος· καὶ γὰρ τὰ τέλη τῶν ἄλλων τεχνῶν εἰς ἑαυτὴν ἀνεδήσατο, τὰ πρὸς τὸ τέλος ἀνευρίσκειν ἐκείναις ἀπολιπών· ὥςπερ οὖν τῶν μὲν ἐν γενέσει ὄντων καθ᾽ ἓν ἕκαστον εἶδος ἔχον τὸ εἶναι, ἄπειρα οὐκ ἔστι, τὸ δὲ νοητικὸν τὰ πάντα ἐστί· καὶ γὰρ τῶν αἰσθητῶν ἔχει τὰς αἰτίας· οὕτω δὴ καὶ ὁ μὲν καθ᾽ ἕκαστα τεχνίτης πλεοναχῶς ἐστιν ἄφρων, μοναχῶς δὲ φρόνιμος, ὁ δὲ πολιτικὸς τελέως φρόνιμος· καὶ γὰρ τὸ οἰκεῖον οἶδε τέλος καὶ τὰ τῶν ἄλλων, καὶ συντάττει τὰς τέχνας τὰς ἄλλας πρὸς μίαν τὴν τῆς πόλεως ζωῆς.

[o.] „Πότερον οὖν, ὅταν περὶ γραμμάτων Ἀθηναῖοι βου-
„λεύονται, πῶς ἂν ὀρθῶς γράφοιεν, τότε ἀναστήσῃ(ει) αὐ-
„τοῖς συμβουλεύσων; — μὰ Δί᾽ οὐκ ἔγωγε· — ἀλλ᾽
„ὅταν περὶ κρουμάτων ἐν λύρᾳ; — οὐδαμῶς· — οὐδὲ
„μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι
„ἐν τῇ ἐκκλησίᾳ· — οὐ μέντοι· — ὅταν οὖν περὶ τίνος
„βουλεύωνται; οὐ γάρ που, ὅταν γε περὶ οἰκοδομίας; —
„οὐ δῆτα· — οἰκοδόμος γὰρ ταῦτα σοῦ βέλτιον συμβου-
„λεύσει· — καὶ οὐδὲ μὴν, ὅταν περὶ μαντικῆς βουλεύ-

— *οἰκοδομικῆς*] D *οἰκοδομητικῆς*. — *ἕν τι φρόνιμος*] D *εἴς τι φρόνιμος*. — *μὴ μεμελέτηκεν*] B *καὶ μεμελέτ*. — *εἰς ἑαυτὴν ἀνεδήσατο*] cett. optime *εἰς ἑαυτὸν ἀνεδήσ*. — *ἐκείναις ἀπολιπὼν*] B *αἷς ἀπολιπών*. — *καθ᾽ ἓν ἕκαστον εἶδος*] D *ἕκαστον καθ᾽ ἓν εἶδος*. — *ἔχον τὸ εἶναι*] D *ἔχων τὸ εἶναι*. Idem codex in marg.: *Σῆ. ἕκαστον ἕν ἐστι καὶ ἄπειρα οὐκ ἔστι*. — *μοναχῶς δὲ φρόνιμος*] A *μον. δὲ φρόνημος*. B *μον. δὲ ὁ φρόνιμος*. — *ὁ δὲ πολιτικὸς ..... φρόνιμος*] om. B. — *τῆς πόλεως ζωῆς*] cett. recte. *τῆς πόλεως ζωήν*. et ita Ficin.

*πότερον οὖν*] B *ὁπότερον οὖν*. — *βουλεύονται*] A et B recte *βουλεύωνται*. — *ὀρθῶς γράφοιεν*] A et B *ὀρθῶς γράφοιεν κτλ.* omiss. sqq. usque ad *εἶναι τὸν σύμβουλον*. — *ταῦτα σοῦ βέλτιον*] D *ταῦτά γε σοῦ βέλτιον*, ut Edd. Forma *οἰκοδομία* in Platonis libris saepius obvia, v. c. de Legg. VI. p. 758. p. 202 Ast. VIII. 848. p. 324. De ea vid. Lobeck. ad Phrynich. Parerg. I. 1. p. 490. — *καὶ οὐδὲ μὴν*] D *ναί*. — *οὐδὲ μὴν*. Bene; et ita Edd. — *μαντικῆς βουλεύωνται*] D *μ. βουλεύονται*.

„ωνται; — οὔ. — μάντις γὰρ ἂν ταῦτα ἀμείνων ἢ σύ·
„ἐάν τε γὰρ σμικρὸς ἢ μέγας ᾖ, ἐάν τε καλὸς ἢ αἰσχρὸς,
„ἔτι τε γενναῖος ἢ ἀγεννής· — πῶς γὰρ οὔ; — εἰδότος
„γάρ, οἶμαι, περὶ ἑκάστου ἡ συμβουλὴ, καὶ οὐ πλουτοῦν-
„τος· — πῶς γὰρ οὔ; — ἀλλ' ἐάν τε πένης, ἐάν τε πλού-
„σιος ᾖ ὁ παραινῶν, οὐδὲν διοίσει Ἀθηναίοις, ὅταν περὶ
„τῶν ἐν τῇ πόλει βουλεύωνται, πῶς ἂν ὑγιαίνοιεν, ἀλλὰ
„τητοῦσιν ἰατρὸν εἶναι τὸν σύμβουλον." ((p. 107. a. b. c. Bekk. p. 306. sq.)

Ὁρᾷς, ὅπως σὺν ἀσφαλείᾳ προάγει τὰς ἐρωτήσεις· πῶς γὰρ ἂν, φησὶ, γράφοιεν καὶ περὶ κρουμάτων ἐν λύρᾳ καὶ περὶ παλαισμάτων, ἐν οἷς οὐδὲ ὁ πολιτικὸς ἐν ἑαυτῷ εἰς τὴν τοῦ συμβούλου τάξιν καθίστησι· καὶ οὐκ ἀδικεῖ τὸν Ἀλκιβιάδην, οὕτω προτείνων τὰ λήμματα· καὶ γὰρ . .

(λείπει ἐνταῦθα φύλλ.)

[οα.] Οὐρανὸς συμφωνίας καὶ τῆς ἐν ταῖς κινήσεσιν εὐρυθμίας ἀνάμεστος ὢν, ἔπειτα τὰ κρείττονα ἡμῶν γένη ἅπαντα καὶ ταῦτα τῆς ἐκεῖθεν προϊούσης ἁρμονίας ἀπολαύοντα, κατὰ δὲ ταῦτα ἡ ἀνθρωπίνη ζωὴ τά τε ἤθη σύμμετρα ποι-

— μάντις γὰρ ἂν] D om. ἄν. E αὖ, et ita Edd. Post ἢ σύ in Edd. est Ναί, et pro ἐάν τε γάρ scribitur ἐάν τέ γε. — πόλει βουλεύωνται] D πόλει βουλεύονται. — τητοῦσιν] D et E ζητοῦσιν, ut scribi debuit, aut potius ζητήσουσιν, ut est in Edd. — τὸν σύμβουλον] D om. τόν. Pro ἰατρὸν in Cod. E est ἑαυτὸν, sed in margine γρ. ἰατρόν. — πολιτικὸς ἐν ἑαυτῷ] cett. bene πολιτικὸς ἑαυτὸν, excepto Cod. E. Mox Codd. A et B καθίστησιν. — τοῦ συμβούλου] D om. τοῦ. B τοῦ συμβόλου. — τὰ λήμματα] A τὰ ἐγκλήματα. et in marg. γρ. λήμματα. — καὶ γὰρ] in marg. cod. A λείπει ἐνταῦθα φύλλα ιζ'. in B nil nisi unius versus lacuna. Cod. E parvam lacunam in contextu asteriscis et uncino notatam habet, in margine vero scriptum est: λείπει ἐνταῦθα φύλλον. Inde a verbo οὐρανός continuatur Ficini versio p. 235. Quod legitur mox vocabulum γένη Fic. vertit *numina*. In apographo Codicis D scriptum est h. l. *quinque folia abscissa*. Ceterum ad haec Platonica, quae Procli Commentario carent, restant tria scholia ex illo, uti videtur, excerpta, unum in Scholiis Ruhnkenii pag. 70 (pag. 28. c. pag. 107. e. text. Platon.) ad voc. ἀκροχειρίζεσθαι (cf. Tim. Lex. Platon. ibiq. Ruhnken. p. 19 sq.); bina in Catalog. mss. Clarkianorum. ed. Gaisford Oxon. 1812 pag. 80 sq. (p. 107 e.) ad verba εἰ οὖν βουλεύοιντο itemque ad locum p. 108.

κατὰ δὲ ταῦτα ἡ] cett. cum Fic. μετὰ δὲ ταῦτα ἡ, praeter unum Cod. E.

οὖσα, καὶ τὴν ὅλην εὐάρμοστον καὶ εὔρυθμον ἕξιν ἐκεῖθεν παραδεχομένη. Διήκει δὲ αὐτῶν ἡ δόσις καὶ μέχρι τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν. Καὶ γὰρ ταῦτα κατὰ φύσιν ἁρμονίας μετείληχε καί, ὡς εἰπεῖν, ἅπαντα τὰ ἐγκόσμια συνέχουσι καὶ τελειοῦσι καὶ πρός τε ἄλληλα καὶ πρὸς τὸ πᾶν συναρμόζουσι, καὶ τῷ μὲν νῷ τὸ σῶμα διὰ μέσης τῆς ψυχῆς σύμμετρον ἀποτελοῦσι, τῇ δὲ τακτῇ περιόδῳ τὴν γένεσιν διὰ μέσης τῆς θατέρου περιφορᾶς, τῷ δὲ περὶ τὴν γῆν διὰ τῶν μεταξὺ συνδέσμων, καὶ ἔτι πρὸς τούτοις τῶν τε ψυχῶν ἑκάστην τοῖς ἁρμονικοῖς λόγοις κατακοσμοῦσι καὶ τῶν σωμάτων ἕκαστον ἐν μέτροις ὡρισμένοις συνδέουσι, καὶ τῶν κινήσεων ἑκάστην ἐν ῥύθμοις τοῖς προσήκουσι τελειοῦσιν. Ἡ τοίνυν ἐν ἡμῖν ἕξις ἡ μουσικὴ δόσις μέν ἐστι τῶν Μουσῶν, ἔσχατον δὲ εἴδωλον αὐτῶν· ἀλλ' ὅμως καὶ αὐτὴ τὴν ἐπωνυμίαν ἐκεῖθεν ἔλαβεν· ἀπ' αὐτῆς δὲ ἡ ἐνέργεια τὸ τέλειον ἔχει καὶ τὸ ὄνομα τῆς τελειότητος. Ἀεὶ γὰρ τὰ δεύτερα μετὰ τῆς οὐσιώδους μεθέξεως καὶ τὴν κατ' ὄνομα κοινωνίαν ἀπὸ τῶν πρεσβυτέρων αἰτίων ἐφέλκεται. Δέδεικται οὖν ἐνταῦθα πρότερον μὲν οὖν, ὅτι αἱ ἕξεις αἱ ἐν ἡμῖν αἱ τεχνικαὶ καὶ ἐπιστημονικαὶ θεοὺς ἐφόρους ἔχουσι καὶ ἀπὸ θεῶν ὡρμηνται τὴν πρώτην. Δεύτερον δέ, ὅτι καὶ τὰ ὀνόματα ταῖς εἰκόσιν ἀπὸ τῶν παραδειγμάτων μετὰ τῆς οὐσίας ἐνδίδοται. Τρίτον, ὅτι τὰ παρωνύμως ἀπό τινων λεγόμεναι τριῶν δεῖται τούτων, τοῦ κοινωνεῖν τῆς οὐσίας, τῆς τοῦ ὀνόματος μεθέξεως, τῆς κατὰ τὴν τελευταῖαν συλλαβὴν διαφορᾶς. Οὕτω γὰρ ἀπὸ τῶν Μου-

— καὶ τὴν ὅλην] B καὶ τὴν ὅλη. — εὐάρμοστον] A et B ἐνάρμοστον. διήκει] B ἠδίκει. — καὶ γὰρ ταῦτα] cett. καὶ γὰρ καὶ ταῦτα. Recte. — πρός τε ἄλληλα] B om. τε. — τῇ δὲ τακτῇ] A et D τῇ δὲ ταυτῇ. B τῇ δὲ ταύτῃ. — τῷ δὲ περὶ τὴν γῆν] cett. recte cum Ficino τῷ δὲ πυρὶ τὴν γῆν, sed E ut noster περί. — ἐν ῥύθμοις] cett. minus bene εὐρύθμοις, in Cod. E fuit idem, sed alia manus correxit ἐν ῥύθμ. Inde a verbis ἀλλ' ὅμως usque ad πρότερον μὲν οὖν omnia omissa sunt a Fic., cujus versio post vocem πρώτην rursus desinit, neque continuatur nisi folio uno interjecto. De Ellipsi in verbis τὴν πρώτην vide disputantem Schaeferum in Indice ad Lamb. Bos. Ellips. Gr. p. 914 sq. Cf. Phrynich. σοφ. παρ. in Bekkeri Anecdott. I. p. 29. 20. — ἡ μουσικὴ δόσις] B ἡ μουσικὴ ἡ δόσις. — ὅμως καὶ αὐτὴ] D ὅμως ἑαυτῇ. — τὴν κατ' ὄνομα] cett. τὴν κατ' οὔνομα. — πρότερον μὲν οὖν] D om. οὖν. — τελευταῖαν] A et B τελευταίαν. recte.

σῶν ἡ μουσικὴ λέγοιτ' ἂν, ἀπὸ δὲ ταύτης τὸ μουσικός. Ἐπὶ δὲ τούτοις τὸν ἔπαινον τοῦ νεανίσκου συμφώνως τοῖς προῤῥηθεῖσιν ἀποδεδομένον ὑπὸ τοῦ Σωκράτους θεωρήσωμεν. Προείρηται μὲν γὰρ, ὅτι πρέποι ἂν που καὶ σοὶ τὸ καλῶς διαλέγεσθαι, τοῦ δὲ τὴν ἀπόκρισιν ἀμμελῆ πεποιημένου καὶ ἀναμάρτητον, ἐπήγαγεν ὁ Σωκράτης τὸ εὖ λέγεις, ὁ δὴ τὸ καλὸν εἰς ταὐτόν πως ἔρχεται, καὶ ἔστι δήπου ταῖς Μούσαις, εἴ πέρ τι ἄλλο, καὶ τὸ καλὸν οἰκεῖον. Φιλόκαλος γάρ ἐστί τις καὶ ὁ μουσικὸς τὴν φύσιν, καὶ τοῦτο κοινὸν ἔχει πρὸς τὸν ἐρωτικόν· καὶ ὅλως ἡ ἁρμονία καὶ ἡ συμμετρία μετὰ τοῦ κάλλους πάντως ὑφέστηκεν, ὥςπερ ἡ ἀμετρία καὶ ἡ ἀναρμοστία μετὰ τῆς αἰσχρότητος.

[οβ.] „Ἴσθι δὴ καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον καὶ τὸ ἐν „τῷ εἰρήνην ἄγειν, τοῦτο βέλτιόν τι ὀνομάζεις; ὥςπερ „ἐφ' ἑκάστῳ ἔλεγες τὸ ἄμεινον, ὅτι μουσικώτερον, καὶ ἐπὶ „τῷ ἑτέρῳ, ὅτι γυμναστικώτερον· πειρῶ δὴ καὶ ἐνταῦθα „λέγειν τὸ βέλτιον. — ἀλλ' οὐ πάνυ τε ἔχω." (p. 108. d. e. Bekk. p. 310.)

— τὸ μουσικὸς] cett. τὸ μουσικῶς. Bene. — ὅτι πρέποι ἂν] D ὅτι πρέπει ἄν. — ἀμμελῆ] cett. ἐμμελῆ, ut scribendum fuit. — ὁ δὴ τὸ καλὸν] cett. ὁ δὴ τὸ καλῶς, sed E καλόν. At scribendum ὃ δὴ τῷ καλῶς ex praecedentibus. — πως ἔρχεται] D om. ἔρχεται. — γάρ ἐστί τις] A et B γάρ τίς ἐστιν. E et D γάρ τις ἐστὶ. — πάντως ὑφέστηκεν] B πάντας ἐφέστηκε. — ἡ ἀμετρία] A ἡ συμμετρία. B ἡ ἐμμετρία. D ἡ ἀσυμμετρία. E ἡ συμμετρία, in marg. ἀμετρία, et sic alter MS. Magis placet ἀσυμμετρία. — ἡ ἀναρμοστία] B om. ἡ. — Revera, quod supra ex omnibus Codd. enotatum est, excidisse partem horum Procli commentariorum, neque vero unum tantum folium, sed plura, inde apparet, quod Dialogi hujus integrum caput quartum (ad Astii Ed.) vel p. 107. c. usque ad p. 108. d. deest. Et referuntur, quae inde ab illo lacunae signo apud Proclum sunt disputata ad extremam capitis 4 partem, pag. 108. c. d., quae est de Musis et de arte musica.

Qui sequitur Platonis locus in Edd. incipit ἴθι δή, neque vero ἴσθι δή. Proclus vero haud dubie legit ἴσθι, quod hujus loci explicatio pag. sq. probat. — τοῦτο βέλτιον] cett. ut in Edd. τοῦτο τὸ βέλτιον, sed Cod. E omittit τό. — τι ὀνομάζεις] cett. bene cum Platone τί ὀνομάζεις, sed E cum nostro facit. — ὥςπερ ἐφ' ἑκάστῳ] A et B ὥςπερ καὶ ἐφ' ἑκάστῳ. D ὥςπερ ἐκεῖ ἐφ' ἑκ., ut est in Edd. ipse infra posuit Proclus. — ὅτι μουσικώτερον] B ὅτι μουσικώτερος. Onosander Strateg. X. p. 23 aciei instruendae rationem cum musicâ comparat. Καθάπερ γὰρ ἐπὶ τῶν μουσικῶν κτλ. ad quem locum Rigaltius in annot. haec Platonica contulit. — οὐ πάνυ τε ἔχω] A et B οὐ πάνυ τι ἔχω, et ita Edd. et Proclus ipse infra. D οὐ πάνυ τοι ἔχω.

**Ἀπὸ τῶν παραδειγμάτων ποδηγήσας ἱκανῶς τὸν νεανίσκον ὁ Σωκράτης εἰς τὴν κατανόησιν τοῦ ἀμείνονος ἐν ταῖς ἐνεργείαις**, ἐρωτᾷ, τί ποτέ ἐστι καὶ τὸ πολεμικὸν καὶ τὸ εἰρηνικὸν τέλος τὸ κοινὸν αὐτῶν, οὗ στοχάζεσθαι δεῖ τὸν ἀγαθὸν σύμβουλον καὶ τὸν ἔχοντα τὴν πολιτικὴν ἐπιστήμην. Ἔστι γάρ τι κοινὸν ἀμφοτέρων καὶ τούτων τέλος, πρὸς ὃ βλέποντες τὰς ἐνεργείας τὰς περὶ ταῦτα δοκιμάζομεν, εἴτε κρατοῦσι τοῦ προςήκοντος αὐταῖς τέλους, εἴτε καὶ μή. Τί οὖν τοῦτ' ἔστιν, ἀνάγκη τὸν σύμβουλον εἰδέναι. Καθόλου γὰρ εἰπεῖν ἡ τῆς τελικῆς αἰτίας ἄγνοια περὶ ἕκαστον ἀνήνυτον ἀποφαίνει καὶ τὴν τῶν ἄλλων αἰτίων διάγνωσιν, διότι τὸ πρώτιστον καὶ κυριώτατον αἴτιον καὶ ἡγεμονικώτατον τὸ τελικόν ἐστι· τούτου γὰρ ἕνεκα καὶ τὰ ποιοῦντα ποιεῖ καὶ τὰ γενόμενα. Διὸ καὶ ὁ Τίμαιος ταύτην ἀρχὴν ἀρίστην ἀποκαλεῖ τὴν τελικὴν καὶ ὑπ' ἀνδρῶν φρονίμων λέγεσθαι προςήκουσαν. Τί οὖν ἐστι τῷ πολιτικῷ τέλος περί τε τοῦ πολέμου καὶ περὶ εἰρήνης συμβουλεύοντι; Νῦν οὖν ὁ Σωκράτης ἐρωτᾷ τὸν νεανίσκον προςποιούμενον ἐν τούτοις εἶναι σύμβουλον ἀγαθόν. Ὁ δὲ φαίνεται καὶ τοῦτο ἀγνοῶν, ὅθεν δὴ καὶ δῆλόν ἐστιν οὐκ ἔχων, ἃ δεῖ τὸν συμβουλόμενον ἔχειν· ἐπιστήμης γάρ ἐστιν ἐνδεής. Κεῖται δὲ καὶ προδιωμολόγηται τοῦ εἰδότος εἶναι περὶ ἕκαστα τῶν ὀρθῶν συμβουλῆς. Ταῦτα περὶ τῆς ἐν τοῖς προκειμένοις ῥήμασι διανοίας· τῆς δὲ λέξεως τὸ μὲν ἴσθι

— *τοῦ ἀμείνονος*] B *τοῦ ἀμείνους*. — *οὗ στοχάζεσθαι*] B *οὐ στοχάζεσθαι*. — *πολιτικὴν ἐπιστήμην*] B et D *πολεμικὴν ἐπιστήμην*. — *οὖν τοῦτ' ἔστιν*] B et D *οὖν τοῦτό ἐστιν*. — *τὸν σύμβουλον*] D *τὸν ἀγαθὸν σύμβουλον*. — *αἰτίας ἄγνοια*] cett. *αἰτίας ἄνοια*, sed E ex correctione habet *ἄγνοια*. ut Fic. qui h. l. pergit pag. 236. cujus vero versio mox post vocem *προςήκουσαν* tres fere Procli paginas omittit. — *ἀνήνυτον*] A *ἀνόνητον* et in marg. *ἀνήλυτον*. B *ἀνόητον*. D *ἀνότητον*. Fic. *efficit, ut ceterae causae ad eandem pertinentes, similiter ignorentur*. — *ἡγεμονικώτατον*] B *ἡγεμονικώτερον*. — *καὶ τὰ γενόμενα*] cett. *καὶ τὰ γινόμενα γίνεται*, sed E ut noster. — *ἀρίστην ἀποκαλεῖ*] A *μεγίστην ἀποκαλεῖ* et in marg. cod. *γρ. ἀρίστην*. Locus est Platonis in Timaeo pag. 29. e. Bip. T. IX. Bekk. III, 2. p. 25. — *περί τε τοῦ πολέμου*] cett. om. *τοῦ* — *συμβουλεύοντι*] B *συμβουλεύειν τι*. — *καὶ δῆλόν ἐστιν*] cett. bene *καὶ δῆλός ἐστιν* excepto Cod. E. — *συμβουλόμενον ἔχειν*] cett. *σύμβουλον ἐσόμενον ἔχειν*. Quo nihil est verius. — *ἐστιν ἐνδεής*] B *εἰσὶν ἐνδεὴς* et in marg. *γρ. ἐστίν*. — *τῶν ὀρθῶν συμβουλῆς*] cett. melius *τὴν ὀρθὴν συμβουλήν*, si excipias Cod. E.

συνεχῶς ὑπὸ τοῦ Σωκράτους λεγόμενον φατέον οἰκειότατον εἶναι τῇ γνώσει τῆς ἡμετέρας ψυχῆς. Ἐν κινήσει γάρ ἐστι, καὶ οὐκ ἀθρόως οὐδὲ ἀμεταβλήτως ὑφέστηκεν, ὥςπερ ἡ τοῦ νοῦ μόνιμος καὶ διαιώνιος ἐνέργεια. Τὸ δὲ ὥςπερ ἐκεῖ ἐφ' ἑκάστῳ τὸ κοινὸν λέγει τῶν τῆς μουσικῆς μερῶν, ᾠδῆς, μέλους καὶ βάσεως· ἐφ' ἑκάστῳ γὰρ τούτων τὸ μουσικῶς λέγομεν, ὡς ἄμεινον λέγοντες. Καὶ γὰρ τῷ μουσικῶς τῷ ᾠδικῶς ἦν καὶ τὸ ἐμμελῶς καὶ τὸ εὐρύθμως· τὸ δὲ οὐ πάνυ τι ἔχω τρόπον τινὰ καταδυομένου πρὸς τὴν ἀπορίαν ἐστί. Τὸ μὲν γὰρ ἐν ᾠδῇ καὶ κιθαρίσει καὶ βέλτιον ἀγνοεῖν οὐχ ὑπελάμβανεν αἰσχρὸν, τὸ δὲ ἐν πολέμῳ καὶ εἰρήνῃ, περὶ ὧν προςποιεῖται σύμβουλος εἶναι, μὴ εἰδέναι πάντως αἰσχύνης ἄξιον ἐνόμιζε, καὶ ὁ Σωκράτης ἑξῆς ἐπιφέρει.

[ογ.] „Ἀλλὰ μέντοι αἰσχρόν γε, εἰ μέν τίς σε λέγοντα „καὶ συμβουλεύοντα περὶ σιτίων, ὅτι βέλτιον τόδε τοῦδε „καὶ νῦν καὶ τοσοῦτον, ἔπειτα ἐρωτήσειε, τί τὸ ἄμεινον „λέγεις, ὦ Ἀλκιβιάδη; περὶ μὲν τούτων ἔχειν εἰπεῖν, ὅτι „τὸ ὑγιεινότερον, καίτοι οὐ προςποιεῖ γε ἰατρὸς εἶναι· „περὶ δὲ οὗ προςποιεῖ ἐπιστήμων εἶναι, καὶ συμβουλεύ„σεις ἀνιστάμενος ὡς εἰδὼς, τούτου δὲ, ὡς ἔοικας, πέρι „ἐρωτηθεὶς, ἐὰν μὴ ἔχῃς εἰπεῖν, οὐκ αἰσχύνῃ, ἢ οὐκ

— διαιώνιος] A διαώνιος (sic) [αι superscr.]. B δι' αἰώνιος. Ex Platonis Timaeo et argumentum et vocabulum desumpsit. Vid. p. 37—39. p. 36—40 Bekkeri, ubi: πρὸς τὴν τῆς διαιωνίας μίμησιν φύσεως. Item noster in Platon. Tim. p. 27. τὴν διαιώνιον εὐθημοσύνην. Inde etiam verbum διαιωνίζω frequens in libris Patrum ecclesiae. Vid. Suiceri Thes. in voc. p. 859. Ad sententiam confer Procli disputata in Theolog. Platon. III. 16 p. 146 sq. — τῆς μουσικῆς] B om. τῆς. — ὡς ἄμεινον λέγοντες] D ὡς ἄμοιρον λέγοντες. — τῷ μουσικῶς τῷ ᾠδικῶς] cett. τὸ ᾠδικῶς τὸ μουσικῶς. E τῷ μουσικῶς τὸ ᾠδικῶς. Bene. — ἔχω τρόπον] B ἔχων τρόπον. — γὰρ ἐν ᾠδῇ] B γὰρ ὡς ἐν ᾠδῇ. — καὶ βέλτιον] cett. καὶ βάσει βέλτιον, uti scribendum. — αἰσχύνης ἄξιον] cett. bene add. εἶναι, excepto E. — ἑξῆς] cett. melius εὐθὺς ἑξῆς, neque vero Cod. E.

Ἀλλὰ μέντοι] A πολλὰ μέντοι. Scripsit Astius in seqq. ξυμβουλ. et cum eo Bekk. infra αἰσχύνει. — τόδε τοῦδε] A et B τόδε τοῦδε κτλ. omiss. sqq. usque ad πάνυ γε. — ἔπειτα ἐρωτήσειε] D ἔπειτα ἐρωτήσει. — τί τὸ ἄμεινον] D om. τὸ. — προςποιεῖ γε] προςποιῇ γε. — οὐ προςποιεῖ] D οὐ προςποιῇ, ita et E correctione. Sed Bekker: προςποιει.. — καὶ συμβουλεύσεις] D καὶ συμβουλεύεις.

„αἰσχρὸν φανεῖται; — πάνυ γε.“ (p. 108. e. 109. a. Bekk. p. 310. sq.)

Τὰ μὲν πρὸ τούτου ῥήματα τοῦ Σωκράτους ἀπεκρύπτετο τὸν ἔλεγχον, μέχρις ἐνδείξεως αὐτὸν προάγοντα ψιλῆς· νῦν δὲ ἀπογυμνοῦν αὐτὸν ἄρχεται, καὶ πληκτικώτερον πρόσεισι τῷ νεανίσκῳ, ἀπὸ τοῦ ἥττονος ἐπιχειρῶν καὶ τὸ πρᾶγμα ἄντικρυς ὀνομάζων αἰσχρόν, καὶ διὰ τῆς πρὸς τὰ σιτίας παραβολῆς ἐπιτείνων τὴν ἐπιτίμησιν. Θαυμαστὸν τοίνυν ἡ συμμετρία τοῦ λόγου, πρῶτον μὲν δι' ἐνδείξεως μόνης τὸν ἔλεγχον ποιουμένου, νυνὶ δὲ ἀπογυμνοῦντος αὐτὸν, καὶ ἔτι πεφεισμένως· Οὐ γὰρ αὐτὸς ἀποφαίνεται, ὅτι αἰσχρὸν τὸ τοῦ νεανίσκου τούτου ἀγνόημα, ἀλλ' ἐρωτήσας ἐκεῖνον ἑαυτοῦ ποιεῖ κατήγορον. Ἔτι δὲ μίγνυσι τῷ ἐλεγκτικῷ τὸ μαιευτικὸν, ἵνα ἅμα καὶ καθαίρῃ τὸν ἐρώμενον ὡς ἐλεγχόμενον, καὶ εὐπορώτερον ποιεῖ πρὸς τὰς ἀποκρίσεις ὡς μαιευόμενον. Ἔτι τὸ μὴ πέρα τοῦ δέοντος ἐξετάζεσθαι τοὺς ἐλέγχους ἐμμετροτέρους αὐτοὺς ποιεῖ. Τοσοῦτον γὰρ λέγει μόνον, ὅτι αἰσχρὸν μὴ εἰδέναι τὸ ἐν τῷ πολέμῳ βέλτιον καὶ τῷ εἰρήνην ἄγειν, καὶ οὐ προςέθηκε τὰ ἑπόμενα τούτῳ. Πῶς οὖν φησιν εἶναι πολέμου καὶ εἰρήνης σύμβουλος ἀγαθὸς, ἀγνοῶν τὸ τοῦ πολέμου τέλος; Ἔτι τὸ τὴν αἰσχρότητα δεῖξαι τῆς ἀγνοίας τῇ παραθέσει τῆς ἄλλου γνώσεως, φορητὴν ἐποίησε τὴν ἐπίπληξιν· αἰσχρὸν γάρ φησι περὶ μὲν ἰατρικῶν ἔχειν τι λέγειν, περὶ δὲ τῶν πολιτι-

— *φανεῖται*] D *φαίνεται*. — *ἀπεκρύπτετο*] cett. *ὑπεκρύπτετο*, sed E *ἀπεκρύπτετο*. Illud non displicet. — *ψιλῆς*] D *ψυχῆς*. — *ἀπογυμνοῦν*] A et D non male add. *πως*. B *πῶς*. — *πρὸς τὰ σιτίας*] cett. *πρὸς τὰ σιτία*, recte. Mox in promtu est *Θαυμαστὴ*, neque tamen necesse. — *νυνὶ δὲ ἀπογυμνοῦντος*] B .....*τες*. — *πεφεισμένως*] B *πεφορμένως*. D *πεσμένως*. sine compendii scrib. notâ. — *ἀποφαίνεται*] B *ὑποφαίνεται*. In seqq. post *εὐπορώτερον* malim pro *ποιεῖ* scriptum *ποιῇ*, quod fuit in cod. D a prima manu. Mox: *ἐμμετροτέρους* (Cod. D *ἐμμετρωτέρου*) ex usu Platonis. Vid. v. c. Cratyl. p. 395 c. p. 42 Heindf. *Δοκεῖ δέ μοι καὶ τῷ Πέλοπι τὸ ὄνομα ἐμμέτρως κεῖσθαι.* Pro eo cum in antecedentibus tum in seqq. ponitur *ὀρθῶς*, *καλῶς*, *παγκάλως*. Similiter Proclus mox usurpat *ἐμμελέστερον*, de quo vid. Heindf. ad Theaet. pag. 391 sq. et quos ille laudavit. Adde Astii Animadv. ad de Legg. VI. 7. p. 295. — *τὰ ἑπόμενα τούτῳ*] B *τὰ ἑπόμενα τούτου*. — *τοῦ πολέμου τέλος*] D om. *τοῦ*. — *φορητὴν*] B *φορητόν*. D *φρετήν*. — *πολιτικῶν τελῶν οὐδὲν*] cett. melius *πολ. τελῶν μηδέν*, sed E ut noster Leid.

κῶν τελῶν οὐδέν. Τὸ μὲν οὖν ἐλεκτικὸν διὰ τοσούτων ὁ Σωκράτης ἐμμελέστερον ἀπέφηνεν ἐν τούτοις τοῖς ῥήμασι· δοκεῖ δέ μοι τὸ τοῦ αἴσχους ὄνειδος ἐπάγειν αὐτῷ κατὰ πολλὰς αἰτίας. Πρῶτον μὲν, ὅτι διττῆς ἐν ψυχῇ πονηρίας οὔσης, ὡς αὐτὸς ἐν Σοφιστῇ διεῖλε, καὶ τῆς μὲν κατὰ τὴν ἄγνοιαν ὑφισταμένης τοῦ λόγου, τῆς δὲ κατὰ τὴν στάσιν τοῦ ἀλόγου πρὸς τὸν λόγον, νόσος μέν ἐστι ψυχῆς ἡ τοιαύτη στάσις, αἶσχος δὲ ἡ ἄγνοια. Διότι γὰρ εἴδους ἐπέχει τάξιν ὁ λόγος ἐν τῇ συμπάσῃ ψυχῇ, διὰ τοῦτο καὶ ἡ κακία τοῦ λόγου τῆς ψυχῆς ἐστιν αἶσχος, ὥςπερ ἡ ἀρετὴ κάλλος. Γίνεται γὰρ ἡ μὲν ἄγνοια διὰ τὴν τῆς ἀλογίας ἐπικράτειαν, ἡ δὲ γνῶσις διὰ τὴν τοῦ λόγου κρατοῦντος· τὸ δὲ αἶσχος κρατουμένου καὶ ἀσυμμέτρους καὶ παραφόρους ἀποδιδόντος τὰς οἰκείας ἐνεργείας καὶ μὴ καταδραττόμενον τοῦ τέλους. Εἰ τοίνυν ταῦτα ἀληθῆ, πᾶσα ἄγνοια τῆς ψυχῆς καὶ ἀνεπιστημοσύνη αἰσχρὰν αὐτὴν ἀποτελεῖ. Πρῶτον μὲν οὖν διὰ ταῦτα αἰσχρὸν ἔφατο εἶναι τὸ μὴ εἰδέναι τὸ τέλος του πολέμου καὶ τῆς εἰρήνης· δεύτερον δὲ καὶ ὅτι φιλοτίμῳ νεανίσκῳ τοῦ αἰσχροῦ πληκτικώτερον οὐδέν. Ὑποπτεύει γὰρ οὗτος τὴν ἀδοξίαν, καὶ πάντα μᾶλλον αὐτῷ φορητὰ τῆς αἰσχύνης καὶ τῆς καταγνώσεως. Καὶ τί δεῖ λέγειν, ὅπου γε καὶ τὸ ὡς ἀληθῶς κακὸν παραδέχεται πολλάκις, ἵνα μὴ ὑπομείνῃ τὸ φαινόμενον αἰσχρόν· καὶ ταῦτα τοίνυν στοχαζόμενος τοῦ ἤθους διὰ τῆς αἰσχρότη-

— *ἐλεκτικὸν*] cett. *ἐλεγκτικὸν*, uti scribendum est. — *ἀπέφηνεν*] D *ἐν ἀπέφηνεν*. Locus, qui sequitur, Platonis est in Sophista p. 227. d. 228. a. Bip. T. II. Heindorf. p. 313 Bekk. II, 2. p. 149 sq. Continuatur inde ab hoc loco Ficini versio p. 236. — *ἐπέχει τάξιν*] A E et B *ἀπέχει τάξιν*. Librarius codicis D videtur voluisse *λῆξιν*, sed tamen expunxit. — *ὥςπερ ἡ ἀρετὴ*] D *ὥπερ* (sic) *καὶ ἡ ἀρετή*. — *καταδραττόμενον*] A et D *καταδραττομένας*, B *καταδραττομένους*, illud legisse videtur Fic. vertens: *et ineptas ad finem*. Desiderantur post haec in versione Ficini duae paginae. Antecedentia ita vertit: „quando „videlicet proprias actiones inconcinnas et incongruas edit ineffi„caces." *Παράφορος* ebrius dicitur Platoni de Legg. p. 775. VI. 18 p. 224 Astii, quem cf. in animadvv. p. 320. Active usurpat, et *ταρακτικὸς* jungit Plutarch. de aud. poët. p. 15. c. p. 56 Wyttenb. De verbo *καταδράττομαι* vid. supr. ad cap. 54. — *πᾶσα ἄγνοια*] B *πᾶσα μὲν ἄγνοια*. — *αἰσχρὰν αὐτὴν*] B *αἰσχύνην αὐτήν*. — *αἰσχρὸν ἔφατο*] B *αἰσχρὸν ἔφασεν τὸ*. — *ὅτι φιλοτίμῳ*] B *φιλότιμον*. — *καὶ ταῦτα τοίνυν*] cett. bene *καὶ ταύτῃ τοίν.* excepto Cod. E.

τος αὐτῷ προςάγει τὸν ἔλεγχον. Εἰ δὲ καὶ ἐπὶ σωματικῷ κάλλει μεγαλαυχεῖται, καθαρτικόν ἐστι τῆς οἰήσεως τὸ δεικνύναι τὸ αἶσχος αὐτῷ κατὰ τὸ τιμιώτατον, τὴν ψυχὴν, καὶ ὅτι περιττὸν τὸ φαινόμενον κάλλος τῆς ψυχῆς οὔσης αἰσχρᾶς. Διὰ ταῦτα μὲν οὖν τὸ τῆς αἰσχρότητος ὄνειδος ἐπήνεγκεν αὐτῷ· τὸ δὲ ἐπιχείρημα πάντως οὐκ ἄδηλον, ὅτι ἀπὸ τοῦ ἥττονος εἴληπται, πληκτικὸν ὑπάρχον. Εἰ γὰρ περὶ ὧν ἧττον κατεπαγγελλόμεθα εἰδέναι δυνάμεθα λέγειν τὸ αἰσχρὸν, περὶ ὧν εἰδέναι φαμὲν μηδὲν δύνασθαι λέγειν· καὶ ὅρα, πῶς ἐνταῦθα τὸ αἰσχρὸν ἀπὸ τῆς οἰήσεως τὴν παρείςδυσιν ἔχειν ἐνεδείξατο. Τὸ γὰρ περὶ οὗ προςποιῇ ἐπιστήμων εἶναι καὶ ἑξῆς, τὸ καὶ συμβουλεύεις ἀνιστάμενος ὡς εἰδὼς τὴν οἴησιν αὐτοῦ δείκνυσιν αἰτίαν τῆς αἰσχρότητος· αὕτη γὰρ τὴν διπλῆν ἄγνοιαν εἰςάγουσα πολλαπλασιάζει τὸ αἶσχος τῆς ψυχῆς.

[οδ.] „Σκόπει δὴ καὶ προθυμοῦ εἰπεῖν, πρὸς τί τείνει „τὸ ἐν τῷ εἰρήνην τε ἄγειν ἄμεινον καὶ ἐν τῷ πολεμεῖν, „οἷς δεῖ· — ἀλλὰ σκοπῶν οὐ δύναμαι ἐννοῆσαι· — οὐδ' „οἶσθα, ἐπειδὰν πόλεμον ποιούμεθα, ὅ,τι ἐγκαλοῦντες

— εἰ δὲ καὶ ἐπὶ] B om. δὲ. — κατὰ τὸ τιμιώτατον] A et B bene add. ὑπάρχον. D κατὰ τὸ τιμιώτερον ὑπάρχον. — διὰ ταῦτα μὲν οὖν] B om. οὖν. — πληκτικὸν ὑπάρχον] D πληκτικῶν ὑπάρχον. — εἰ γὰρ περὶ ὧν] B ...... ὄν. — λέγειν τὸ αἰσχρὸν] A et B λέγειν τι αἰσχρ. E a prima manu habuit τό, altera correxit τί. Legendum: δυνάμεθα λέγειν τι, αἰσχρὸν (sc. ἐστὶ), περὶ κτλ. D εἰδέναι τι αἰσχρόν. — καὶ ὅρα] D καὶ ὁρᾷς. — ἐνταῦθα τὸ αἰσχρὸν] B ἐντ. τὸν αἰσχρόν. — τὴν παρείςδυσιν ἔχειν] Theophrastus de caussis plantarum I. 7 p. 504 Schneider. de semine palmae: οὐκ ἔχει γὰρ οὔτε ἔξωθεν οὐδεμίαν παρείςδυσιν. Pro eo etiam dicitur: ἔχειν εἴςδυσιν, i. e. *locum capere*, *intrare* vid. Budaei Comment. L. gr. p. 197. Similiter παρειςδύνειν cf. Irmisch. Ind. Herodian. pag. 949. Unde etiam *irrepere*, *introeundo fallere*. Eaque nostri loci sententia est: „Turpe ab opinatione introeundi, „sive irrependi potestatem nanciscitur." Sive malis: „Opinatio tur-„pitudini clandestinum aditum aperit." Ita Theodoretus Vol. I. p. 438 Schulz. παρείςδυσιν γενέσθαι. et II. p. 1310 παρ. λαβεῖν. Dicit enim: παρείςδυσιν λαβοῦσα ἀσέβεια. Idem IV. p. 561 usurpat παρείςδυσιν ἁμαρτίας. — καὶ συμβουλεύεις] B καὶ συμβούλως. In Edd. est —λεύσεις.

ἄμεινον καὶ ἐν] Edd. ἄμ. καὶ τὸ ἐν. — οἷς δεῖ] A et B οἷς δεῖ κτλ. omiss. seqq. usque ad καὶ τὸ πᾶν. Cod. E οἷς δή. — ποιούμεθα] D et E ποιώμεθα, ut Edd. Recte. Tum Ast. bis τί pro ὅ,τι. Mox Edd. excepto Bekk. ἐπὶ pro εἰς. Deinde γε abest ab Edd. a. e ἐξαπατ. praeter Bekk. Post haec Edd. εἰ τὸ ὧδε, (Bekk. ἦ) omisso δέ.

„ἀλλήλοις πάθημα ἐρχόμεθα εἰς τὸ πολεμεῖν, καὶ ὅ,τι „αὐτὸ ὀνομάζοντες ἐρχόμεθα; — ἔγωγε, ὅτι γε ἐξαπατώ-„μενοί τι ἢ βιαζόμενοι ἢ ὑποστερούμενοι. — ἔχει· πῶς „ἕκαστα τούτων πάσχοντες; πειρῶ εἰπεῖν, τί διαφέρει τὸ „ὧδε ἢ ὧδε· — εἰ δὲ τὸ ὧδε λέγεις, ὦ Σώκρατες, τὸ δι-„καίως ἢ τὸ ἀδίκως; — αὐτὸ τοῦτο. — ἀλλὰ μὴν τοῦτο „διαφέρει ὅλον τε καὶ τὸ πᾶν.“ (p. 109. a. b. Bekk. p. 311.)

Ὁ μὲν προειρημένος λόγος, ὥςπερ εἴπομεν, ἤδη πως παρεγύμνου τὸ ἐλεκτικὸν εἶδος τῶν λόγων, καὶ τῆς ψευδοῦς οἰήσεως [τῶν λόγων, καὶ τῆς ψευδοῦς οἰήσεως] σφοδρότερον τὸν νεανίσκον ἀπήλλακται. Τὰ δὲ προςκείμενα ταῦτα μετὰ τὴν κάθαρσιν εἰς ἔφεσιν αὐτὸν ἀνεγείρει τῆς γνώσεως. Δεῖ γὰρ τῶν ἐμποδίων ἐξῃρημένων ἤδη τὴν ψυχὴν προςάγειν τῇ θεωρίᾳ τῶν πραγμάτων. Ἐνυπάρχει μὲν γὰρ ἡ γνῶσις τῆς ἀληθείας ἐν ἡμῖν, ἐμποδιζόμεθα πρὸς τὴν κατάληψιν αὐτῆς διὰ τὰ ἐπιπροςθοῦντα παθήματα τὰ γενεσιουργὰ, λέγω λήθην καὶ οἴησιν καὶ φαντασίας ψευδεῖς καὶ ὀρέξεις ἀμέτρους. Τούτων δὲ ἀφαιρεθέντων εἰς ἑαυτοὺς λοιπὸν ἐπιστέφειν δεῖ. Μετὰ τὴν κάθαρσιν τοίνυν τῆς περιττῆς οἰήσεως παρακελεύεσθαι τῷ νεανίσκῳ σκοπεῖν καὶ ἀνεγείρειν ἑαυτὸν εἰς τὴν τοῦ

σεως προςεκτικωτέρας καὶ προθυμίας τελεωτέρας. Τοῦ δὲ νεανίσκου κάμνοντος ἔτι περὶ τὴν εὕρεσιν τοῦ πολεμικοῦ τέλους, μέτεισιν ὁ Σωκράτης ἀπὸ τῶν ἐναντίων τὸν

Denique *τοῦτό γε διαφ.* in Edd. est pro *τοῦτο διαφ.* et *πᾶν* pro *τὸ πᾶν.* — *ὑποστερούμενοι*] D ut Edd. *ἀποστερούμενοι.* — *ἔχει*] D et E *ἔχε.* Ita Edd. — *καὶ τὸ πᾶν*] D *καὶ πᾶν.* — *τὸ ἐλεκτικὸν*] cett. *ἐλεγκτικὸν*, uti scribendum. — *τῶν λόγων, καὶ τῆς ψευδοῦς οἰήσεως*] B et D haec modo simpli vice ponunt, in Cod. E priora *τῶν λόγων καὶ τῆς ψ. οἰ.* deleta sunt, sed ab alia manu restituta. Sed tamen denuo delenda. — *ἀπήλλακται*] A *ἀπήλλαται.* B et D *ἀπήλλαττε.* Bene. — *προςκείμενα*] cett. *προκείμενα.* Inde a verbis *Δεῖ γὰρ* continuatur Ficini versio p. 237. — *κατάληψιν*] B *κατάλνοω.* Paulo superius in omnibus libris praeter Leid. est *ἐμποδιζόμεθα δὲ*, quod Proclo restituendum, et expressit Fic., in cujus versione proxime corrigendum est vitium typographi: „opinionem *unam*" Lege *vanam.* Est enim: *οἴησιν.* Post haec Ficinus undecim paginas omisit. — *λέγω λήθην*] D inserit *δέ.* — *εἰς ἑαυτοὺς*] A et B *εἰ αὐτοὺς.* E *εἰς αὐτούς.* — *παρακελεύεσθαι*] cett. bene *παρακελεύεται*, excepto Cod. E. — *εἰς τὴν τοῦ*] omnes h. l. lacunam habet.

λόγον, καὶ μαιεύεται πάλιν αὐτόν· ὁ δὲ ἤδη καταδράπτεται τοῦ ζητουμένου. Τίς οὖν ἡ μέθοδος, ὅταν, φησὶ, πολεμῶμεν ἐγκαλοῦντες τοῖς πολεμίοις, ὥς τι παθόντες ὑπ' αὐτῶν πολεμοῦμεν; τί οὖν τοῦτό ἐστιν, ἢ δηλονότι ἀδικεῖσθαι φάσκοντες; Εἰ τοίνυν ἀδικούμενοι πολεμοῦμεν, τέλος ἐστὶ τοῦ πολέμου τὸ τῶν δικαίων τυχεῖν· εἰ δὲ τοῦτο, προςήκει τὸν περὶ τοῦ πολέμου συμβουλεύσοντα ὀρθῶς εἰδέναι τὸ δίκαιον ὅ,τί ποτέ ἐστιν. Ταῦτα μὲν οὖν εἰςαῦθις· τὸ δὲ νῦν προκείμενον, ὅτι διὰ τῆς ἀδικίας εὗρε τὸ δίκαιον. Ὥςπερ γὰρ αἱ νόσοι τῶν σωμάτων εἰς χρείαν ἡμᾶς κατέστησαν ἰατρικῆς, ἵνα τῆς ὑγείας τύχωμεν, οὕτω δὴ καὶ τὰ ἀδικήματα τῶν ἄλλων ἐγείρει τῶν πολεμίων παρασκευὴν, ἵνα τοῦ δικαίου μὴ ἀμερήσωμεν. Τοῦτο ἄρα ἐστὶ τὸ τοῦ πολέμου τέλος, ὥςπερ ὑγεία· καὶ ὁρᾷς, ὅπως ἐπιζητῶν ὁ λόγος τὸ τέλος τὸ πολεμικὸν, ὃ προςήκει τὸν ἀγαθὸν προΐστασθαι σύμβουλον, τὸ δίκαιον τοῦτο ἀνεῦρεν. Ἄλλο γὰρ στρατιώτου τὸ τέλος, ἄλλο τοῦ πολιτικοῦ. Ὁ μὲν γὰρ, εἰ τύχοι, καὶ εὐπορώτερος ἄλλου γενέσθαι διὰ τῶν λαφύρων, ὁ δὲ εἰς νίκην βλέπει, καὶ ταύτην περιποιήσασθαι σπεύδει τοῖς πολίταις, ὁ δὲ τὸ δίκαιον μόνον θεωρεῖ καὶ μέχρι τούτου κινεῖ τὸν πόλεμον, ἕως καὶ ἀποδικεῖν οἴεται τοὺς πολεμίους. Διὸ πρῶτον μὲν τὴν ῥητορικὴν κινήσει, διὰ πειθοῦς ἐμμελοῦς παῦσαι τοὺς ἀδι-

— *πάλιν αὐτὸν*] B *πάλιν αὐτοῦ*. Mox ceteri, excepto Cod. E, *καταδράττεται*, quod saepius Proclo usurpatur. Quam in contextu habemus vocem, ea nihili est. Mox Codd. A B et D *ὥς τί παθόντες*, uti scribendum. — *τίς οὖν ἡ μεθ.*] B *αὐτὸς οὖν ἡ μεθ.* — *τὸν περὶ τοῦ πολέμου*] cett. om. *τοῦ*, neque vero Cod. E. Mox D: *ὅ,τί ποτ' ἐστίν*. recte. Idem mox articulum omittit ante *ὑγείας*. — *ἡμᾶς κατέστησαν*] B *ἡμᾶς κατέστησεν*. — *τῶν πολεμίων παρασκευὴν*] cett. *τὴν πολεμικὴν παρασκευὴν*, sed E a prima manu *τῶν πολεμικῶν*, ab altera *τῶν πολεμικὴν*. Aut a ceteris standum, aut legendum *τὴν τῶν πολεμικῶν* vel *πολέμων*. — *ἀμερήσωμεν*] cett. *ἀμοιρήσωμεν*, excepto E. Sed illi bene. — *ἄρα ἐστὶ*] A *ἄρ' ἔστι*. — *ὥςπερ ὑγεία*] cett. *ὥςπερ τῆς ἰατρικῆς ὑγεία*. Et necessario haec adduntur. — *τὸ τέλος*] D om. *τὸ* A B E et D addunt post haec: *ἄλλο στρατηγοῦ*. Bene, et necessario propter sequentia. — *εὐπορώτερος ἄλλου*] B *εὐπορώτερος ἄλλος*. D *εὐπορώτερος θέλει*. Bene. Neque commode caremus verbo. Mox D lacunam habet: *σπεύδει τοῖς πο.....* — *μέχρι τούτου*] B et D *μέχρι τοσούτου*. — *καὶ ἀποδικεῖν οἴεται*] A *καὶ ἀδικεῖν οἴεται*. B *ἐκδικεῖν εἴητε*. D *ἂν ἀδικεῖν οἴηται*. hoc quoque loco Cod. D optimum se probat. — *διὰ πειθοῦς*] D *διὰ ῥητορικῆς*.

κοῦντας σπουδάζων, ἔπειτα τὴν στρατηγικὴν, τοῖς ὅπλοις σωφρονεστέρους ποιῶν, οὓς τοῖς λόγοις οὐ προςηγάγετο. Ταῦτα ἄρα καὶ τῶν Ἑλλήνων πολιτικὸς ὁ Νέστωρ, πρῶτον μὲν διὰ τῶν ῥητόρων ἐπρέσβευε πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης· ἔπειτα μὴ πείσας, διὰ τῶν στρατηγῶν καὶ τῶν πολεμίων ἔργων αὐτοῖς προςέβαλε. Διὰ ταῦτα καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης ἀξιοῖ δύναμιν ἔχειν τὴν πόλιν τοσαύτην, ὅση καὶ αὐτὴν καὶ τοὺς γείτονας αὐτῆς ἀδικουμένους ἀπ' ἀλλήλων δύναται σώζειν, ὡς τοῦ πολεμικοῦ τέλους ὄντος τοῦ δικαίου, καὶ οὐ τῆς νίκης, οὐδὲ τῆς λαφυραγωγίας, οὐδὲ ἄλλου τινὸς τοιούτου· καταστρέφει μὲν οὖν ὁ σύμπας λόγος εἰς τοῦτο τὸ συμπέρασμα. Νῦν δὲ ὁ Σωκράτης μαιευόμενος τὸν νεανίσκον, ἀπὸ τοῦ ἐναντίου τῷ ζητουμένῳ προσάγων αὐτὸν ἐρωτᾷ, τίποτε ἐγκαλοῦντες ἐπὶ τὰ ὅπλα καὶ τοὺς πολέμους καταφεύγομεν. Ὁ δέ γε νεανίσκος ἄντικρυς τὸ τοῦ Θεαιτήτου πέπονθεν· ἐν ἐρωτηθεὶς ἐκεῖνος πολλὰ ἀνθ' ἑνὸς λέγει καὶ μερικώτερα ἀντὶ τοῦ καθόλου. Καὶ ἔτι τῶν ἐναντίων δεκτικὸν, δικαιοσύνης καὶ ἀδικίας, καὶ οὐ πάντως ἄδικα ὑπάρχοντα. Ἐρχόμεθα γὰρ εἰς τὸ πολεμεῖν ἐξαπατώμενοι ἢ βιαζόμενοι ἢ ἀποστερούμενοι, ταῦτα δὲ γένοιτ' ἂν καὶ δικαίως. Καὶ γὰρ ὁ τὸν ἀνόητον ἀπατῶν, ἵνα μὴ βλαβῇ, τὰ δίκαια ποιεῖ, καὶ ὁ τὸν παῖδα βιαζόμενος, ὑγείας ἕνεκα προςέσθαι τὸ τῶν βοηθημάτων ὀρθῶς ποιεῖ, καὶ ὁ τὸν μαινόμενον τῆς παρακαταθή-

— *πολεμίων ἔργων*] cett. bene *πολεμικῶν ἔργων*, excepto E. Ad rem consule Tzetzae Antehomerica v. 154. et quos ibi Jakobsius laudat auctores. — *προςέβαλε*] A et D *προςέβαλλε*. Proxime tangit Noster disputata in Platonis Republ V. 14 sqq. p. 467 sqq. p. 151 sqq. Ast. p. 248 sqq. Bekker. — *δύναμιν ἔχειν*] B *δύναμιν ἔχει*. — *ἀπ' ἀλλήλων*] B et D *ὑπ' ἀλλήλων*, scribendum fortasse *ὑπ' ἄλλων* vel *ἀλλοτρίων*. — *συμπέρασμα*] D *σύμπαν*... sq. lac. — *τῷ ζητουμένῳ*] B *τῷ ζητουμένου*. — *τὸ τοῦ Θεαιτήτου*] A *τοῦ τοῦ Θεαιτήτου*. Pertinent haec ad ejus diàlogi universum argumentum. Vide inprimis p. 207. a. b. p. 495 sq. Heindf. — *ἐρωτηθεὶς ἐκεῖνος*] cett. om. *ἐκεῖνος*. — *μερικώτερα*] B *μετρικώτερα*. — *δεκτικὸν*] D *δεκτικὰ*. Paulo inferius Cod. E *τῶν ἀνοήτων ἁπάντων*, sed in margine, ut ceteri; addito *ἴσ.* ab alia manu. — *παῖδα βιαζόμενος*] Post haec B et D addunt: *ἵνα μὴ δι' ἀκράτειαν ποιήσῃ τι μοχθηρὸν, καὶ ὁ τὸν νοσοῦντα βιαζόμενος.* Quae addenda videntur. — *προςέσθαι*] D *προςέσται*. — *τὸ τῶν βοηθημάτων*] cett. bene *τι τῶν βοηθημάτων*, excepto Cod. E. — *καὶ ὁ τὸν μαινόμενον*] D *καὶ εἰ τὸν μαινόμ.*

κης ἀποστερῶν, εἰ ξίφος εἴη τὸ παρακαταθέν. Οὔπω τοίνυν ἀποκέκριται πρὸς τὴν τοῦ Σωκράτους ἐρώτησιν. Ὁ μὲν γὰρ ἐγκλήματα ἀκοῦσαι ζητεῖ, ταῦτα δὲ οὐ μόνον διαφεύγει ποτὲ τὸ εἶναι ἐγκλήματα, ἀλλὰ καὶ ἐπαινετά ἐστιν. Ὀρθῶς οὖν ὁ Σωκράτης ἠρώτησε, πῶς ἕκαστα τούτων πράττοντες ἐρχόμεθα εἰς τὸ πολεμεῖν. Οὐδὲν γάρ ἐστιν αὐτῶν ἁπλοῦν, ἀλλ' ἔστι καὶ δικαίως πάσχειν ἕκαστον τούτων καὶ ἀδίκως. Αἱ μὲν γὰρ τῶν πράξεων εὐθὺς καὶ τὸ ποιὸν συνεπιφέρουσι τὸ αἱρετὸν ἢ φευκτόν· αἱ δὲ αὐταὶ ἐφ' ἑαυτῶν εἰσι δεκτικαὶ τοῦ εὖ καὶ τοῦ κακῶς. Πᾶσα γάρ, φησὶ, πρᾶξις ὧδε ἔχει. Αὐτὴ ἀφ' ἑαυτῆς οὔτε καλή ἐστιν οὔτε αἰσχρά· τῶν δὴ τοιούτων εἰσὶ πράξεων τὸ ἐξαπατᾷν, τὸ βιάζεσθαι, τὸ ἀποστερεῖν. Μοιχεύειν δὲ καὶ τὸν πατέρα ἀποκτιννύναι πράξεις μὲν, ἀλλ' οὐκ αὐταὶ ἐφ' ἑαυτῶν, ἀλλὰ μετὰ ποιότητος ἤδη τῆς μοχθηρᾶς. Διαφέρει τοίνυν κἀνταῦθα δικαίως ἐξαπατᾷν ἢ ἀδίκως, καὶ βιάζεσθαι δικαίως ἢ ἀδίκως, καὶ ἀποστερεῖν ὡσαύτως. Οἱ μὲν γὰρ ἀπὸ Στοᾶς εὐθὺς τὰ τοιαῦτα πάντα ὡς μοχθηρὰ διαβάλλουσιν. Οὔτε γὰρ ἐξαπατᾷν ἐστι δικαίως κατ' αὐτοὺς οὔτε βιάζεσθαι οὔτε ἀποστερεῖν, ἀλλ' ἑκάστη τῶν πράξεων τούτων ἀπὸ μοχθηρᾶς πρόεισιν ἕξεως καὶ ἄδικός ἐστιν. Οἱ δὲ ἀρχαῖοι μέσα τὰ τοιαῦτα τίθενται πάντα, καὶ δεκτὰ τῶν ἐναντίων· καὶ τοιῶσδε μὲν πραττόμενα ἄδικα, τοιῶσδε δὲ πραττόμενα δίκαια. Δηλοῖ που ταῦτα καὶ Ὅμηρος, τὸν

— *παρακαταθέν*] A et B *παρατεθέν*. D *παρακατατεθέν*. Recte. — *διαφεύγει ποτὲ*] cett. *ποτὲ διαφεύγει*, sed E ut noster. — *γάρ ἐστιν αὐτῶν*] D *γὰρ αὐτῶν ἐστιν*. — *ἕκαστον τούτων*] B om. *ἕκαστον*. Paulo inferius in Cod. D voci *ποιὸν*, ut suspectae, puncta subscripta sunt. Merito. Fortasse legendum: *τὸ ποικίλον*. Cf. locum convivii notâ proximâ laudatum. — *πᾶσα γὰρ, φησὶ*] cett. *πᾶσα γὰρ, φασὶ*, sed E cum nostro facit. *Πᾶσα — πρᾶξις κτλ.* Similiter Pausanias in Platonis Symposio cap. 8. p. 180 sq. p. 18 sq. Ast. p. 385 sq. Bekker: *πᾶσα γὰρ πρᾶξις ὧδ' ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά* et pag. 388 *ἁπλῶς ὥρισται — ποικίλος* et p. 390 *οὐχ ἁπλοῦν ἐστιν*. — *ὧδε ἔχει*] B *ὡς ἔχει*. — *ἀφ' ἑαυτῆς*] B et D *ἐφ' ἑαυτῆς*. Recte. — *οὔτε αἰσχρὰ*] A *οὔτ' αἰσχρά*. — *ἀλλ' οὐκ αὐταὶ*] A et B *ἀλλ' οὐκ αὐτὰς*. — *κἀνταῦθα*] D *ἐνταῦθα*. — *ἐξαπατᾷν ἐστι*] B *ἐξ ἀπατᾷν εἰ*. Paulo inferius Cod. E a prima manu *πρόεισι πράξεως*, altera correxit *ἕξεως*. Ad rem vide Gataker. ad Antonin. L. IV. 49. p. 135. — *καὶ δεκτὰ*] cett. *καὶ δεκτικὰ*. Bene. — *δηλοῖ που*] cett. *δηλοῖ δήπου*, excepto Cod. E.

Αὐτόλυκον, τὸν ἀπόγονον Ἑρμοῦ, κλεπτοσύνῃ τε καὶ ὅρκῳ κεκοσμεῖσθαι λέγων, καίτοι οὔτε κοσμεῖσθαί ποτε διὰ μοχθηρᾶς πράξεως δυνατὸν, οὔτε θεοῖς προςήκειν τὸν ἀδίκῳ χρώμενον ἕξει. Καὶ ὅλως ἀρέσκει τοῦτο σχεδὸν ἅπασι τοῖς ἀρχαίοις, καὶ ἡ συνήθεια συνομολογεῖ τῇ δόξῃ τῶν παλαιῶν. Ἐπαινοῦμεν γὰρ τὸν μὴ ἀποδόντα τῷ μαινομένῳ τὸ ξίφος, καὶ τὸν ἀπαντήσαντα τοὺς πολεμίους, ὅταν ὑπὲρ τῆς πατρίδος ὁ κίνδυνος ᾖ, καὶ τὸν βιασάμενον τὸν φίλον μὴ πρᾶξαί τι τῶν ἀνοσίων· καὶ ἕκαστον τούτων δίκαιον καὶ ὀρθὸν ἐπονομάζομεν. Κινεῖ μὲν οὖν καὶ ταῦτα πολέμους τοῖς ἀνθρώποις οὐκ ὀλίγους, ἀπάτη καὶ βία καὶ ἀποστέρησις, ἰδίους τε καὶ κοινοὺς, ἀλλ' ἔστι μερικώτερα τοῦ κοινοῦ τῶν πολέμων τέλους. Τούτων γὰρ τὸ μὲν ἀπατᾶσθαι κατὰ τὸν λόγον γίνεται μάλιστα, τὸ δὲ βιάζεσθαι κατὰ τὸν θυμὸν, τὸ δὲ ἀποστερεῖσθαι κατὰ τὴν ἐπιθυμίαν· ἀποστερεῖσθαι μὲν γὰρ εἰκότως τὸ φιλοχρήματον, βιάζεσθαι δὲ τὸ τῆς γνώμης μάλιστα δεκτικόν· ἡ δέ γε δικαιοσύνη πάσης ψυχῆς ἐστιν ἀρετὴ, πάσης δὲ τῆς τριμερείας ἡ κακία. Κοινότερον ἄρα τὸ δίκαιόν ἐστι καὶ τὸ ἄδικον τῶν τριῶν τούτων παθημάτων, καὶ οὐκ ὀρθῶς ὁ νεανίσκος ἐπὶ ταῦτα ἦλθε τῆς τοῦ κοινοτέρου γνώσεως ἀποπεσών· εἰ δὲ ἔστι τούτων ἕκαστον, ὥςπερ εἴρηται, καὶ εὖ πράττειν καὶ κακῶς, δῆλον δὴ καὶ ἐντεῦθέν ἐστιν, ὡς ἄρα τὸ ἀγαθὸν καὶ γνώσεώς ἐστι κρεῖττον καὶ προαιρέσεως καὶ τῆς πρὸς τὰ ἄλλα σχέσεως. Εἰ γὰρ ἦν ἐκεῖνο γνῶσις, οὐκ ἂν τὸ ἐναντίον πρὸς τὴν γνῶσιν ἡμῶν ἡ ἀπάτη μετεῖχεν ἄν ποτε τοῦ ἀγαθοῦ, καὶ εἰ ἦν

— *Αὐτόλυκον*] B *Αὐτολύκον*. Locus Homericus est Od. τ, 394 sqq. ibiq. Eustath. p. 704 Basil. Pro *κεκοσμεῖσθαι* ut supra corrig. *κεκοσμῆσθαι*. — *τὸν ἀδίκῳ*] D om. *τὸν*. — *ἀρέσκει*] B *ἀρέσκεια*. — *τῇ δόξῃ*] B *τῇ δόξει*. Paulo superius in cett. est *ἡ συνήθεια*, uti legendum. — *τὸν μὴ ἀποδόντα*] B *τῶν μὴ ἀπο.....τα* (sic). — *ἀπαντήσαντα*] B et D recte *ἀπατήσαντα*. — *ὁ κίνδυνος ᾖ*] D *ὁμογεν .....* sq. lac. — *βιασάμενον τὸν*] B *βιαζόμενον*, omisso *τὸν*. — *καὶ βία*] A *καὶ βόα*. — *πολέμων τέλους*] B *πολέμων τέλος*. — *ἀποστερεῖσθαι μὲν γὰρ*] D *ἀποστερεῖται μὲν γάρ*. — *βιάζεσθαι*] cett. *βιάζεται*, praeter unum E. Malim utrobique indicativum. — *πάσης ψυχῆς ἐστιν*] A et B *πάσης ἐστὶ ψυχῆς*. D *πάσης ἐστι τῆς ψυχῆς*. Bene. — *πάσης δὲ τῆς τριμερείας ἡ κακία*] cett. bene, excepto Cod. E, *καὶ ἀδικία πάσης κακία τῆς τριμερείας*. pro *τριμερείας* B habet *τριημερείας*, sed D: *τριμερείας*. Recte. — *καὶ οὐκ ὀρθῶς*] D *κοὐκ ὀρθῶς*. — *ἡ ἀπάτη*] A *πάντη*. et in marg. cod. *γρ. ἡ ἀπάτη*. D *....άτη* praecedente

προαιρετικὸν, οὐκ ἂν τὸ ποτὲ τὴν προαίρεσιν ἡμῶν ἢ βία πραττόμενον ἀγαθὸν ὑπῆρχε τοῖς πάσχουσι, καὶ τὸ οἰκεῖον ἦν ἐπ᾽ ἀγαθῷ. Νῦν δὲ ἔοικεν ἅπαντα ταῦτα δεύτερα εἶναι τοῦ ἀγαθοῦ, τὸ οἰκεῖον, ἡ προαίρεσις, ἡ γνῶσις. Οὐ γὰρ ἂν τοῖς ἀντικειμένοις αὐτῶν παρῆν, εἰ τούτων ἦν τὸ πρώτως ἀγαθόν· οὔτε γὰρ τοῦ θερμοῦ τοῖς ψυχροῖς, οὔτε τοῦ λευκοῦ μέλασι μέτεστι. Τοῦτο μὲν τοίνυν ὥςπερ πόρισμα γεωμετρικὸν ληπτέον ἀπὸ τοῦ λόγου, τῷ δὲ ὅλῳ καὶ παντὶ διαφέρειν τὸ δικαίως τοῦ ἀδίκως, παντελῆ τὴν πρὸς ἄλληλα διάστασιν αὐτῶν ἐπιδείκνυσιν. Πάντα γὰρ τὰ πράγματα τῷ ὅλῳ καὶ παντὶ διῄρηται, τῆς μὲν ἑνώσεως αὐτῶν κατὰ τὸ ὅλον ὑφισταμένης, τῆς δὲ διακρίσεως κατὰ τὸ πᾶν· διὸ καὶ τοῦ ποσοῦ τὸ μὲν συνεχὲς ὅλον ἐστὶ, τὸ δὲ διωρισμένον πάντως. Ἐν ἅπασιν οὖν τοῖς οὖσι διαφορὰν ἐνδεικνύμενοι τῶν προκειμένων οὕτως εἰώθεσαν λέγειν, ὅτι ὅλῳ καὶ παντὶ διαφέρειν.

[οε.] „Τί οὖν; Ἀθηναίοις σὺ πρὸς ποτέρους συμβουλεύ„σεις πολεμεῖν, τοὺς ἀδικοῦντας ἢ τοὺς τὰ δίκαια πράτ„τοντας; — δεινὸν γὰρ τοῦτό γε ἐρωτᾷς· εἰ γὰρ διανοεῖταί

lacuna. De particula ἂν bis in eadem oratione posita vid. Viger. p. 482. 486. not. 6. et 814 sq. Herm. — *οὐκ ἂν τὸ ποτὲ*] A *οὐκ τὸ πάρὰ* et in marg. *γρ. πότε*. B *οὐκ ἄν ποτε παρὰ*. D *οὐκ ἂν τὸ παρὰ*, quod placet, sed tum etiam legerim *ἢ βίᾳ*, et habet certe Cod. E *ῃ* (sic) et Cod. D *ῇ*. Idem proxime: *πάσχουσι, κἂν εἰ τὸ οἰκεῖον ἦν*. De qua constructione, praeter Viger. p. 526 et Hermann. ibid. p. 838 consule Heindorf. ad Platon. Sophist. p. 386. Buttmann. ad Menon. §. 4. p. 13. et Stallbaum. ad Philebum p. 193. — *ἅπαντα ταῦτα*] D *ταῦτα ἅπαντα*. — *τὸ οἰκεῖον, ἡ προαίρεσις, ἡ γνῶσις*] B *τὴν οἰκείαν προαίρεσιν ἢ γνῶσιν*. — *οὐ γὰρ ἂν*] D om. *ἄν*. — *εἰ τούτων ἦν τὸ πρώτως ἀγαθὸν*] B *καὶ τῶν πρώτως ἀγαθῶν*. D *εἰ τούτων ἦν τι τὸ πρ. ἀγαθὸν*. Quod placet. — *μέλασι*] A *τοῦ μέλασι*. B et D *τοῖς μέλασι*. Et hoc praetulerim. — *τῷ δὲ ὅλῳ*] A *τὸ δὲ ὅλῳ*. B *τὸ δὲ ὅλου* (sic). D *τὸ δὲ ὅλως*. Male. Plato in hoc ipso dialogi loco p. 109. b. p. 124 ed. Buttm. p. 212 supr. *Ἀλλὰ μὴν τοῦτό γε διαφέρει ὅλον τε καὶ πᾶν*. Idem Phaedon. cap. 27 fin. p. 38. Wytt. *ὅλῳ καὶ παντί*. Olympiodor. in Phaedon. p. 9: *ἴσα γε τῷ παντὶ καὶ ὅλῳ*, ubi est: *penitus et totum quantum*. Vid. Wyttenbach. ad Phaedon. l. l. p. 203. Et agnoscit eandem lectionem proxime idem cod. D et vero flagitat eam universa loci sententia. Mox idem codex habet *τὸ δὲ διωρισμένον πάντα*. — *ἐπιδείκνυσιν*] D *ἐπιδείκνυται*. — *διωρισμένον*] B *ὠθισμένον*. — *παντὶ διαφέρειν*] cett. *π. διαφέρει*. Bene.

*πρὸς ποτέρους*] B *πρὸς προτέρους*. Tum Astius *ξυμβ*. — *τοὺς ἀδικοῦντας*] A *τοῦ ἀδικοῦντας* et post haec A et B *κτλ*. omissis sqq. usque ad *φαίνεταί γε*. — *τὰ δίκαια*] D om. *τά*. — *δεινὸν γὰρ*] D om.

„τις, ὡς δεῖ πρὸς τοὺς τα δίκαια πράττοντας πολεμεῖν, „οὐκ ἂν ὁμολογήσειεν. — οὐκ ἂν γὰρ νόμιμον τοῦτο, ὡς „ἔοικεν. — οὐ δῆτα· οὐδέ γε καλὸν δοκεῖ εἶναι. — πρὸς „ταῦτα ἄρα καὶ σὺ τὸ δίκαιον τοὺς λόγους ποιήσῃ; — „ἀνάγκη. — ἀλλ᾽ ὅτι οὖν, ὃ νῦν δὴ ἐγὼ ἠρώτων, βέλτιον „πρὸς τὸ πολεμεῖν καὶ μὴ, καὶ οἷς δεῖ καὶ οἷς μὴ, καὶ „ὁπότε καὶ μὴ τὸ δικαιότερον τυγχάνει ὂν ἢ οὔ; — φαί- „νεταί γε." (p. 109. c. p. 311. sq. Bekk.)

Ἡ μὲν τοῦ Σωκράτους ἐρώτησις ἀναγκαία γέγονεν, ἵν᾽ εὕρῃ, τί τέλος ἐστὶ τὸ πολιτικὸν κατὰ τὴν Ἀλκιβιάδου συμβουλήν. Δῆλον γὰρ, ὡς, εἰ μὲν πρὸς τοὺς τὰ δίκαια πράττοντας εἰσηγοῖτο τοῖς Ἀθηναίοις πολεμεῖν, τὴν ἀδικίαν ποιεῖται τοῦ πολέμου τέλος καὶ τὴν κατὰ ἄλλων ἀνθρώπων δεινὴν πλεονεξίαν· εἰ δὲ πρὸς τοὺς μὴ δικαίους, ὅρον καὶ μέτρον τίθεται τοῦ πολέμου τὸ δίκαιον. Ὁ δέ γε νεανίσκος πρὸς ταύτην τὴν ἐρώτησιν ἀφῆκε φωνὴν οὔτε παντάπασιν ἀπηρυθριακότος οὔτε τελέως ἐπιστήμονος. Τούτων γὰρ ὁ μὲν οὔτε διανοεῖταί ποτε πρὸς τοὺς τὰ δίκαια πράττοντας πολεμεῖν, οὔτε διὰ λόγων αὐτῷ προφέρονται. Ὁ δὲ διανοεῖται καὶ λέγειν καὶ τολμᾷ διά δή τινα δεινὴν ἀναισχυντίαν. Πολλὰ γοῦν τοιαῦτα καὶ ἐν Πολιτείᾳ Θρασύμαχος λέγειν οὐκ ἐπαισχύνετο. Μέσος τοίνυν ἐστὶ τούτων ὁ Ἀλκιβιάδης, καὶ διανοεῖσθαι μὲν τὸ ἄδικον οὐ

γὰρ, neque id est in Edd. — *ὁμολογήσειεν*] D ut in Platonis Edd. *ὁμολογήσειε γε.* Ceterum haec Alcibiadis oratio haudquaquam congruit illi ejusdem colloquio cum Meliis habito ap. Thucyd. lib. V. cap. 85 sqq. praecipue cap. 89 fin. — *οὐκ ἂν γὰρ*] D *οὐ γὰρ*, ita Edd. — *πρὸς ταῦτα ἄρα*] D cum Edd. *πρὸς ταῦτ᾽ ἄρα.* — *ἀλλ᾽ ὅτι οὖν*] D cum Edd. *ἄλλο τι οὖν* (cf. Heusd. Spec. Platon. pag. 59 et Heindorf ad Euthyd. p. 349.) Mox Cod. E *βέλτιοι* pro *βέλτιον.* — *τὸ πολιτικὸν*] cett. om. *τὸ* excepto E. idem mox omittit *τούς.* — *κατὰ ἄλλων*] B om. *ἄλλων.* D *κατὰ τῶ ἄλλων.* Scr. *κατὰ τῶν ἄλλων.* — *τοὺς μὴ δικαίους*] A *τοὺς μὴ δικαίως.* — *ἀπηρυθριακότος*] Suidas I. pag. 256 Kust. *Ἀπερυθριᾶσαι· ἀπαναισχυντῆσαι κτλ.* Tu vid. Aristophan. Nubb. 1206 (1218) ibiqq. Scholiast. et Interprr. p. 401 ed. Beck. Adde Epicteti Fr. 106 *οἱ ἀπερυθριάσαντες ἀδιόρθωτοι*, „qui erubescere desierunt." Joann. Chrysostom. de sacerdotio II. 4. p. 68 ed. Giacomelli: *Ψυχὴ γὰρ ἐπειδὰν ἅπαξ ἀπερυθριᾶσαι βιασθῇ, εἰς ἀναλγησίαν ἐκπίπτει κτλ.* — *προφέρονται*] B *προφέρωνται.* D *προφέρεται.* Bene. — *καὶ τολμᾷ*] D om. *καί.* — *Θρασύμαχος*] In Platonis de Republ. L. I. p. 336 sqq. p. 13 sqq. Ast. p. 21 sqq. Bekker. — *ἐπαισχύνετο*] B et D *ἐπῃσχύνετο.* Bene. In Cod. E est *αἰπεσχύνετο.*

παντελῶς ἐστιν ἔξαρχος, ὁμολογεῖν δὲ αὐτό φησιν αἰσχρὸν ὑπάρχειν. Τέτακται τοίνυν κατὰ τὸ φιλότιμον, καὶ οὔτε τοὺς τῆς ἐπιθυμίας φθέγγεται λόγους, οὔτε τοὺς τῆς κρείττονος ψυχῆς· ἀλλ' ὡς μὲν νίκης καὶ δυνάμεως ὀρεγόμενος οὐ διακρίνει τοὺς δικαίους ἀπὸ τῶν ἀδίκων ἐν τοῖς πολεμίοις, ὡς δὲ τῆς κοινῆς δόξης στοχαζόμενος τὸ ταῦτα ὁμολογεῖν αἰσχρὸν ὑπολαμβάνει, πλὴν ὅτι τὸν λόγον ἐξ ὑποθέσεως προαγαγὼν ἀποστροφὴν ἑαυτῷ πάλιν καταλιμπάνει. Οὐ γὰρ εἶπεν, ὅτι διανοοῦμαι μὲν ὡς χρὴ πρὸς τοὺς τὰ δίκαια πράσσοντας πολεμεῖν, αἰσχύνομαι δὲ ὅμως ὁμολογεῖν· ἀλλ' ὅτι καὶ εἴ τις διανοοῖτο ταῦτα, φύγοι ἂν τὴν ἀδοξίαν καὶ τὸ πρὸς ἄλλους ταῦτα ὁμολογῆσαι. Ὁ τοίνυν Σωκράτης κατιδὼν αὐτὸν διὰ τὴν τῶν πολλῶν δόξαν προσιέμενον τὴν δικαιοσύνην πρὸ τῆς ἀδικίας εἰς ἐπιστήμην ἀναπέμπει τὴν δόξαν. Ἐξάπτει γὰρ τὸ δίκαιον τοῦ νομίμου καὶ τοῦ καλοῦ, καὶ τὸ ἄδικον κατὰ τὴν στέρησιν ἀπονομάζει τούτων ἀμφοτέρων. Οὔτε γὰρ νόμιμόν φησιν οὔτε καλὸν τὸ τοιοῦτον, καὶ πάλιν ἐνταῦθα τῷ διαλεκτικῷ μεμιγμένον ἔξεστι θεάσασθαι τὸ ἐπιδεικτικόν. Καὶ γὰρ ὁ πολὺς φαίη ἄν, ὅτι τὸ ἄδικον παράνομόν ἐστι καὶ αἰσχρὸν, τὸν ἐνταῦθα νόμον καὶ τὸ ἐν ταῖς δόξαις κοιναῖς καλὸν, ἐν ᾧ τιθέμενος· καὶ ὁ ἐπιστήμων τὰ αὐτὰ ἂν ὁμολογήσειε κατὰ τὰς ἀποδεικτικὰς ἀρχὰς, ἐπειδὴ ταῖς ἐν τοῖς αἰτίοις αὐτῶν ἡ δίκη τῆς εὐνομίας ἐξήρτηται· λέγω δὴ τὴν ἐγκόσμιον δίκην. Διὰ τοῦτο τὸ δίκαιον νόμιμόν ἐστι καὶ καλὸν, τῷ μετέχειν καὶ τοῦτο τῆς εὐνομίας, ἥτις ἔχει καὶ τὸ εὖ καὶ τὸν νόμον ἐν ἑαυτῇ· πάλιν, ἐπειδήπερ ἡ πρὸ τοῦ κόσμου δίκη συνάπτεται τῷ Διῒ (πάρεδρος

— *αἰσχρὸν ὑπάρχειν*] A et B *αἰσχρὸν ὑπάρχει*. — *φιλότιμον*] B *φιλόνεικον*. — *τοὺς δικαίους*] A *τοὺς δικαίως*. — *ἀποστροφὴν*] B *ἀποστρέφειν*. — *πράσσοντας*] D *πράττοντας*, ut Edd. Platonis. — *τοῦ νομίμου*] D *τοῦ νόμου*. — *ἀπονομάζει τούτων*] A et B *ἐπονομάζει τούτων*. D *ἐπονομάζει τὴν τῶν*. — *τὸ τοιοῦτον*] D *τὸ τοιοῦτο*. — *διαλεκτικῷ*] B recte *διελεγκτικῷ*, idem exhibet Cod. E in margine. — *μεμιγμένον*] A et B *μεμιγμένα*. D *μεμιγμένα̤* (sic). — *ἐπιδεικτικὸν*] cett. bene *ἀποδεικτικὸν*. Sed E a prima manu habuit *ἐπιδεικτικόν*. — *ὁ πολὺς*] B *ὁ πολλούς*. — *ἐν ᾧ τιθέμενος*] B et D recte *ἐν νῷ τιθέμ.* hoc etiam Cod. E in margine habet. — *ἐπειδὴ ταῖς*] cett. bene *ἐπειδὴ γὰρ*, excepto E. — *ἡ δίκη*] B *ἠδίκει*. — *καὶ καλὸν*] D *καὶ κα̤ὶ καλὸν* (sic). *συνάπτεται*] cett. *συνέπεται*.

γὰρ ὁ νόμος τοῦ Διός, ὥς φησιν ὁ Ὀρφεύς·) διὸ καὶ ὁ Ἀθηναῖος ξένος τὴν δίκην τοῦ θείου νόμου τιμωρὸν ἐκάλεσε, καὶ τὸ ἐνταῦθα δίκαιον νόμιμόν ἐστιν. Οἰκείως ἄρα ταῖς ἀρχαῖς αὐτῶν ὁ Σωκράτης τὸ δίκαιον ἔθετο νόμιμον εἶναι, καθάπερ ἡ δίκη τοῦ νόμου τιμωρὸς εἴρηται. Διὰ γὰρ τοῦτο καὶ ὁ δικαστὴς εἰς τὸν νομοθέτην βλέπει, καὶ ἡ δικαστικὴ τῆς νομοθετικῆς ἐξήρτηται. Διὸ καὶ τὰ αἴτια αὐτῶν ταύτην ἔλαχε τὴν τάξιν· ἀνάλογον τοίνυν, ὥςπερ ἡ πρὸ τοῦ κόσμου δίκη τιμωρὸς τοῦ θείου νόμου, οὕτως ἡ ἐγκόσμιος πρὸς τὴν εὐνομίαν, οὕτως ἡ δικαστικὴ πρὸς τὴν νομοθετικὴν, οὕτω τὸ δίκαιον πρὸς τὸ νόμιμον, καὶ μεθ' ἑαυτὰς καὶ πρὸ αὐτῶν σειρά τις ἀφ' ἑκατέρων τῶν αἰτίων πρόεισιν. Οὐκοῦν τὸ δίκαιον καὶ νόμιμόν ἐστι καὶ καλόν ἐστιν, καὶ ἐν ἑαυτῷ τὸ ἀγαθὸν ἐπιφέρειν ἔοικε καὶ ἔστιν, ὅτι μὲν νόμιμον οἰκείως
τάξεις· ἐκεῖ γὰρ ὁ νόμος ἐπὶ κρόκου, καθάπερ ἐν τῷ Γοργίᾳ γέγραπται. Καὶ ὅλως εἴρηται ἐν ἄλλοις, ὡς νόμος ἐστὶν οὗ διανομὴ, διότι καὶ τῶν αἰσθητῶν μετέχει καὶ τῶν νοητῶν.

— τοῦ Διὸς] D om. τοῦ. — ὁ Ὀρφεύς] cett. om. ὁ. Verba exhibuit Gesnerus in Fragg. Orph. ined. nr. 18. p. 508. ed. Herm., ubi scribitur ὁ Ὀρφ. Proxima: διὸ καὶ ὁ Ἀθηναῖος ξένος — τιμωρόν leguntur in Platonis libris de Legg. IV. 7. p. 716. p. 354 sq. Bekker., qui etiam δίκην exhibuit pariter atque Procli codd. Locus multorum scriptorum mentione celebratus (vid. Ast. in Animadvv. p. 217 sq.) in his ipsius Procli in Platonis Theolog. VI. 8. p. 362. — εἰς τὸν νομοθέτην] D οὐ τὸν νομοθ. Male. De locutione βλέπειν εἰς vid. Hemsterhus. ad. Luciani Dialogg. Mort. Vol. II. pag. 464 Bip. — ὥςπερ ἡ πρὸ τοῦ] cett. excepto E ὡς ἡ πρὸ τοῦ. B omittit sequentia usque ad: ἄμεινον καὶ τὸ βέλτιον κτλ. — τοῦ κόσμου δίκη τιμωρὸς τοῦ θείου] haec cod. A om. cum lacuna. D habet: τοῦ κόσμου δίκη πρὸς τὸν. — πρὸς τὴν νομοθετικὴν] A πρὸς τὴν omisit cum lacunâ; D πρὸς τὴν νομοθέτην. — καὶ μεθ' ἑαυτὰς καὶ] A ἀεὶ γὰρ .... sequente lacuna. D ἀεὶ γὰρ τὰ καταδεέστερα μετέχει τῶν. — πρὸ αὐτῶν] A et D add. καί. — ἀφ' ἑκατέρων] A E et D ἀφ' ἑκατέρου. — πρόεισιν] in A sequitur lacuna, cujus loco D addit: ἄρχι τῶν αἰσχάτων (sic). Mox E καλόν ἐστι, recte. — καὶ ἐν ἑαυτῷ] A haec omisit cum lacuna. D habet καὶ ἄμεινον ἐστι, ὁ δὴ. — καὶ ἔστιν, ὅτι] D καὶ διότι. — οἰκείως] A post οἰκείως etiam lacunam habet, D autem lacunae loco bene: ἔχει πρὸς τὰς νοερὰς. E quoque lacunam habet. — οὗ διανομὴ] A et D bene: ἐστὶ νοῦ διανομὴ. Ita etiam E ex correctione et in margine, cum antea fuisset ἐστὶν οὗ. Tum a prima manu καὶ γὰρ pro ἐκεῖ γὰρ; sed correxit altera. Quod scriptum est ἐπὶ κρόκου, nihili est. Veram lectionem servarunt Codd. A B D ἐπὶ Κρόνου, quod est apud Platonem in Gorgia p. 523. a. Bip. T. IV. Bekk. II, 1. pag. 163. Heindf. p. 263. — διότι καὶ τῶν αἰσθητῶν]

Ἐκεῖ γὰρ πρώτως τὸ κάλλος, κἀκεῖθεν ἐπὶ διότι δὲ ἄμεινον ἀγαθόν ἐστι καὶ μετέχει τῆς πρὸς τὸ νοητὸν αἰτίας· . . . ἄμεινον καὶ τὸ βέλτιον καὶ πάντα τὰ τοιαῦτα τῆς τοῦ ἀγαθοῦ συστοιχείας ἐστίν. Εἴρηται οὖν, ὡς συντόμως εἰπεῖν, ὅτι δεῖ τὸν σύμβουλον ἐν τῇ περὶ τοῦ πολεμεῖν ἢ μὴ πολεμεῖν σκέψει πρὸς τὸ δίκαιον βλέπειν· τοῦτο γάρ ἐστι κριτήριον τῆς διαιρέσεως ταύτης. Ὥςπερ γὰρ ὁ πόλεμος ὑπὸ εἰρήνης καὶ ἡ εἰρήνη τὸ μέτρον ἀπὸ τῆς ἐν οὐρανῷ δίκης ὑποδέχεται καὶ τὸ ἀγαθὸν, οὕτω καὶ τὸ πολεμεῖν ἢ μὴ τῷ δικαίῳ καὶ ἡμῖν κριτέον. Εἰ γὰρ διὰ τὰς ἀδικίας ὁ πόλεμος, τέλος ἐστὶ τοῦ πολέμου τὸ δίκαιον· οὐ γὰρ δὴ νικᾷν, ὡς οἴονταί τινες. Νῖκαι μὲν γὰρ πολλαὶ Καδμεῖαι γεγόνασιν, ὥς πού φησιν ὁ Ἀθηναῖος ξένος, τὸ δὲ δίκαιον ἁπανταχοῦ λυσιτελεῖ τοῖς χρωμένοις, καὶ ὁ μὲν νικήσας μόνον οὔπω καλλίους ποιεῖ τοὺς νικηθέντας· ὁ δὲ τοῦ δικαίου στοχαζόμενος αὐτός τε ἐν ἀγαθοῖς ἐστι καὶ τοὺς πολεμίους ἀμείνους ποιεῖ. Τοῦτο ἄρα τέλος ἐστὶ τοῦ πολέμου, τὸ δίκαιον· μὴ πολεμούντων μὲν ὅρος ἔστω δικαιοσύνη, τῶν δὲ εἰρηνευόντων ἄλλο μεῖζον νοείσθω καὶ τελικώτερον ἀγαθὸν, ἡ φιλία καὶ ἡ ἕνωσις. Τέλος γάρ ἐστιν ἁπάσης ἀρετῆς, καθάπερ οἱ Πυθαγόρειοί φασιν, καὶ ὁ Ἀριστοτέλης, ὀρθῶς εἰπὼν, ὅτι πάντων μὲν φιλίων ὄντων οὐ δεόμεθα δικαιοσύνης· ἐξήρτηται δὲ τὸ ἐμὸν καὶ οὐκ

A cum lacuna omisit *καὶ τῶν αἰσθητῶν*. D lacunae loco *δὲ καλὸν* habet. — *κἀκεῖθεν ἐπὶ*] etiam A et E lacunam habent haec verba sequentem. D lacunae loco: *ἐπὶ πάντα πρόεισι.* Quod placet. — *νοητὸν αἰτίας*] D loco lacunae, quae haec insequitur verba, et quam A et E quoque habent, legit: *τὸ γάρ.* Quod veri est simile. — *ἄμεινον καὶ τὸ βέλτιον*] his verbis B post lacunam pergit. — *περὶ τοῦ πολεμεῖν*] A et B *περὶ τοῦτο πολεμεῖν.* Male. — *κριτήριον*] A *κρητήριον.* — *ὑπὸ εἰρήνης*] A *ὑπὸ εἰρήνην* et in marg. cod. *γρ. σελήνην.* B et D *ὑπὸ σελήνην*, quod probum videtur. — *τὸ μέτρον*] B *καὶ τὸ μέτρον.* — *τὸ νικᾷν*] B *τὸν νικᾷν.* Quae sequitur locutio proverbialis *Cadmea victoria*, eam explicant in Erasmi et all. Adagiis p. 375. Interprr. ad Herodot. I. 166 et Ast. ad Platon. de Legg. I. 11 p. 65. Adde append. ad Etymol. Gud. p. 593. Locus Platonis est in libro primo de Legibus p. 641. c. Bip. T. VIII. Bekk. III. 2. p. 212. — *μὴ πολεμούντων*] D *καὶ πολεμούντων*, quod probum videtur. — *ὅρος ἔστω*] B *ὅρος ἔσται.* Continuatur Ficini versio inde a verbis *Τοῦτο ἄρα τέλος.* — *ὀρθῶς εἰπὼν*] D *ὀρθῶς εἶπεν.* — *φιλίων ὄντων*] cett. cum Ficino *φίλων ὄντων.* Mox Codd. A B et E *ἐξήρηται*, et idem Cod. D ex correctione; quod Ficinus quoque legit, vertens: *quando videli-*

ἐμόν· Ἁπάντων δὲ δικαίων ὄντων ἔτι δεόμεθα τῆς συναγωγοῦ φιλίας. Ὅτι δὲ ἀρχὴ τῶν πολέμων ἐστὶν ἡ ἀδικία, δηλοῖ που καὶ ὁ ἐν τοῖς ἐνύλοις πόλεμος. Μάχεται γὰρ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ οὐχ ὅταν τὸ μὲν ὡδὶ, τὸ δὲ ἀλλαχοῦ τυγχάνει, ἀλλ' ὅταν τὸ ἕτερον ἐθέλῃ τὴν θατέρου καταλαβεῖν ὑποδοχήν. Δεόμενον γὰρ κἀκεῖνο τοῦ ὑποκειμένου μάχεται πρὸς τὸ ἔξωθεν ἐπειςιὸν καὶ ἐκβάλλον αὐτὸ τῆς οἰκείας χώρας, ὅθεν καὶ οἱ μὲν ἐν τῇ φύσει λόγοι σύνεισιν ἀλλήλοις ἀστασιάστως· ἕκαστος γὰρ ἐν ἑαυτῷ ἐστιν. Οἱ δὲ ἔνυλοι, μὴ δυνάμενοι χωρὶς ἀποστῆναι τῆς ὕλης, στασιάζουσι πρὸς ἀλλήλους περὶ τῆς κοινῆς ὑποδοχῆς οὐ δυναμένης ἀμφοτέρους τοὺς ἀντικειμένους λόγους ἀσυγχύτως εἰς ἑαυτὴν χωρεῖν. Μέχρι μὲν δὴ τούτων συνήγαγεν, ὅτι ὁ Ἀλκιβιάδης οἶδε τὸ δίκαιον. Εἰ γὰρ συμβουλεύει περὶ πολέμου καὶ εἰρήνης, πᾶς δὲ ὁ περὶ τούτων σύμβουλος πρὸς τὸ δίκαιον βλέπων ποιήσεται τοὺς λόγους, Ἀλκιβιάδης ἄρα τὸ δίκαιον εἴσεται καὶ τούτου στοχαζόμενος συμβουλεύσει Ἀθηναίοις, εἴτε δεῖ πολεμεῖν εἴτε εἰρήνην ἄγειν. Κατεσκευάσθαι γὰρ ἀμφότερα· καὶ ὅτι ὁ περὶ ἕκαστον σύμβουλος πρὸς τὸ βέλτιον ὁρᾷ, οἷον ὁ περὶ σιτίου πρὸς τὸ ὑγιεινότερον, ὁ περὶ τὸ κιθαρίζειν πρὸς τὸ μουσικώτερον, ὁ περὶ τοῦ παλαίειν πρὸς τὸ γυμναστικώτερον. Διχῶς γὰρ ἀποδίδοται τὸ βέλτιστον, ποτὲ μὲν ἀπὸ τῆς τέχνης, ποτὲ δὲ ἀπὸ τοῦ τέλους· τὰ μὲν ὄργανα καὶ τὰς ὕλας ἀπὸ τοῦ τέλους ὀνομάζο-

*cet sublatum fuerit meum et tuum.* Ad rem consule Aristotelem de Morib. ad Nicom. VIII. 1. Jamblich. de Vita Pythag. cap. 33. p. 185. sqq. Kust. p. 432 sqq. Kiessling. — *τῷ ψυχρῷ*] B *τὸ ψυχρὸν* (sic). — *τυγχάνει*] A et D *τυγχάνῃ*. Bene; et ita etiam Cod. E ex correctione. — *ἐπειςιὸν καὶ ἐκβάλλον*] B *ἐπειδὴ δὲ καὶ ἐκβάλλοντες*. — *ἀποστῆναι*] cett. *ὑποστῆναι*. Fic. vertit: *seorsum a materia permanere*, igitur a cett. librorum partibus stat. — *λόγους ἀσυγχύτως εἰς ἑαυτὴν χωρεῖν*] B *λόγους οὐκ ἀσυγχ. εἰς ἑ. χ.* D *λόγους εἰς ἑαυτὴν χωρεῖν ἀσυγχύτως*. Inde ab hoc loco Fic. omisit unum folium. — *ὁ Ἀλκιβιάδης*] cett. om. *ὁ*, excepto E. — *οἶδε τὸ δίκαιον*] cett. *τὸ δίκαιον οἶδε*, sed E ut noster. — *κατεσκευάσθαι*] A *παρεσκευάσθαι*. B et D *κατεσκεύασται*. Et ita legendum (sic). — *γὰρ ἀμφότερα*] Post haec Codd. B et D inserunt: *καὶ ὅτι τὸ ἐν τῷ πολεμεῖν ἢ μὴ βέλτιον τὸ δικαιότερόν ἐστιν*, quod in ceteris libris propter repetita vocabula *καὶ ὅτι* excidisse videtur. — *περὶ ἕκαστον*] B *περὶ ἑκάστου*. D *περὶ ἕκαστου* (sic). — *τὸ βέλτιστον*] B et D *τὸ βέλτιον*. — *ἀπὸ τῆς τεχνῆς*] D om. *τῆς*. — *καὶ τὸ σιτίον ὑγιεινότερον*] D *ὑγιεινότερον καὶ τὸ σιτίον*.

μεν· τὸ φάρμακον καὶ τὸ σιτίον ὑγιεινότερον καὶ τὸ γυμνάσιον λέγοντες, τὰς δὲ ἐνεργείας ἀπὸ τῆς τέχνης γυμναστικωτέραν καὶ μουσικωτέραν, τήνδε μᾶλλον τὴν κίνησιν ἢ τήνδε, καὶ τήνδε μᾶλλον τὴν ᾠδὴν φάσκοντες εἶναι ἢ τήνδε. Τί οὖν, ἐπειδὴ καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον τοῦ δικαιότερόν ἐστι, πόθεν τοῦτο φήσομεν ἐπωνυμίαν ἔχειν, ἢ καὶ τοῦτο φήσομεν ἀπὸ τῆς ὅλης ἐπιστήμης τῆς πολιτικῆς τὴν προσηγορίαν εἰληφέναι; Δικαιοσύνη γάρ ἐστιν ἐκείνη, καθάπερ καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης δεδήλωκε, τὴν μὲν πολιτικὴν δικαιοσύνην εἶναι πόλεως τιθέμενος, τὴν δὲ δικαιοσύνην πολιτικὴν ἐν τοῖς μέρεσιν ὑφεστῶσαν τῆς ψυχῆς. Εἰ τοίνυν ταὐτόν ἐστι τῇ δικαιοσύνῃ πολιτικῇ, εἰκότως, τὸ δίκαιον ἐνέργημα κατ' αὐτὴν λέγοντες ὀνομάζεσθαι, τὸ ἐν τῇ πολιτικῇ συμβουλῇ βέλτιον οὕτω καλοῦμεν. Ὡς γὰρ τὸ ἐν παλαίειν βέλτιον τὸ γυμναστικώτερον ἦν, ἀφ' ὅλης τῆς γυμναστικῆς ὀνομαζόμενον, οὕτω τὸ ἐν τῷ πολεμεῖν βέλτιον τὸ δικαιότερόν ἐστιν, ἀφ' ὅλης τῆς πολιτικῆς τὴν προσηγορίαν κομιζόμενον.

[ος·] „Πῶς οὖν, ὦ φίλε Ἀλκιβιάδη; πότερον σαυτὸν λέ-„ληθας, ὅτι γε οὐκ ἐπίστασαι τοῦτο, ἢ ἐμὲ ἔλαθες μαν-„θάνων καὶ φοιτῶν εἰς διδασκάλου, ὅς σε ἐδίδασκε δια-„γινώσκειν τὸ δικαιότερόν τε καὶ ἀδικώτερον; καὶ τίς „ἐστιν οὗτος; φράσον καὶ ἐμοὶ, ἵνα αὐτῷ φοιτητὴν προ-„ξενίσῃς ἐμέ. — σκώπτεις, ὦ Σώκρατες." (p. 109. d. Bekk. p. 312.)

— γυμναστικωτέραν] B γυμναστικωτερον (αν superscr.) (sic). — τήνδε μᾶλλον] B τὴν δὲ μᾶλλον. — φάσκοντες εἶναι ἢ τήνδε] A et D ἢ τήνδε φάσκοντες εἶναι. B ἢ τήνδε φάσκων εἶναι. — τοῦ δικαιότερον] B τοῦτο δικαιότερον. D τὸ δικαιότερον, et ita legendum. — ἐπωνυμίαν] cett. bene τὴν ἐπωνυμίαν. — ὑφεστῶσαν] D ἐφεστῶσαν (sic). Tangit autem Noster Socratis disputata in fine libri I de Republ. pag. 348 sqq. Bekkeri. Mox in cod. D λέγοντες ante ὀνομάζεσθαι deletum est. — ἐν παλαίειν] B et D bene ἐν τῷ παλαίειν.

πῶς οὖν] D om. οὖν. — ὅτι γε] D om. γε. — εἰς διδασκάλου] A ἐς διδασκάλου. D ἐς διδάσκαλον. — ἐδίδασκε] D ἐδίδασκε (ε superscr.) (sic). Tum Astius attice διαγιγνώσκειν. — τίς ἐστιν οὗτος] B om. ἐστιν. — προξενίσῃς] D προξενίσεις. In Edd. accuratius scribitur προξενήσῃς. Bekk. scripsit καὶ ἐμέ. — σκώπτεις] B σκόπτει.

Ἡ τῆς ψυχῆς εἰς τὸ σῶμα κάθοδος ἀπέστη μὲν αὐτὴ τῶν θείων ψυχῶν, ἀφ' ὧν νοήσεως ἐπληροῦτο καὶ δυνάμεως καὶ καθαρότητος· συνῆψε δὲ τῇ γενέσει καὶ τῇ φύσει καὶ τοῖς ἐνύλοις πράγμασιν, ἀφ' ὧν ἀναπίπλαται λήθης καὶ πλάνης καὶ ἀγνοίας· Κατελθούσῃ γὰρ καὶ αὐτῇ περιέφυσαν ἐκ τοῦ παντὸς καὶ ζωαὶ πολυειδεῖς καὶ χιτῶνες ποικίλοι, καθέλκοντες μὲν αὐτὴν εἰς τὴν θνητῶν σύστασιν, ἐπιπροσθοῦντες δὲ εἰς τὴν τῶν ὄντων θεωρίαν. Δεῖ τοίνυν τὴν ἐντεῦθεν μέλλουσαν ὀρθῶς ἐπ' ἐκείνην τὴν ἄγρυπνον περιάγεσθαι φύσιν, κοσμῆσαι μὲν τὰς δευτέρας καὶ τρίτας δυνάμεις καὶ συνηρτημένας αὐτῇ, καθάπερ τῷ θαλαττίῳ γλαύκῳ τὰ φύκια καὶ τὰ ὄστρεα· κωλῦσαι δὲ τὰς ἔξω προϊούσας αὐτῆς ὁρμάς, ἀναμνησθῆναι δὲ τῶν ὄντως ὄντων καὶ τῆς θείας οὐσίας, ἀφ' ἧς ἡ κάθοδος καὶ πρὸς ἣν σπεύδειν προσήκει τὴν σύμπασαν ἡμῶν ζωήν. Εἰ δεῖ τὰ δεόμενα τῆς τελειώσεως ἐν ἡμῖν, τό τε ἄλογον, ὃ διελθὸν κοσμεῖσθαι καὶ παιδεύεσθαι πέφυκε, καὶ τὸ προαιρετικόν, ὃ δεῖται τῶν ἀλόγων ὀρέξεων καὶ τῆς πρὸς αὐτὰς ἀποστῆναι συμπλοκῆς, καὶ πρὸς τούτοις τὸ γνωστικὸν

— *ἀπέστη*] D *ἀπέστησε* et ita legit Fic. cujus versio h. l. continuatur p. 238. Vertit enim: *sejunxit quidem illam.* — *αὐτὴ τῶν θείων*] A E et D *αὐτὴν τῶν θείων.* Bene. B *αὐτὴν τῶν θειοτέρων.* — *γενέσει καὶ τῇ φύσει*] D *γενεσιουργῷ φύσει.* Illud legit Fic. — *ἀναπίπλαται*] A *ἀναπίπλανται*, ita etiam E a prima manu; altera delevit literam *ν*. Scr. *ἀναπίμπλαται.* In seqq. Fic. quaedam plane aliter legisse videtur, quam nostri libri exhibent. Vertit enim: „trahentes quidem ipsam in „compositionem caducam, obstantes autem contemplationi separato-„rum. Oportet igitur animam hinc ad naturam illam pervigilem rectam „ducendam, amputare secundas tertiasque vires descendenti subor-„tas, sicut marino glauco, herbae, petrae, conchae." — *καὶ αὐτῇ*] D om. *καὶ.* — *εἰς τὴν τῶν ὄντων*] A *εἰς τὴν ὄντως.* B *εἰς τὴν ὂν τῶν.* D *εἰς τὴν ὄντων.* — *καὶ συνηρτημένας*] cett. *τὰς συνηρτ.*, sed E ut noster. Verbum *κοσμῆσαι*, quod paulo superius legitur, Ficinus reddit *amputare*, ut paene legisse videatur *ἀποκόψαι*, vel consimilis significationis verbum usurpasse. Expressit autem Proclus locum Platonis de Republ. X. pag. 611 sq. p. 300 sq. Ast. p. 497 Bekker. *τεθεάμεθα μέντοι διακείμενον αὐτὸ, ὥςπερ οἱ τὸν θαλάττιον Γλαῦκον ὁρῶντες κτλ.* — *τῷ θαλαττίῳ*] B $\overset{\text{τῶ}}{\text{τὸ}}$ *θαλ.* (sic). — *αὐτῆς ὁρμὰς*] A *αὐτῶν ὁρμὰς* et in marg. *γρ. αὐτῆς.* — *εἰ δεῖ τὰ*] A E et B *εἰ δὴ τὰ.* quod probum videtur. D *εἰ δ'. τὰ* (sic). Ante haec verba desinit Ficini versio. — *ἐν ἡμῖν*] B *ἐνῆν.* — *ὃ διελθὸν*] cett. bene. *ὃ διεθῶν*, sed E hoc in margine habet, illud in contextu. — *τῶν ἀλόγων*] D *τῶν σκόπων.* — *ἀποστῆναι*] B *ὑποστῆναι.*

ἡμῶν, ὃ δεῖται τῆς τῶν ὄντων ἀναμνήσεως· ἄλλο γάρ ἐστι τὸ ἀναμιμνησκόμενον, καὶ ἄλλο τὸ διελθὸν ῥυθμιζόμενον, καὶ ἄλλο τὸ νουθετήσεσι καὶ διδασκαλίαις συμμετρότερον γιγνόμενον. Δεῖ δὲ καὶ τὴν παιδείαν σύμφωνον εἶναι τοῖς τρισὶ τούτοις, καὶ πρῶτον μὲν διὰ τῆς ὀρθότητος ἡμᾶς τελειοῦν τῶν ἐθῶν, ἔπειτα δὲ διὰ τῆς νουθεσίας καὶ τῶν διδασκαλικῶν λόγων, τὸ δὲ τρίτον διὰ τῆς ἀναμνήσεως τοῖς λόγοις ἡμῶν ανακινεῖν καὶ τὴν γνῶσιν τὴν κατ' οὐσίαν ὑπάρχουσαν ταῖς ψυχαῖς ἀνακαθαίρεσθαι. Γένη μὲν οὖν τοσαῦτα καὶ ἡ τάξις αὕτη τῆς τελειώσεως πρόκειται ταῖς εἰς τὰ σώματα πεσούσαις ψυχαῖς. Τούτων δὲ τοιούτων ὄντων τὸ τρίτον διά τε μαθήσεως καὶ εὑρέσεως ἔχει τὸ τέλειον. Οὐ γὰρ ἄλλος ἐστὶν εὑρέσεως τρόπος ἐν ἡμῖν, ἀλλ' ἡ μάθησις ἢ εὕρεσις. Κατ' οὐσίαν μὲν γάρ ἐστιν αὐτοκίνητος ἡ ψυχή, κοινωνήσασα δὲ τῷ σώματι μετέσχε πως τῆς ἑτεροκινήσεως. Ὡς γὰρ τῷ σώματι δέδωκεν αὐτοκινησίας ἴνδαλμα, οὕτω καὶ τῆς ἑτεροκινησίας ἔμφασιν διὰ τὴν περὶ τούτου σχέσιν ἀνέλαβε. Διὰ μὲν οὖν τὴν τῆς αὐτοκινησίας δύναμιν πόριμός ἐστιν ἡ ψυχὴ καὶ εὑρετικὴ καὶ γόνιμος τῶν λόγων καὶ ἐπιστημῶν· Διὰ δὲ τὴν ἑτεροκινησίας ἔμφασιν δεῖταί ποτε τῆς παρ' ἄλλων ἀνακινήσεως, ὅτε δὴ καὶ αἱ μὲν τελειότεραι τῶν ψυχῶν εὑρετικώτεραι μᾶλλόν εἰσιν, αἱ δὲ ἀτελέστεραι πλειόνως ἐνδεεῖς τῆς ἔξωθεν βοηθείας· Αἱ μὲν γὰρ μᾶλλόν εἰσιν αὐτοκίνητοι καὶ ἧττον

— τὸ διελθὸν] cett. item bene τὸ δι' ἐθῶν, sed E ut supra. — συμμετρότερον] B μετρούμενον. — γιγνόμενον] A γενόμενον. A et D γινόμενον. — ἡμᾶς τελειοῦν] A ἡμῶν τελειοῦν et in marg. γρ. ἡμᾶς. — ἔπειτα δὲ] D om. δὲ. — τοῖς λόγοις ἡμῶν] cett. melius τοὺς λόγους ἡμῶν, sed E ex correctione. — γένη μὲν] B γένη μὴν. Paulo inferius ad verba ἐστὶν εὑρέσεως τρόπος Cod. E in marg. habet: „ἴσ. γνώσεως *ut supra* p. 38." [vid. p. 187.] bene. Inde a verbis κατ' οὐσίαν μὲν continuatur Ficini versio p. 239. — ἑτεροκινήσεως] D ἑτεροκινησίας. Et ita scribendum, ut secum consentiat Proclus. Lexica neque hanc neque illam formam habent, a Schneideriano etiam abest αὐτοκινησία. — ἴνδαλμα] cett. ἔσχατον ἴνδαλμα praeter unum Cod. E, sed addendum ἔσχατον, quod agnoscit etiam Fic. — ἑτεροκινησίας ἔμφασιν] A ἑτεροκινήσεως ἔμφασιν. — τὴν περὶ τούτου] D τὴν περὶ τοῦτο. — καὶ ἐπιστημῶν] D καὶ ἐπιστήμης. — εὑρετικώτεραι μᾶλλον] De hac redundantiâ consule Thom. Magistr. p. 596. ibiq. Interprr. Weiskii Pleonasmi gr. pag. 163. et Apollonium de Syntax. I. 28 p. 58 sq. et III. 21 p. 247 Bekkeri.

ἀναπεπλησμέναι τοῦ χείρονος, αἱ δὲ ἧττον αὐτοκίνητοι καὶ μᾶλλον ἐκ τῆς σωματικῆς φύσεως παθοῦσαι, προϊοῦσαι δ' ὅμως ἐν τῷ τελειοῦσθαι, καὶ αὗται καὶ τοῦ σώματος ἀνεγειρόμεναι καὶ συλλέγουσαι τὰς ἑαυτῶν δυνάμεις ἀπὸ τῆς ὕλης, γονιμώτεραι γίνονται καὶ εὑρετικώτεραι τούτων, περὶ ἃ πρότερον ἦσαν ἄγονοι καὶ ἄποροι διὰ τὴν ἐκ τῆς ὕλης ἐφέλκουσαν ἀργίαν καὶ τὴν ἀζωΐαν καὶ τὸν ἐκ τῆς γενέσεως κάζον. Ἡμεῖς μὲν οὖν οὑτωσὶ τὴν μεσότητα φυλάττοντες τῆς λογικῆς ἀποδίδομεν τὰς αἰτίας καὶ τῶν ἀτελεστέρων ἐν αὐτῇ καὶ τῶν τελειοτέρων ἕξεων καὶ τὰς ὁδοὺς τοιαύτας εἶναί φαμεν τῆς τελειώσεως αὐτῶν. Ὅσον δὲ κατὰ τὸ κρεῖττον ἵστανται τῆς μεσότητος ἢ κατὰ τὸ χεῖρον, ἀποπίπτουσι τῆς περὶ τούτων ἀληθείας. Οὔτε γὰρ ἐκείνους ἀποδεξόμεθα τοὺς λόγους, ὅσοι φασὶ τὴν ψυχὴν, εἰς ὑγρὸν ἀφικομένη σῶμα, κἀντεῦθεν ἐπιπροςθουμένην, ἀνόητον εἶναι κατ' ἀρχὰς, αὖθις δὲ τῆς ὑγρότητος ἐξατμιζομένης διὰ τῆς ἐμφύτου θερμότητος καὶ συμμετροτέρας γενομένης ἀνανεοῦσθαι κατὰ τὸ φρόνιμον ἑαυτῆς· (οὗτος γὰρ ὁ τῆς τελειώσεως τρόπος σωματικός ἐστι καὶ ἔνυλος καὶ ταῖς κράσεσι τοῦ σώματος ἑπομένην ὑποτίθεται τὴν τελειότητα τῆς ψυχῆς, καίτοι καὶ πρὸ τῶν στοιχείων καὶ

— *αἱ δὲ ἧττον*] B *ἀλλ' ἧττον.* — *προϊοῦσαι*] B *καὶ προϊοῦσαι.* — *δ' ὅμως*] B *δὲ ὅμως.* — *ἐφέλκουσαν*] cett. *ἐφήκουσαν*, et ita Fic. vertens: *contingentem.* Ceterum *ἐφέλκειν* hoc sensu frequens apud philosophos. Eustath. ad Odyss. XIV. 350 p. 546 Basil. *καὶ τὸ σῶμα οἱ σοφοὶ συμβολικῶς παροιμίας λόγῳ ἐφόλκιόν φασιν, ὡς μεγάλῃ τινὶ ἐφελκόμενον νηΐ, τῇ ψυχῇ.* Alia exempla apposui ad Plotin. de pulcr. p. 251 sqq. — *τὴν ἀζωΐαν*] D om. *τήν.* — *κάζον*] cett. *κάρον*, sed E nonnisi ex correctione, cum antea fuisset *κάζον*, quae vox nihili est. De voce *κάρος* ejusque significatione vide medicos graecos et Lexicographos Etymol. M. Suid. Phavorin. Polluc. Onom. IV, 184. Apollon. Lex. Hom. s. v. ib. Villoison. [p. 389. Toll. cf. Apoll. Argon. 2, 203 ibiq. Heyn.] et Clarkium ad Iliad. *ι*, 378. coll. Scholl., quamquam vox *καρὸς* apud Homerum sit genitivus et distinguenda a *κάρος.* — Paulo inferius Fic. *τῆς λογικῆς* vertit *naturae rationalis*, legit igitur *λογικῆς φύσεως*, quod placet. — *τῶν ἀτελεστέρων*] B om. *τῶν.* — *τελειοτέρων*] B *τελειωτέρων.* — *ὅσον δὲ*] A *ὅσου δὲ.* D *ὅσοι δὲ.* Et ita legit etiam Fic. Merito. — *ἵστανται*] B *ἵσταται.* — *ὅσοι φασὶ*] B *ἤ σοι φασί.* — *ἀφικομένη*] A E et D *ἀφικομένην*, et ita Fic. ut legendum est. B *ἀφικόμενοι.* [de *κἀντεῦθ. ἐπιπροςθ.* cf. p. 235.] — *ἀνανεοῦσθαι*] B *ἀναεοῦσαι.* in marg. cod. D legitur: *καὶ μὴν οὕτως λέγει ὁ Πλάτων ἐν τῷ Τιμαίῳ, ὃν σὺ ἐξηγ....* (sic). Videtur hic glossator significare locum Platonis in Timaeo pag. 86 [praecipue extremâ] Bip. T. IX. Bekk. III. 2. p. 130.

πρὸ τῆς γενέσεως ὅλης τὴν ὑπόστασιν αὐτῆς ἐχούσης καὶ ζωῆς οὔσης ἀμιγοῦς πρὸς τὸ σῶμα καὶ τὴν φύσιν·) οὔτε αὖ ἐκείνους, ὅσοι μέρος μὲν εἶναι τῆς θείας οὐσίας λέγουσι τὴν ψυχὴν, ὅμοιον δὲ τῷ ὅλῳ τὸ μέρος καὶ ἀεὶ τέλειον, τὸν δὲ θόρυβον εἶναι καὶ τὰ πάθη περὶ τὸ ζῶον. Οἱ γὰρ ταῦτα λέγοντες ἀεὶ τελείαν ποιοῦσι τὴν ψυχὴν καὶ ἐπιστήμονα καὶ μηδέποτε δεομένην ἀναμνήσεως, καὶ ἀεὶ ἀπαθῆ καὶ μηδέποτε κακυνομένην, καίτοι γε ὁ Τίμαιος οὐδὲ τὴν οὐσίαν ἡμῶν ἐκ πρώτων φησὶν ὑφεστάναι πάντη τῶν γενῶν, ὥςπερ τὰς κρείττους ἡμῶν ψυχὰς, ἀλλ' ἐκ δευτέρων καὶ τρίτων, καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης μεμίχθαι φησὶ τὰς δυνάμεις ἡμῶν, πρὸς τὸ ἐναντίον τῷ ἀγαθῷ καὶ μάχης ἀναπεπλῆσθαι πρὸς ἀλλήλας, καὶ διὰ τοῦτο ποτὲ μὲν τὰς ἀμείνους κρατεῖν, ποτὲ τὰς χείρονας. Καὶ τί δεῖ πολλὰ λέγειν; ὅπου γε καὶ τὸν ἡνίοχον κακύνεσθαί φησιν ὁ αὐτὸς, οὗ δὴ κακίᾳ ἡνιόχου πολλαὶ μὲν χολεύονται (scr. χωλεύονται,) πολλαὶ δὲ πολλὰ πτερὰ θραύονται· καίτοι τί σεμνότερόν ἐστιν ἐν ἡμῖν τῆς ἡνιοχητικῆς δυνάμεως; Αὐτὴ δὴ οὖν ἐστι καὶ ἡ ἀναμιμνησκομένη τῶν θείων καὶ ταῖς δευτέραις καὶ τρίταις δυνάμεσιν ὑπουργοῖς χρωμένη πρὸς τὴν ἀνάμνησιν, καὶ ταῦτα ἐν Φαίδρῳ λέγεται σαφῶς. Ἀλλ' οὖν, ὅπερ ἐλέγομεν, φυλακτέον τὰ μέτρα τῆς ψυχῆς καὶ τοὺς περὶ τῆς τελειώσεως λόγους, οὔτε ἀπὸ τῶν σωματικῶν ἐπ' αὐτὴν ἀναθετέον οὔτε ἀπὸ τῶν θείων εἰς αὐτὴν καθελκυστέον, ἵνα δὴ τοῦ Πλάτωνος ὦμεν ἐξηγηταὶ καὶ μὴ πρὸς ἰδίας ὑπευθύνωμεν τὰς τοῦ φιλοσόφου ῥήσεις. Ἐπειδὴ τοί-

*ὅσοι μέρος*] D om. *μέρος*. Proxime Ficinus: „Neque rursum *admittimus* eos." Nimirum haec cogitando integranda sunt ex superioribus: *οὔτε γὰρ ἐκείνους ἀποδεξόμεθα*. — *περὶ τὸ ζῶον*] D *περὶ τὰ ζῶα*. — *οἱ γὰρ ταῦτα*] B *οὐ γὰρ ταῦτα*. — *καὶ ἐπιστήμονα*] cett. inserunt *ἀεί*. Et ita legit quoque Fic. — *ἀναμνήσεως*] D *ἀνακινήσεως*. — *ἐκ πρώτων*] B *ἐκ πρώτως*. In sequentibus Proclus significat egregiam illam, quam Plato Phaedro intexuit, fabulam de equis, atro et albo, et de ratione, eorum auriga; p. 246 sqq. Bip. T. X. Bekk. I. 1. p. 39 sqq. — *πάντη τῶν*] B *πάντων*. — *τὰς κρείττους*] A *τοὺς κρείττους*. — [*κρατεῖν, ποτὲ*. addendum videtur: *δὲ*.] — *ἡνιοχητικῆς*] B *ἡνιοχιτικῆς*. Neutram formam habet Schneiderus in Lexico, sed *ἡνιοχικός*. Et fortasse legendum *ἡνιοχικῆς*. — *ἀπὸ τῶν σωματικῶν*] B *ἀπὸ τῶν σωματικῶς*. — *τῶν θείων*] A *τῶν θείαν*. Videtur significare in Platonis dialogo modo laudato p. 249. d. Bekk. p. 46. — *καθελκυστέον*] D *ἀνθελκυστέον*.

νυν καὶ ἀτελής ἐστιν ἡ ψυχή ποτε καὶ αὖθις τελειοῦται, καὶ λήθην ἴσχει τῶν θείων καὶ αὖθις ἀναμιμνήσκεται, δῆλον δή, ὅτι καὶ ὁ χρόνος συντελεῖ πρὸς τὴν τελείωσιν αὐτῆς. Πῶς γὰρ ἂν ἐξ ἀφροσύνης μετέβαλεν εἰς φρόνησιν, καὶ ὅλως εἰς ἀρετὴν ἀπὸ κακίας, μὴ κατὰ χρόνον ποιουμένη τὰς μεταβάσεις; Πᾶσα γὰρ μεταβολὴ κατὰ χρόνον ὑφέστηκεν.

[οζ.] Ταῦτα μὲν εἰρήσθω καθόλου περὶ τῆς τελειώσεως τῶν ψυχῶν. Λάβωμεν δὲ ἐκ τούτων τό γε τοσοῦτον, ὅτι δεῖ καὶ τὸν εἰδότα τὸ δίκαιον ἐξ ἀγνοίας εἰς τὴν γνῶσιν αὐτοῦ μεταβεβηκέναι, καὶ οὔτε ἀεὶ τὸν τοῦ δικαίου λόγον πρόχειρον ἔχειν, ὥςπερ τὰ κρείττονα ἡμῶν, (ἀτελεῖς γὰρ φυόμεθα τὴν πρώτην·) οὔτε διὰ τὴν τοῦ σώματος μεταβολὴν καὶ τὴν τούτου γνῶσιν ἡμῖν συνεληλυθέναι. Οὐ γάρ ἐστιν ἡ οὐσία ἡμῶν σωματοειδὴς καὶ ἐκ τῶν ἐνύλων ὑφεστῶσα γενῶν. Λείπεται ἄρα μάθησιν ἢ εὕρεσιν προκεῖσθαι τῆς γνώσεως. Εἰκότως δὴ οὖν ὁ νεανίσκος ἀπαιτεῖται, τίς ὁ τῆς μαθήσεως αἴτιος αὐτῷ καὶ πόθεν ἔγνω τὸ δίκαιον, εἴπερ ἔγνω· Δεῖ γάρ, ὡς πολλάκις εἴρηται, τῆς μὲν παρ' ἄλλου γνώσεως ἐνδοθείσης αὐτὴν ἡγεῖσθαι τὴν μάθησιν, τῆς δὲ μαθήσεως τὸν διδάσκαλον. Ἡ μὲν γὰρ μάθησις κίνησίς ἐστι, πᾶσα δὲ κίνησις δεῖται τῆς κινούσης αἰτίας. Δεῖ τοίνυν καὶ τοῦ διδάσκοντος· οὗτος γάρ ἐστιν ὁ τῆς μαθήσεως αἴτιος· Τούτων μὲν οὖν ὃ πάντων ἐστὶν ἀληθέστατον, τοῦ δὲ τῆς Σωκρατικῆς ἐρωτήσεως ἐμμελὲς καὶ τὸ πραῦνον τοὺς ἐλέγχους ἔξεστιν ἐν τούτοις ὁρᾷν. Πρῶτον μὲν γὰρ διὰ τοῦ φίλον τὸν ἐλεγχόμενον προςειπεῖν προκαταλαμβάνει τὴν λύπην τῇ οἰκειώσει καὶ ἅμα δείκνυσιν, ὅτι καὶ τέλος αὐτῷ τῆς καθάρσεως ἡ φιλοσοφία, ὅτι οὐδεὶς θεὸς δύςνους ἀνθρώποις. Οὐκοῦν οὐδὲ αὐτὸς δυςνοίᾳ

εἰρήσθω] cett. οὖν εἰρήσθω, excepto E, sed placet additum οὖν. — εἰς τὴν γνῶσιν αὐτοῦ] D εἰς γνῶσιν αὐτόν. — μεταβεβηκέναι] D μεταβεβληκέναι. — σωματοειδὴς] B τοῦ σώματος. Interrumpitur h. l. Ficini versio, neque continuatur nisi quinque foliis interjectis. — μάθησιν] B καί φησίν. — ἀπαιτεῖται] cett. add. λέγειν, excepto E. Sed aegre careremus illa voce. — τούτων μὲν οὖν] D τοῦτο μὲν οὖν. — ὃ πάντων] B et D ἁπάντων. — ἀληθέστατον] B ἀληθέστατος. — τοῦ δὲ τῆς] cett. τὸ δὲ τῆς. Bene. — τὸ πραῦνον] B τὸ πραῦναι. [scr. πραῦνον]. — πρῶτον μὲν γὰρ] haec om. in B. — τῇ οἰκειώσει] B τῆς οἰκειώσεως. — ἡ φιλοσοφία] B φιλία. D ἡ φιλία. — τοιοῦτον] A τοιαυτόν. Locus est in Plat. Theaet. p. 151. c. d. Bip. T. II. Hndf.

τοιοῦτον οὐδὲν δρᾷ, καθάπερ εἴρηκεν ἐν Θεαιτήτῳ, καὶ, ὅτι ἐν θεοῖς τὸ καθαῖρον, δι' ἀγαθότητα προτείνει τὴν κάθαρσιν τοῖς ἀτελέσιν, ἀλλ' οὐ διὰ τὴν πρὸς αὐτὰ ἀλλοτριότητα. Δεύτερον δὲ, ὅτι οὐκ ἀποφατικῶς εἰςήγαγε τὸν ἔλεγχον, λέγων· ἀλλὰ μὴν οὐκ οἶσθα τὸ δίκαιον· οὔτε γὰρ ἔμαθες οὔτε εὗρες· ἀλλὰ ἀνερωτῶν αὐτὸν ποιεῖ φωρᾶσαι τὴν αὑτοῦ πλάνην, καὶ τὴν σιώπησιν ἐμμελῆ προςάγει· ἆρα ἔλαθές με μανθάνων τὴν τοῦ δικαίου φύσιν, καὶ τίς ἐστιν οὗτος ὁ διδάσκαλός σου; Τρίτον, ὅτι καὶ ἑαυτὸν συντάττει τῷ νεανίσκῳ, ὡς ἂν καὶ αὐτὸς ἀγνοῶν τὸ δίκαιον· φράσον γάρ φησιν ἐμοὶ τὸν τοιοῦτον διδάσκαλον, ἵνα αὐτῷ φοιτητὴν προξενίσης ἐμέ. Διὰ ταύτης τοίνυν τῆς συντάξεως λεαίνει τοῦ ἐλέγχου τὸ πληκτικὸν καὶ πραΰνει τὸ σφοδρὸν καὶ φορητὸν ἀποτελεῖ τὸ ἀλγεινόν. Ταῦτα καὶ περὶ τοῦ τρόπου τῶν λόγων· τῶν δὲ καθ' ἕκαστον ῥημάτων τὸ μὲν ἑαυτὸν λέληθας οἰκεῖόν ἐστι τῷ ἑαυτὸν ἀγνοοῦντι. Πανταχοῦ γὰρ τὸ λανθάνον ἀγνοίας αἴτιόν ἐστιν. Ἅμα οὖν κἀκεῖνο δῆλον, ὅτι διὰ λήθης ἡ ἄγνοια. Τὸ δὲ εἰ ἐμὲ ἔλαθες μανθάνων εἰς ἀδύνατον περιέστησε τὸν λόγον. Προείρηται γὰρ, ὅτι οὔτε νύκτωρ, οὐ μεθ' ἡμέραν ἐλάνθανεν αὐτὸν οὐδαμοῦ φοιτῶν. Ὥςπερ οὖν ἀδύνατόν ἐστι τὸν ἀγαθὸν δαίμονα λαθεῖν ἡμᾶς διανοουμένους, οὕτω δὴ καὶ τὸν Σωκράτην κατ' οὐδεμίαν κίνησιν ὁ νεανίσκος ἐλάνθανεν, ὅπου γε καὶ τὰς ἔνδον αὐτοῦ κινήσεις τάς τε διανοητικὰς καὶ

p. 312. Bekk. II. 1. p. 194 sq. — *οὐκ οἶσθα τὸ δίκαιον … οὔτε εὗρες, ἀλλὰ*] haec om. in B. — *φωρᾶσαι*] B *φράσαι*. [*αὑτοῦ* pro *αὐτοῦ*. Viger. p. 165. VI. Lex. Xenoph. s. v. p. 487. ubi et *οὐκ αὐτ. ἐπ' αὐτ.* pro *οὐχ* et *ἐφ' αὐτ.* quod difficilius mutatu. Charit. p. 123. 5. p. 224. d'Orv. Apoll. Synt. p. 113. 5. Bekk. qui contra „plerosque" codd., v. varr. lectt., male mutavit, quamvis jam Reiz. mutare voluit. de accent. incl. p. 16. item Heyn. in Apollodoro II. 5. 1. invitis codd. ms.] — *σιώπησιν ἐμμ.*] cett. *ἐρώτησιν ἐμμ.*, sed E ut noster. Mox ad *τὴν τοῦ δικαίου φύσιν* — *τὸ δίκαιον* v. annot. ad Plotin. de pulcr. p. 139 sq. — *διδάσκαλός σου*] B om. *σου*. — *συντάττει*] B *συντάττειν*. — *τοιοῦτον διδάσκαλον*] cett. *τοῦτον διδάσκ.*, sed E ut noster. — *προξενίσης*] A *προξενίσεις*. Leg. ut supra monuimus, *προξενήσῃς*, ex Plat. et ex D. — *καθ' ἕκαστον*] D *καθ' ἕκαστα*. — *εἰ ἐμὲ ἔλαθες*] cett. bene *ἢ ἐμὲ ἔλαθες*, excepto E. — *οὐ μεθ' ἡμέραν*] Omnes libri conspirant in hanc lectionem; in Edd. est (p. 106. e. Bekk. p. 306. Ast. c. 3. p. 114) *οὔτε γε νύκτωρ οὔτε μεθ' ἡμέραν*. Bekk. vero edidit *οὔτε νύκτωρ*.

τὰς ὀρεκτικὰς πάσας ἀνέπλωσε. Τὸ δὲ φοιτᾶν εἰς διδασκάλου τὴν ἐπιστροφὴν ἐνδείκνυται τῶν τελειωθησομένων πρὸς τὸν μέλλοντα τελειοῦν. Οὐ γάρ ἐστιν ἡ ψυχὴ τοιοῦτον, οἷον τὸ σῶμα πάσχον ἔξωθεν μόνον, ἀλλὰ καὶ ἑαυτὴν ἐγείρει πρὸς τὸ τέλειον καὶ προσάγει τῷ δυναμένῳ πληροῦν. Τό γε μὴν διαγινώσκειν τὸ δικαιότερον καὶ ἀδικώτερον ἐνδείκνυται μὲν, ὅτι τῶν ἐναντίων ἡ αὐτή ἐστιν ἐπιστήμη, καὶ ὡς ὁ τὸ ἕτερον δυνάμενος διαγνῶναι καὶ θατέρου κριτής ἐστιν ὀρθός· ἐνδείκνυται δὲ καὶ, ὅτι ταῦτα (τὸ δίκαιον λέγω καὶ ἄδικον) ἀορίστως ὑπὸ τῶν τῇδε μετέχεται κατὰ τὸ μᾶλλον καὶ ἧττον. Ὁ δὲ τῆς ἐπιστήμης λόγος διακρίνει τὸ διάφορον τῆς μεθέξεως· οὐ γὰρ εἶπεν, ὅς σε ἐδίδαξε τὸ *δίκαιον* καὶ τὸ *ἄδικον*, ἀλλὰ τὸ *δικαιότερον* καὶ *ἀδικώτερον*, ἃ δὲ τὸ μᾶλλον συνεισφέρει καὶ ἧττον· τὸ δὲ *ἵνα αὐτῷ φοιτητὴν προξενίσῃς ἐμὲ* μὴ μόνον εἰρωνείαν νοήσωμεν, ἀλλὰ ἀλήθειαν. Οὐδὲ γὰρ ἂν ὁ Σωκράτης ἀπέφυγεν ἀκρόασιν τοῦ ἐπιστήμονος. Ὡς γὰρ τὰ θεῖα, κἂν τῆς ἢ τάξεως, ἀλλήλοις συνήνωνται καὶ πληροῖ ἄλληλα ἀγαθοειδῶς, οὕτω καὶ οἱ ἐπιστήμονες, κἂν τὴν αὐτὴν ἔχωσιν ἕξιν, διὰ τῆς ὁμοιότητος συνάπτονται ἀλλήλοις καὶ χαίρουσιν εἰς ἀλλήλους τε καὶ ἑαυ-

— *ἀνέπλωσε*] Codd. A B et E *ἀνήπλωσε*, quod est Procli. Ex uno Dioscoride (II. 189) hoc verbum proferunt recentiores Lexicographi, ubi est *expando*, *explico*, physice. Similiter usurpat Symmachus Esaj. XXV. 11 cf. Biel. Thes. in voc. et Schleusn. in nov. Test. Pariter Theodoretus et Chrysostomus simplex verbum usurpant. v. c. *ἁπλῶσαι τὴν χεῖρα* I. p. 1564 ed. Schulz. cf. IV. p. 159. Chrysostomus Homil. III. p. 390 B. p. 32 ed. Matthaei: *εἶτα (τὸ σπέρμα) γενόμενον διάβροχον, καὶ διαφυσηθὲν δράξηται τῆς παρακειμένης γῆς, καὶ εἰς ἶνας πολλὰς ἀναπλωθὲν πρὸς τὸ βάθος καταπέμψῃ τὰς ῥίζας κτλ.* ubi cf. Matthaei not. Dionysius Areopagita de caelest. hierarch. I. §. 1. *simplificandi* significatu posuit hoc verbum; ubi vid. Corderii annot. et eundem Vol. II. p. 508. In Procli hoc loco est: *simplex reddere atque explicare* quidquid in animi cogitationibus cupiditatibusque complicatum, duplex dubiumque est. — *τὸ δὲ φοιτᾶν*] cett. *τὸ δὲ φοιτῶν*. — *καὶ ἄδικον ἀορίστως*] B om. *καί*. — *μετέχεται*] B *μάχεται*. — *ὅς σε ἐδίδαξε*] D *ὅς σε ἐδίδασκε* (ξε superscr.) (sic). — *ἃ δὲ τὸ μᾶλλον*] cett. bene *ἃ δὴ τὸ μᾶλλον*, sed E. *δέ*. Tum leg. *τὸ ἧττον*. — *προξενίσῃς*] A et B *προξενῆ* (sic). D *προξενήσῃς*, ut est in Edd. — *ἀλλὰ ἀλήθειαν*] B et D bene inserunt *καί*. — *κἂν τῆς ἢ*] cett. recte *κἂν τῆς αὐτῆς ᾖ*. — *ἔχωσιν ἕξιν*] B *ἔχωσι τάξιν*. — *συνήνωνται*] D *συνήνωται*. — *χαίρουσιν εἰς*] B *χείρωσιν* omisso *εἰς*.

τοὺς ἀποβλέποντες. Τὸ δὲ ἐπίλοιπον δὴ τὸ τοῦ νεανίσκου ῥῆμα τὸ **σκώπτεις, ὦ Σώκρατες,** ἤδη τῆς τοῦ Σωκράτους δυνάμεως καὶ διανοίας συνησθημένου· οἴεται γὰρ ἀνενδεῶς ἔχοντα αὐτὸν καὶ ἐπιστήμονα ὄντα προςποιεῖσθαι διδασκάλου χρήζειν, ἵνα τὴν περὶ αὐτὸν ἔνδειαν ἐλέγξῃ καὶ τὴν ἀπορίαν τὴν περὶ τῶν ἀδίκων καὶ δικαίων. Καὶ ἔστι τοῦτο τοῖς πράγμασι σύμφωνον· ὡς γὰρ τοῦ θεοῦ πάντα ἀμερίστως ποιοῦντος ἡ ὕλη δέχεται μὲν εἰς ἑαυτὴν, ὡς δι' αἰῶνος ἐνεργοῦντος ἐκείνου, μετέχομεν δὲ ἡμεῖς κατὰ χρόνον· οὕτω δὴ καὶ τοῦ Σωκράτους ἀγαθοειδῶς πάντα καὶ ἀληθινῶς λέγοντος ὁ νεανίσκος ἀλλοίως ὑποδέχεται τοὺς λόγους, σκώπτεσθαι νομίζων καὶ ὀνειδίζεται τῆς ἀπορίας ἕνεκα, καίτοι τοῦ Σωκράτους ἕνεκα λέγοντος.

[οη.] „Οὐ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ὃν ἐγὼ „ἥκιστα ἂν ἐπωρκήσαιμι· ἀλλ' εἴπερ ἔχεις, εἰπέ τίς „ἐστι. — τί δ', εἰ μὴ ἔχων; οὐκ ἂν οἴει με ἄλλως εἰδέ„ναι περὶ τῶν δικαίων καὶ ἀδίκων; — καὶ εἴγε εὕροις. „— ἀλλ' οὐκ ἂν εὑρεῖν γε ἡγῇ; — καὶ μάλα γε, εἰ „ζητήσεις. — εἶτα ζητῆσαι οὐκ ἂν οἴῃ με; — ἔγωγε, „εἰ οἰηθείην γε μὴ εἰδέναι. — εἶτα οὐκ ἦν, ὅτε εἶχον „οὕτω; — καλῶς λέγεις· ἔχεις οὖν εἰπεῖν τοῦτον τὸν „χρόνον, ὅτε καὶ οὐκ ᾤου εἰδέναι, ἢ ᾤου; καὶ τἀληθῆ

— *τὸ δὲ ἐπίλοιπον*] A et D *τὸ δ' ἐπίλοιπον*. B *τὸ δέτιλοιπὸν*. — *τὸ σκώπτεις*] A *τὸ σκώπτειν*. — *ἤδη τῆς τοῦ Σωκρ. δυνάμεως καὶ διανοίας συνησθ.*] cett. *ἤδη συνηθ. τῆς τοῦ Σωκρ. δυνάμεως καὶ ἐπιστήμης*, sed E ut noster. Utcumque scribas, desideratur *ἐστίν*. — *εἰς ἑαυτὴν ὡς*] A E et B *εἰς αὐτὴν, ὡς*. — *ἀλλοίως ὑποδέχεται*] B *ἀλλ' οἴως ὑποδέξερα* (χε superscr.) (sic). — *ὀνειδίζεται*] cett. *ὀνειδίζεσθαι*. Recte. — *ἕνεκα λέγ.*] D *οὐ τούτων ἕνεκα λέγ.* Optime.

*Οὐ μὰ τὸν φίλιον*] D *μὰ τὸν φίλιον*. Et ita est in Edd. Ibidem mox *ἥκιστ' ἄν*. — *εἰπέ τίς ἐστι*] A et B recte *εἰπὲ τίς ἐστιν κτλ.* omiss. sqq. usque ad *ἀληθῆ λέγων*. — *μὴ ἔχων*] D *μὴ ἔχω*, ut in Edd. — *καὶ εἴγε*] D *ναί, εἴγε*, item ut Edd. Mox pro *εὑρεῖν γε ἡγῇ* est in Edd. *εὑρεῖν με ἡγῇ* (Ast. et Bekk. *ἡγεῖ*). Pro *ζητήσεις* item *ζητήσαις*. — *ἂν οἴῃ με*] D et E *ἂν οἴει με*, ut Edd. Recte. — *οἰηθείην γε*] D *οἰηθείης σε*, ita etiam E a prima manu; sed altera correxit. In Edd. est *οἰηθείης γε*. — *ὅτε εἶχον οὕτω*] D *ὅτε εἶχον οὕτως*. Bene; ut Edd. — *ὅτε καὶ οὐκ ᾤου*] D et E cum Edd. om. *καὶ* et post *εἰδέναι* addunt: *τὰ δίκαια καὶ τὰ ἄδικα; φέρε πέρυσιν ζήτεις τε καὶ οὐκ ᾤου εἰδέναι.*

„ἀπόκριναι, ἵνα μὴ μάτην οἱ διάλογοι γίνωνται. — ἀλλ' „ᾤμην εἰδέναι. — τρίτον δὲ ἔτος καὶ τέταρτον καὶ πέμ- „πτον οὐχ οὕτως; — ἔγωγε. — ἀλλά γε μὴν τόγε πρὸ „τοῦ παῖς ἦσθα· ἦ γάρ; — νῦν τότε μέντοι εὖ οἶδας, „ὅτι ᾤου εἰδέναι. — πῶς εὖ οἶσθα; — πολλάκις ἐκ δι- „δασκάλων ἤκουον παιδὸς ὄντος καὶ ἄλλοθι, καὶ ὁπότε „ἀστραγαλίζεις ἢ ἄλλην τινὰ παιδιὰν παίζοις, οὐχ ὡς „ἀποροῦντος περὶ τῶν δικαίων καὶ ἀδίκων, ἀλλὰ μάλα μέγα „καὶ θαρσαλέως λέγοντος περὶ ὅτου τύχοις τῶν παίδων, „ὡς πονηρός τε καὶ ἄδικος εἴης καὶ ὡς ἀδικοίη, ἀληθῆ „λέγων." (p. 109. e. Bekk. p. 312 — 314.)

Ἐξαίρει τοῦ νεανίσκου πᾶσαν ὑπόνοιαν ὁ Σωκράτης, ἀφ' ἧς οἴεται δυςκολώτερον αὐτὸν ἕξειν πρὸς τὰ παρ' αὐτοῦ λεγόμενα καὶ ἀλλοτριώτερον ἔσεσθαι πρὸς αὐτὸν, ἵνα δὴ καὶ τοὺς ἐλέγχους εὐμενῶς παραδέξηται, καὶ τὸ ὅλον πατρικὴν εἶναι νομίσῃ τὴν παρ' αὐτοῦ πᾶσαν εἰς αὐτὸν προϊοῦσαν ἐνέργειαν. Οὐδὲ γὰρ ἄλλως δυνατὸν τὸ ἀτελέστερον ὠφελείας ὑπ' ἄλλου τυχεῖν ἢ πιστεῦσαν ἔννουν εἶναι τὸ τὴν τελειότητα προτεῖνον. Οὕτω γὰρ καὶ τὸ θεῖον ἐφετὸν ἡμῖν ἐστιν, ἵνα μεταδιδόναι δύνηται τῶν ἀγαθῶν. Ἐξαίρει μὲν οὖν, ὅπερ ἔφην, διὰ ταῦτα τὰς τῆς δυςκολίας προφάσεις, ὥςπερ ἰατρὸς ἀγαθὸς τὰ ἐμπόδια τὰ πρὸς τὴν θεραπείαν ἐκκόπτων, ἀπὸ τῆς τοῦ νεανίσκου ψυχῆς. Ἡ δὲ ὑπεξαίρεσις αὕτη διὰ φιλίας πρόεισι καὶ ταυτότητος καὶ κοινωνίας. Ὡς γὰρ τὰ ψυχρὰ διὰ θερμότητος καὶ ὅλως τὰ ἐναντία διὰ τῶν ἐναντίων ἐκβάλλομεν,

— ἀπόκριναι] D ut Edd. ἀποκρίνου. E ἀπόκρινον. — πρὸ τοῦ] D προτοῦ. Ante haec in Edd. legitur ἀλλὰ μὴν, omisso γε. Bekk. edidit πρὸ τούτου. — νῦν τότε μέντοι] D ναί. — τότε μέντοι et ita Edd. nisi quod scribitur μὲν τοίνυν. — εὖ οἶδας] D εὖ οἶδα. Bene. — ἐκ διδασκάλων] D ἐν διδασκάλων. Edd. πολλάκις σου ἐν διδασκάλων. Paulo inferius scribitur ibid. θαῤῥαλέως — ἀστραγαλίζεις] D ἀστραγαλίζοις, et ita Edd. — ἄδικος εἴης] A ἄδικος εἴη, ut Plato. — ἀληθῆ λέγων] D οὐκ ἀληθῆ λέγων. In Edd. est: ἀδικοίη· ἢ οὐκ ἀληθῆ λέγω; Neque aliter scribi potest salvo sensu. Bekk. edidit ἀδικοῖ -- αὐτὸν ἕξειν] B αὐτὸν ἕξει. — ὑπ' ἄλλου τυχεῖν] A ἀπ' ἄλλου τυχεῖν. B ἐπ' ἄλλου τυχεῖν. D ἀπ' αὐτοῦ τυχεῖν. — ἢ πιστεῦσαν] B ἠπίστησαν. D ἢ πιστεῦσαι. — ἔννουν] cett. εὔνουν. Bene. — θεραπείαν] B θεωρίαν. — ταυτότητος καὶ κοινωνίας] D ταυτότητα καὶ κοινωνίαν.

οὕτω τὰ τραχύτερα καὶ διαστάσεως αἴτια τῶν ῥημάτων διὰ τῶν οἰκειωτικῶν καὶ φιλικῶν ἐξιόμεθα. Πόθεν οὖν ταῦτα παραγίγνεται ταῖς ψυχαῖς, φιλία καὶ ἕνωσις; Ἀπὸ τῶν θεῶν, ὥςπερ τὰ πάθη καὶ ἡ διάστασις ἀπὸ τῆς ὕλης. Θεὸν δὴ οὖν φίλιον κοινὸν αὐτῶν ἔφορον ὁ Σωκράτης μάρτυρα καλεῖ τῶν ἑαυτοῦ λόγων [ὁ Σωκράτης] καὶ τῆς προαιρέσεως, ὡς μὲν ἐπιστήμων ἀπὸ θεοῦ τὴν ἕνωσιν ἐφήκειν τοῖς πᾶσιν οἰόμενος, ὡς δὲ ἐρωτικὸς ἀπὸ τοῦ φιλίου θεοῦ. Τίς δέ ἐστιν οὗτος ὁ φίλιος θεός; Ἔξεστι μὲν λέγειν, ὅτι καὶ ἐπὶ τὸν Δία ταύτην ἀναφέρειν εἰώθασι τὴν ἐπωνυμίαν· ὡς γὰρ ξένιον αὐτὸν καὶ ἱκέσιον, οὕτως φίλιον ἐπωνομάζουσι, καὶ ἴσως ἔχει λόγον καὶ ἐπὶ τὸν Δία ποιεῖσθαι τὴν ἀναφορὰν, ὡς παρακαλοῦντα τὸ ἡγεμονικὸν προςοισάμενον εἶδος ζωῆς συνέπεσθαι τῷ Διΐ. Ἔξεστι δὲ καὶ τὸν Ἔρωτα φίλιον λέγειν θεόν· τῆς γὰρ φιλίας αἴτιος ὁ Ἔρως, παίδων δὲ μᾶλλον ἔφορος ὢν, ὡς αὐτὸς ἐν τῷ Φαίδρῳ λέγει. Κάλλιον δὲ συνάπτειν ἀμφοτέρους τοὺς λόγους· ἐν γὰρ τῷ Διῒ ὁ Ἔρως ἐστί. Καὶ γὰρ Μῆτίς ἐστι πρώτως γενέτωρ, καὶ Ἔρως πολυτερπής, καὶ ὁ Ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνυπέστη τῷ Διῒ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ πανόπτης ἐστὶ καὶ ἁβρὸς Ἔρως, ὡς Ὀρφεύς φησιν. Συγγενῶς οὖν ἔχουσι

— *καὶ διαστάσεως*] B *καὶ διὰ παραστάσεως*. D *καὶ διὰ συστάσεως*. — *ἐξιόμεθα*] D *ἐξιώμεθα*. Bene. — *κοινὸν αὐτῶν*] D *κοινὸν αὐτόν*. — *λόγων ὁ Σωκράτης*] cett. om. *ὁ Σωκρ*. Merito; nam in nostro oculus librarii aberravit in lineam antecedentem. — *ὅτι καὶ ἐπὶ*] B *ὅτι δὲ ἐπὶ*. — *εἰώθασι τὴν ἐπωνυμίαν*] D *τὴν ἐπωνυμίαν εἰώθασιν*. — *ὡς γὰρ ξένιον*] B *καὶ γὰρ ξένιον*. — *οὕτως φίλιον*] cett. bene *οὕτω καὶ φίλιον*, excepto E. De Jove *ξενίῳ* et *ἱκεσίῳ* v. Symbolik und Mythol. II. p. 518—527. ed. secund. *Ζεὺς φίλιος* etiam in Platonis Phaedro pag. 234. e. Bip. T. X. Bekk. I. 1. p. 17. Heindf. p. 211. vid. Ast. ad eum locum p. 246. In universam hanc rem cf. Herodoti locum classicum I, 44. ib. Schweigh. ubi etiam *Ζεὺς ἑταρήϊος*. De utroque cognomine vide Meletemm. e discipl. ant. I. p. 17 et 18. not. 7 et 11. et qui ibi laudantur auctt. — *λόγον καὶ ἐπὶ*] D om. *καί*. — *προςοισάμενον*] A *προςησάμενον*. D et B *προστησάμενον*. — *μᾶλλον ἔφορος*] B et D *καλῶν ἔφορος*, posterior omittit etiam *δὲ*. Utrumque optime. Vide modo Platonem in Phaedro p. 252. d. Bip. T. X. Bekk. I. 1. p. 52. — *ὡς αὐτὸς*] D *καὶ αὐτός*. — *ἐν τῷ Φ. λέγει*] B *ἐν τῷ Φ. λέγειν*. — *συγγενῶς οὖν*] B *συγγενῶς αὖ*. Quae praecedunt, leguntur in Orph. Fragmm. VI. 19 et VIII. 1. 2. p. 466. Herm. coll. pag. 508. nr. 15. Metis mater *Πόρου*, qui Amorem procreavit

πρὸς ἀλλήλους· μᾶλλον δὲ ἥνωνται ἀλλήλοις καὶ φίλιος αὐτῶν ἑκάτερός ἐστι. Καὶ ὁ Σωκράτης ὡς μὲν ἡγεμονικὸν εἰς Δία τὸν νεανίσκον ἀναπέμπει, ὡς δὲ ἐρώμενον εἰς τὸν Ἔρωτα, καὶ ἐνεργεῖ διχῶς, καὶ ὡς φιλότιμος ἅμα καὶ ὡς ἐρωτικός, καὶ τῇ μὲν εἰς Δία, τῇ δὲ εἰς Ἔρωτα ἀνατείνεται· ὁ μὲν οὖν φίλιος θεὸς οὕτως ἡμῖν νοείσθω. Τὸ δὲ ὃν ἐγὼ ἥκιστα ἂν ἐπιορκήσαιμι μὴ αὐτὸν τοῦτο λέγειν οἰηθῶμεν, ὅτι κατ' ἄλλων μὲν θεῶν ἴσως ἂν ἐπιορκήσαιμι συμβαίη, τὸν φίλιον δὲ οὐδέποτε ἂν ἐπιορκήσαιμι. Τὴν γὰρ σωματικὴν εὐλάβειαν τήν τε πρὸς τοὺς ὅρκους καὶ τὴν πρὸς αὐτὰ τὰ γένη τῶν θεῶν καὶ ἐν Γοργίᾳ καὶ ἐν Φιλήβῳ μεμαθήκαμεν· ἀλλ' ἡ ἀντιδιαίρεσις οὐκ ἔστι πρὸς τοὺς ἄλλους θεούς (μία γὰρ ἡ ὁσιότης ἐστὶν ἡ πρὸς πάντας συνάπτουσα,) ἀλλὰ πρὸς τὸν ἀκούοντα νέον· ἥκιστα γὰρ ἂν ἐπιορκήσειε τὸν φίλιον ἐν τοῖς πρὸς Ἀλκιβιάδην λόγοις, ἥκιστα δ' ἂν τὸν ξένιον ἐν τοῖς πρὸς τὸν ξένον, καὶ τὸν ἱκέσιον ἐν τοῖς πρὸς τὸν ἱκέτην. Καὶ ἐφ' ἑκάστου μὲν τῶν ὀμνυμένων τὸ ἥκιστα, πρὸς δὲ ἄλλον καὶ ἄλλον τῶν τοιούτων ἀκροατὴν κατὰ τὰς διαφόρους σχέσεις ἐξαλλάττεται. Πρὸς τοίνυν ἐρώμενον ὄντος τοῦ λόγου τὸν φίλιον θεὸν ἥκιστα ἐπιορκητέον· εἰ γάρ ἐστιν ὁ ὅρκος φρουρά τις ἀπὸ τοῦ θείου καθήκουσα τῷ ὀμνύοντι καὶ συνοχὴ καὶ ἀσφάλεια, βούλεται δὲ ὁ ἐραστὴς διὰ φιλίας ἑαυτῷ τὸν ἐρώμενον ἑνοῦν, ἥκιστα αὐτῷ τὸν φίλιον θεὸν ἐπιορκητέον, ἵνα πανταχόθεν ὑπ' ἐκείνου συνέχεται καὶ περιφράττεται μετὰ τοῦ ἐρωμένου, καὶ τὸν τῆς φιλίας αὐτῷ ἔχῃ θεσμόν. Ὁ μὲν οὖν

ap. Platon. in Conviv. cap. 23. p. 75. Wolf. Cf. etiam Nostri Scholia in Cratylum §. 119. pag. 76 ibiq. Boissonadium. — *ἀλλήλοις καὶ φίλιος*] B *ἀλλήλους καὶ φίλιον*. — *διχῶς καὶ*] B om. *καί*. — *ὡς φιλότιμος*] cett. bene. *ὡς φιλόσοφος*, praeter unum Cod. E. — *μὴ αὐτὸν τοῦτο*] D *μὴ αὐτὸν τοῦτον*. — *ἂν ἐπιορκήσαιμι συμβαίη*] A *κἂν ἐπιορκίσαιμι συμβαίη*. B *κἂν ἐπιορκῆσαί μοι συμβαίνει*. D *κἂν ἐπιορκῆσαί μοί συμβαίη*. et ita legendum. Sed aut servandum *ἂν* aut leg. *γ' ἄν*. — *οὐδέποτε ἂν*] cett. *οὐδέποτ' ἄν*. — *σωματικὴν*] B et D *Σωκρατικὴν*. Optime. — *ἐπιορκήσειε*] B *ἐπιορκίσαιμι*. — *ὀμνυμένων*] A *ὀμνυομένων*. — *τὸ ἥκιστα*] B *ἐν τῷ ἥκιστα*. — *πρὸς τοίνυν*] B *πρὸς τὸν τοίνυν*. — *ὄντος τοῦ λόγου*] A et B *ὄντως τοῦ λόγου*. — *καθήκουσα τῷ*] B *καθήκουσαι τὸ*. — *διὰ φιλίας*] B *δι' ὠφελείας*. — *συνέχεται καὶ περιφράττεται*] cett. *συνέχηται καὶ περιφράττηται*. bene; sed E in hoc quoque mendo cum nostro conspirat. — *αὐτῷ ἔχῃ θεσμόν*] A *αὐτὸν ἔχῃ θεσμόν*. B *αὐτὸν ἔχειν δεσμὸν*. D *αὐτῶν ἔχῃ δεσμόν*.

Σωκάτης διὰ ταῦτα τὸν φίλιον ὄμνυσι θεὸν, ὁ δέ γε νεανίσκος ἀπορῶν διδάσκαλον εἰπεῖν τῆς τοῦ δικαίου γνώσεως, ἔπειτα ἄφικτον τὴν διαίρεσιν τοῦ Σωκράτους ὁρῶν ἐπὶ τὴν εὕρεσιν καταφεύγει, κἀνταῦθα μαρτυρεῖ μὲν αὐτῷ πολλὴν ὁ Σωκράτης εὐφυΐαν καὶ γόνιμον δύναμιν εἰπών· καὶ μάλα γε εὗρες ἂν, εἴπερ ἐζήτησας. Τοῦ μὲν οὖν μεμαθηκέναι τεκμήριον ποιεῖται τὸ μὴ ἔχειν διδασκάλους· τοῦτο δὲ ἐν Λάχητι καὶ ἐν Γοργίᾳ προΐσχεται τεκμήριον τοῦ μὴ μαθεῖν. Τὸ δὲ αἴτιον, ὅτι ἡ ἀνθρωπίνη ψυχὴ σώματι συνεζύγη καὶ ζῇ τὴν μετὰ τοῦ σώματος ζωὴν τὴν κοινὴν, καὶ ἐπιπροσθεῖται τοῦ σώματος, καὶ δεῖται τῶν ἔξωθεν ἀνακινῆσαι δυνάμεων. Ὁ γὰρ ἀτελὴς νοῦς ἀπὸ τοῦ τελείου ποδηγεῖται, καθάπερ δὴ καὶ ἡ ἀτελὴς φύσις ὑπὸ τῆς τελείας κατ' ἐνέργειαν ἤδη τελεσιουργεῖται. Ψυχὴ οὖν εἰς ἄλλην ὁρῶσα ψυχὴν ἐν τῷ συγγενεῖ τὴν ἑαυτῆς γνῶσιν ὁρᾷ· καὶ οὕτω δὴ τὸ ἐλλεῖπον εἰς τὸ τέλειον περιάγει καὶ τὴν ἄγνοιαν εἰς γνῶσιν· ἔτι γὰρ προςδεῖται. Καὶ πολλά ἐστι τῶν γνωστῶν, ὧν ἀνάγκη τὰς πρωτίστας ἡμᾶς αἰτίας καὶ ἀρχὰς καὶ ὑποδέξασθαι καὶ πρὸς τοῖςδε τὰ ὑπὲρ τὴν οὐσίαν δεῖται ποδηγοῦντος, ἵνα θεωρήσωμεν αὐτὰ διὰ τὸ αὐτόθεν καὶ ἡμᾶς ἔχειν ἀφορμὰς εἰς τὴν ζήτησιν αὐτῶν. Τοῦ μὲν τοίνυν μαθεῖν ἐστι τεκμήριον τὸ διδασκάλων τυχεῖν, τοῦ δὲ εὑρεῖν τὸ ζητῆσαι προκεί-

— *διδάσκαλον εἰπεῖν*] B *διδασκάλου εἰπεῖν.* — *ἄφικτον*] D *ἄφυκτον*, quod praestare videtur. Illud scribendum fuisset *ἀφικτόν.* — *καὶ μάλα γε*] B om. *γε.* — *μεμαθηκέναι*] D *μὴ μεμαθηκέναι*, et necessario ita scribendum. — *Λάχητι*] vid. Plat. Lach. p. 186. e. et passim. Bip. T. VI. Bekk. I, 1. p. 267. Gorg. p. 454. c. et alibi Bip. T. IV. Bekk. II, 1. p. 19. — *τὸ δὲ αἴτιον*] D *τὸ δὲ τοῦδε αἴτιον.* — *ἀνθρωπίνη ψυχὴ*] D *ἀνθρωπίνη ζωή.* — *καὶ ζῇ*] haec om. B. — *τοῦ σώματος*] D *ὑπὸ τοῦ σώματος.* — *ἔξωθεν*] cett. add. *αὐτὴν*, et mox Codd. E A B et D *δυναμένων*, uti legendum; tum *ὑπὸ τοῦ*, pro *ἀπὸ τοῦ*, omnes praeter nostrum. Bene. — *ψυχὴ οὖν*] A *ψυχὴν οὖν.* — *περιάγει*] B *περιάγειν.* Mox D: *ἔτι γὰρ δὴ προςδεῖται. Καὶ πολλὰ τῶν γνωστῶν ἐστιν.* — *τὰ ὑπὲρ τὴν οὐσίαν*] B *καὶ ὑπὲρ τὴν οὐσ.* — *δεῖται ποδηγοῦντος*] A *τῆς ....... δεῖται ποδηγοῦντος.* B *ὡς δεῖται ποδηγοῦντος* sine lacunae indicio. D *τῆς ....... δεῖται τοῦ ποδηγοῦντος.* Locus certo non est sanus et verba *ἔτι — ποδηγοῦντος* incommode sunt secundo loco repetita. — *διδασκάλων τυχεῖν*] B *διδασκάλου τυχεῖν* add. *κείμενον αὐτοῦ δὲ ἂν.* — *προκείμενόν ἐστιν*] A *προηγμένον ἐστὶ* et in marg. *προκειμένον.* In Cod. D *προκείμενον* est transmutatum in *προηγμένον.* B omisit *προκειμενόν ἐστιν.* Nisi *προκείμενον*

μενόν ἐστιν. Ἡ γὰρ ζήτησις ἀνακινεῖ τὸ ὄμμα τῆς ψυχῆς καὶ γυμνάζει πρὸς τὴν θέαν τῆς ἀληθείας. Ὅθεν δὴ καὶ οἱ ζητικώτεροι γινόμενοι προς τὰς λύσεις εὐπορώτεροι καθίστανται· τὸ γὰρ καλῶς ἀπορῆσαι καὶ τῆς εὐπορίας αἴτιόν ἐστιν. Ἡ μὲν οὖν πενία ἡ ἐν ἡμῖν αἰτία τῆς ἀπορίας ἐστὶ καὶ ἔρως ἐπὶ τὴν ζήτησιν ἐγείρει τῆς τελείας γνώσεως· ὁ δὲ πόρος ἐν τῷ ὄντι καὶ τῆς ψυχῆς Μήτιδος ὢν υἱός. Ἄνωθεν γὰρ πρόεισι τὸ οὐσιῶδες ἡμῶν ἀπὸ τοῦ θείου νοῦ, τὸ δὲ δυνάμει τὸ ἐν ἡμῖν ἡ πενία καὶ ἡ ἀοριστία τῆς ζωῆς· ὅταν οὖν ἐγερθῶμεν εἰς τὸν ἔρωτα τῆς ἑαυτῶν γνώσεως, τότε καὶ τὸν ἐν ἡμῖν πόρον θεώμεθα καὶ τὸν διάκοσμόν ὅλον τὸν ψυχικόν. Δύο δὴ οὖν αὗται πρὸς τὴν μάθησιν καὶ τὴν εὕρεσιν ὁδοί, μία μὲν ἡ ζήτησις, μία δὲ ἡ διδασκαλία. Διὸ καὶ τῶν τοῦ Πλάτωνος ἐξηγητῶν τινες τοὺς διαλόγους διεῖλον εἴς τε τοὺς διδασκαλικοὺς καὶ τοὺς ζητικούς, ἐντεῦθεν λαβόντες τὴν ἀφορμὴν τῆς τοιαύτης διαιρέσεως. Πάλιν τοίνυν ἀπὸ τῆς εὑρέσεως ἄνεισιν ὁ λόγος ἐπὶ τὴν ἁπλῆν ἄγνοιαν· οὐδεὶς γὰρ ὁρμήσειε ζητεῖν, ὅγε οἴεται γινώσκειν. Δεῖ δὴ οὖν ἄρξαι τὴν ἁπλῆν ἄγνοιαν τῆς ζητήσεως· ἡ γὰρ ζήτησις ὄρεξίς ἐστι γνώσεως, ἐν οἷς οἰόμεθα ἀγνοεῖν· ἀπὸ δὲ τῆς ἁπλῆς ἀγνοίας ἀνάγκη τὸν χρόνον ὡρίσαι, καθ' ὃν ᾠόμεθα μὴ εἰδέναι. Διὸ καὶ ὁ Σωκράτης ἀπαιτεῖ χρόνον αὐτὸν εἰπεῖν τῆς οἰήσεως τοῦ μὴ εἰδέναι. Καθάπερ γὰρ καὶ πρότερον, ἀνάγκη τὰς τοιαύτας

accipias pro *praecipuo*, altera vox potior videtur. Tu vide de *τοῖς προηγμένοις*, sive *productis*, *promotis*, *praecipuis* apud philosophos Ciceron. de Finibb. III. 15. 16. ibiq. interprett. et Stobaei Eclgg. II. 7. p. 144 sqq. ed. Heeren. — *ζητικώτεροι*] A et D bene *ζητητικώτεροι*. — *γινόμενοι*] cett. *γιγνόμενοι*, ut semper fere alibi. — *τὸ γὰρ καλῶς*] A *τὸ γὰρ ἀλλῶς*. B *τὸ γὰρ ἀλῶς*. — *ἐν τῷ ὄντι καὶ*] Post haec vocabula D habet lacunam, deinde *τῆς ψυχῆς μ*... iterum sequente lacuna .... *ἄνωθεν*. Ad rem v. Plat. Sympos. c. 23. p. 75. Wolf. p. 203. b. Bip. T. X. Bekk. II, 2. p. 429. — *τὸ ἐν ἡμῖν*] D *καὶ τὸ ἐν ἡμῖν*. — *εἰς τὸν ἔρωτα* ....... *ἐν ἡμῖν πόρον*] haec omissa in B. — *τῶν τοῦ Πλάτωνος*] B om. *τῶν*. Mox E *ἐξηγηταί*. — *ζητικούς*] cett. *ζητητικούς*. Recte. — *οὐδεὶς γὰρ* ...... *ἄρξαι τὴν ἁπλῆν ἄγνοιαν*] haec omissa sunt in D. A pro *οὐδεὶς γὰρ* habet *οὐθεὶς γὰρ*. B *εὐθὺς γὰρ*. — *ὅγε οἴεται*] B *ἄγε οἴεται*. — *ἐν οἷς οἰόμεθα*] A *ἐν οἷς οἰώμεθα*. — *ὡρίσαι*] A et B *γνωρίσαι*. D *γνωρίσθαι* (sic). — *καθάπερ γὰρ*] cett. inserunt *εἴρηται*. Bene. B om. *γὰρ*. Inde ab his verbis continuatur Ficini versio p. 243. Proxime ad: *Ἀριστοτέλης προςίεται κτλ.* vid. Aristotel. de anima I. 3. p. 9—13 Sylb.

ἁπάσας μεταβολὰς μετρεῖσθαι ὑπὸ χρόνου. Διὸ καὶ ὁ δαιμόνιος Ἀριστοτέλης ἐνταῦθά γε προσίεται τὴν κίνησιν ἐπὶ τῆς ψυχῆς καὶ τὴν κατὰ χρόνον μεταβολήν· ἀλλ' ὅτι μὲν ἡ σώματι συνοῦσα καὶ ἀπὸ κακίας εἰς ἀρετὴν μεθισταμένη δεῖται τοῦ χρόνου, παντὶ καταφανὲς δήπου. Ἤδη δέ τινες καθ' ἑαυτὴν οὖσαν τὴν ψυχὴν οὔ φασι δεῖσθαι χρόνου κατὰ τὴν ἐνέργειαν, ἀλλὰ τοὐναντίον αὐτὴν ἀπογεννᾷν τὸν χρόνον. Τοῦτο δὲ οἶμαι δεῖσθαι λόγου τινός. Διττὸς γὰρ ὁ χρόνος· ὁ μὲν τῇ φυσικῇ ζωῇ καὶ τῇ σωματοειδεῖ κινήσει τοῦ παντὸς συνυφιστάμενος, ὁ δὲ διὰ τῆς τοῦ σώματος ζωῆς πεφοιτηκώς. Ἐκεῖνος μὲν οὖν καὶ τὰς τῶν θείων ψυχῶν περιόδους μετρεῖ, καὶ τὰς μὲν ἐνεργείας τὰς χωριστὰς τῶν ἡμετέρων τελειοῖ· ὁ δὲ δεύτερος, ὁ τῇ κατὰ φύσιν ζωῇ συμπαρατεινόμενος, τὴν μὲν μετὰ σώματος ἡμῶν ζωὴν μετρεῖ, τὴν δὲ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτὴν ζώσης οὐδαμῶς. Ταῦτα περὶ τῶν πραγμάτων εἰρήσθω.

[οθ.] Τῶν δὲ τῶν περὶ τὴν λέξιν τὸ μὲν οὐκ ἂν εὑρεῖν μὲν ἡγῇ πάνυ τεθαῤῥηκότος ἐστὶ τῇ τῆς φύσεως δεξιότητι καὶ ταύτην ἀποχρῆναι νομίζοντος. Διὸ καὶ ὁ Σωκράτης οὐκ ἀναιρεῖ ταύτην αὐτοῦ τὴν ἀνελπιστίαν· οὐ γὰρ οἱ τέλειοι τῆς ἐπιτηδειότητος τῶν εὐφυεστέρων εἰσὶν ἀνευρετικοί, ἀλλὰ τελειωτικοί. Τὸ δὲ καλῶς λέγεις εἰς ἐμμελῆ πάλιν

cf. III. 10. p. 65. Categor. p. 55 sq. et Topicor. II. p. 296. Ceterum Ficinus haec aliquanto plenius: „Unde et Aristoteles in anima „mutationem secundum actus et habitus eorumque opposita collocat „temporalem." — *συνοῦσα*] D *συνάγουσα*. — *τῆς τοῦ σώματος ζωῆς*] D *τῆς ἀσωμάτου ζωῆς*. Recte; neque aliter Fic. legit, qui vertit: „per *incorpoream* vitam procedens." — *τὰς μὲν ἐνεργείας*] cett. om. *μὲν*. Post haec verba incipit fragmentum Codicis Darmstadini, quod editum est ad calcem Plotiniani libelli de Pulcritudine p. 77 sqq. At illud fragmentum, postquam per tres lineas usque ad *οὐδαμῶς* processit, sex statim paginas transsilit, nullo addito lacunae signo. Incipit autem — *καὶ μὴν τὰς χωριστὰς κτλ.* In seqq. est in Cod. Darmst. *συμπαρεκτεινόμενος*, tum omittitur *ζωὴν*, denique scribitur *αὐτὴν καθ' ἑαυτήν*. — *τὴν μὲν μετὰ*] B om. *μὲν*. Post *οὐδαμῶς* interrumpitur Ficini versio, et continuatur nonnisi tribus paginis interjectis.

*τῶν δὲ τῶν περὶ τὴν*] A *τῶν δὲ τὴν περὶ τὴν*. B *τῶν δὲ περὶ τὴν*. Bene. D *τῶν δὲ περί*. — *τὸ μὲν οὐκ ἂν*] B *τὸ μὲν οὖν*. — *εὑρεῖν μὲν*] cett. ut Edd. *εὑρεῖν με*, excepto Cod. E. — *τεθαῤῥηκότος*] A et B *τεθαῤῥηκότως*. — *τῇ τῆς φύσεως*] B om. *τῇ*. — *ἀνελπιστίαν*] cett. *εὐελπιστίαν*. Recte. Proxime ex cod. D reponendum est *ἀναιρετικοὶ* pro *ἀνευρετικοί*.

αὐτὸν ἔλεγχον περιάγει. Δυνατὸν ἦν εἰπεῖν ἀποφαινόμενον, ὅτι ὁ χρόνος οὐδείς ἐστιν, ἐν ᾧ τὴν ἁπλῆν ἔσχες ἄγνοιαν, ἀλλὰ καὶ εἰ ἑαυτὸν ὑπέλαβες εἰδέναι, ἃ μὴ ᾔδεις· ὁ δὲ οὐχ οὕτως εἶπεν, ἀλλ' ὅτι τὸν σαυτοῦ βίον ἐπισκέψαι καὶ εἰπέ μοι τὸ ἔτος, ἐν ᾧ οὐκ ᾤου εἰδέναι, καὶ ἀναλύσει χρησάμενος ἀπὸ τοῦ παρόντος πρὸς τὸν ἐληλυθότα χρόνον ἐφίστησιν αὐτὸν, ὅτι οὐδέποτε ᾠήθη τὸ δίκαιον ἀγνοεῖν, τὸ δὲ τἀληθῆ ἀποκρίνου προςέθηκεν εἰκότως. Ὅτε μὲν γὰρ περὶ τῶν καθ' ὅλον τοὺς λόγους ἐποιεῖτο, τῇ ἐπιστήμῃ μόνῃ πρὸς τὴν λῆψιν ἐχρῆτο τῆς ἀληθείας· νῦν δὲ περὶ αὐτοῦ τοῦ Ἀλκιβιάδου τῆς ἐξετάσεως οὔσης καὶ τῶν ἐν αὐτῷ διαθέσεων, ἀληθεύοντος αὐτοῦ δεῖται πρὸς τὴν ὁμολογίαν· τὸ δὲ ἵνα μὴ μάτην οἱ διάλογοι γίνονται δηλοῖ μέν που, ὅτι οἱ ἐκ ψευδῶν προτάσεων συλλογισμοὶ μάταιοι τρόπον τινά εἰσι, δηλοῖ δὲ καὶ, ὅτι τοῖς σπουδαίοις οὐδὲν μάτην ἐστὶ πρακτέον. Ὥςπερ γὰρ οὔτε θεὸς οὔτε ἡ φύσις μάτην τι λέγεται ποιεῖν, οὕτως οὐδὲ ὁ σπουδαῖος· ζῇ γὰρ καὶ κατὰ φύσιν καὶ κατὰ θεόν. Τάχα δ' ἂν δηλοῖ καὶ, ὅτι χάρις ἐστὶ τῆς μαιείας ἡ ἀλήθεια καὶ ἡ διάκρισις τῶν ἀληθῶν καὶ τῶν ψευδῶν. Οὐ δεῖ ἄρα τὸν ὑπέχοντα τὴν μαιείαν ψευδῆ λέγειν πρὸς μαιευόμενον. Ἐνδείκνυται δὲ πρὸς τούτοις καὶ, ὅτι οὐ χρὴ ψεύδεσθαι οὔτε πρὸς τὸν ὅμοιον οὔτε πρὸς τὸν ἑαυτοῦ βελτίονα· καὶ γὰρ, ὅταν ὁ κρείττων ψεύδηται πρὸς τοὺς χείρονας, ὡς ἀναγκαῖον προτείνει τὸ ψεῦδος καὶ οὐχ ὡς αἱρετόν. Τὸ δὲ ἐν διδασκάλοις καὶ ἄλλοθι, καὶ τὸ ὁπότε ἀστραγαλίζεις

— *δυνατὸν ἦν*] B et D *δυνατὸν γὰρ ἦν*. Non male. — *ὅτι ὁ χρόνος*] cett. bene om. *ὁ*, neque vero Cod. E. — *ἔσχες*] B *ἔσχες* (sic) [superscript: εν]. — *εἰ ἑαυτὸν*] cett. *εἰς αὐτὸν*, ita etiam fuit in Cod. E, sed correxit alia manus *εἰς ἑαυτόν*. a Cod. D abest etiam *καί*. Proxime idem cod. *ἐπίσκεψαι*. recte. — *ᾔδεις*] A *ᾔδῃς*. — *ἐληλυθότα*] D *παρεληλυθότα*, ita etiam Cod. E in marg. Bene. — *πρὸς τὴν λῆψιν*] D *τὴν πρόςληψιν*. — *διάλογοι γίνονται*] D *διάλογοι γίνωνται*, bene. — *οἱ ἐκ ψευδῶν*] cett. om. *οἱ*, Cod. E additum habet ex correctione. — *ὅτι τοῖς σπουδαίοις*] A *ὅτι ὅτι τοῖς σπ*. Locum Aristotelis, quem Noster significat, supra laudavimus. — *ἐστὶ πρακτέον*] B *ἐπιπρακτέον*. — *μάτην τι*] B om. *τι*. — *χάρις ἐστὶ*] B addit *ἐπί*. — *πρὸς μαιευόμενον*] D bene *πρὸς τὸν μαι*. — *ψεύδηται*] B *οὐ ψεύδηται*. D *ψεύδεται*. — *ὡς ἀναγκαῖον*] D *ὡς ἀνάγκην*. — *ἀστραγαλίζεις*] cett. recte. *ἀστραγαλίζοις*, sed E perperam cum nostro facit.

ἢ ἄλλην παιδειὰν παίζοις διαιρεῖ καὶ τοὺς τρόπους καὶ τὰς παιδιὰς οὐ μάτην, ἀλλ' ἵνα ἐνδείξηται, ὅτι καὶ ἐν παντὶ τόπῳ παρῆν αὐτῷ καὶ πᾶσαν ἐνέργειαν ἐνεργοῦντι παιδικήν. Οὕτω δὲ ἐλέγετο σύντομος εἶναι περὶ τὰς παιδιὰς ὁ Ἀλκιβιάδης, ὥς ποτέ τινος αὐτῷ ζεῦγος ἐπελαύνοντος ἀστραγαλίζοντι ἔῤῥιψεν ἑαυτὸν πρὸ τοῦ ξεύγους, ἵνα μὴ ἐπελθὸν ἐκεῖνο συγχέῃ τοὺς ἀστραγάλους. Δηλοῖ δὲ ἑαυτοῦ καὶ νῦν τὴν σφοδρότητα ὁ Σωκράτης, εἰπών, ὅτι μάλα γε καὶ θαρσαλέως ἐβόας περὶ ὅτου τύχοι τῶν παίδων, ὅτι ἀδικεῖ. Καὶ γὰρ ἡ φωνὴ καὶ τὸ ἀνενδοιάστως τῆς περὶ τὴν παιδιὰν ἐστι συντονίας, τὸ δὲ ὡς πονηρὸς καὶ ὡς ἄδικος τῇ δεξιότητι μαρτυρεῖ τοῦ νεανίσκου. Τὸ γὰρ ἐκ παιδὸς ἀποστρέφεσθαι τὴν ἀδικίαν καὶ τὴν πολιτείαν, αὐτὴν ψυχῆς νομίζειν, εὐφυΐας ἐστὶ τεκμήριον ἱκανόν.

[π.] „Ἀλλὰ τί ἔμελλον ποιεῖν, ὦ Σώκρατες, ὁπότε τίς με „ἀδικοίη; — σὺ δὲ εἰ τύχοις ἀγνοῶν εἴτε ἀδικοῖο εἴτε „μή, τότε λέγεις, τί σε χρὴ ποιεῖν; — μὰ Δία, οὐκ ἠγνό„ουν ἔγωγε, ἀλλὰ σαφῶς ἐγίνωσκον, ὅτι ἠδικούμην; — „ᾤου ἄρα ἐπίστασθαι καὶ παῖς ὤν, ὡς ἔοικε, καὶ τὰ δί„καια καὶ τὰ ἄδικα. — ἔγωγε, καὶ ἐπιστάμην γε. — ἐν „ὁποίῳ χρόνῳ ἐξευρών; οὐ γὰρ δήπου ἐν ᾧγε ᾤου εἰδέ„ναι. — οὐ δῆτα. — πότε οὖν ἀγνοεῖν ἡγοῦ; σκόπει·

— παίζοις] A πέζοις. Praecedens vocabulum scribendum παιδιὰν, ut est in Cod. D et in Edd. Platonis. — παρῆν αὐτῷ] B παρεῖναι αὐτῷ. — ὥς ποτέ] D ὥςτέ ποτε. Proxime corrige σύντονος. Sequitur enim: συντονίας, et sententia flagitat. — ἀστραγάλους] Accuratius rem narrat Plutarchus in Alcibiade, c. II. — δηλοῖ δὲ ἑαυτοῦ] A δηλοῖ δὲ αὐτοῦ. — τὴν σφοδρότητα] D σφοδρότατον. — μάλα γε καὶ] D ut Edd. μάλα μέγα καί. Tum E θαῤῥαλέως, ut est in dialogo nostro. — τύχοι τῶν] A et B τύχῃ τῶν. D bene τύχοις τῶν. — ὅτι ἀδικεῖ] A et B ὅτι ἀδικοῖ, ut Bekk. D ὅτι ἀδικεῖ (sic). — ἡ φωνὴ] cett. ἡ βοὴ, excepto E. — πολιτείαν αὐτὴν] cett. optime πονηρίαν αὐτὴν, praeter Cod. E.

In seqq. ἀδικοίη recepit Astius. In prioribus Edd. est ἀδικοῖ, itemque apud Bekkerum. — σὺ δὲ εἰ] cett. σὺ δ' εἰ, excepto solo E. — εἴτε μὴ] A et B εἴτε μὴ κτλ. omissis quae sequuntur usque ad οἶσθα καὶ πόθεν. Pro λέγεις in Edd. plerisque est λέγοις. Sed λέγεις recepit Bekkerus et ante eum Etwall. — καὶ τὰ δίκαια] D om. καί. Et ita est in Edd. Paulo post pro ἐπιστάμην in Edd. est ἠπιστάμην, vid. Maittaire De Dialectis p. 75. Sturz. (58. c.) Moeris Attic. p. 182. ib. Pierson. Mox pro Μὰ τὸν Δία in Edd. est Μὰ Δί'. Et supra Μὰ Δί' ἀλλ' οὐκ.

„οὐ γὰρ εὑρήσεις τοῦτον τὸν χρόνον. — μὰ τὸν Δία, ὦ „Σώκρατες, οὔκουν ἔγωγε εἰπεῖν. — εὑρεῖν μὲν ἄρα οὐκ „οἶσθα αὐτά. — οὐ πάνυ φαινόμενα. — ἀλλὰ μὴν ἄρτι „γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι· εἰ δὲ μήτε εὗρες μήτε „ἔμαθες, πῶς οἶσθα καὶ πόθεν;“ (p. 110. b. c. d. Bekk. p. 314.)

Σαφῶς ἐν τούτοις ὁ νεανίσκος ὡμολόγησεν οἴησιν ἔχειν τῆς τῶν δικαίων γνώσεως. Διὸ καὶ ὁ Σωκράτης ἐρωτᾷ πάλιν, *πότε μαθὼν* ἢ *πότε εὑρών;* οὐ γάρ δήτις, ὅτε οἴεται εἰδέναι, τότε ἐπὶ τὴν ζήτησιν τρέπεται τοῦ γνωστοῦ, κἀκ τούτου συνελαυνόμενος ὁ νεανίσκος ὁμολογεῖ μήτε μαθὼν εἰδέναι μήτε εὑρών, διότι μηδένα ἔχει χρόνον τῆς ἀγνοίας εἰπεῖν, μεθ᾽ ὃν ἢ ἐζήτησεν ἢ ἐδιδάχθη τὸ δίκαιον· καί μοι δοκεῖ δείκνυσθαι διὰ τούτων ἐναργῶς, τίς μέν ἐστιν ἐπιστήμη πρὸ χρόνου παντὸς ἐν ἡμῖν, τίς δὲ κατὰ χρόνον παραγίνεται. Σωκράτης μὲν γὰρ εἰς τὴν κατ᾽ ἐνέργειαν ἐπιστήμην ἀποβλέπων ἐπιζητεῖ, τίς ὁ πρὸ ταύτης χρόνος· Ἀλκιβιάδης δὲ τὴν κατ᾽ οὐσίαν ἔχων ἐπιστήμην, δι᾽ ἣν καὶ οἴεται εἰδέναι, ἃ μὴ οἶδεν, οὐκ ἔχει χρόνον εἰπεῖν τῆς μαθήσεως αὐτῆς· ἐξ ἀϊδίου γὰρ αὐτὴν ἔχομεν· ὥστε, εἰ ὁ μὲν περὶ ἄλλης ἐπιστήμης λέγοι, ὁ δὲ περὶ ἄλλης, ἀμφότερά ἐστιν ἀληθῆ, καὶ τὸν χρόνον προηγεῖσθαι τῆς ἐπιστήμης καὶ τὸ μὴ ἔχειν πρὸ τῆς παρουσίας αὐτῆς εἰπεῖν τινα χρόνον. Τῆς μὲν γὰρ ἀτελοῦς ἐπιστήμης οὐκ ἔστι προηγούμενος χρόνος, τῆς δὲ κατ᾽ ἐνέργειαν καὶ τῆς τελείας ἐστίν. Καὶ οὔτε τοῖς ἐν Φαίδωνι ταῦτα διαφωνεῖ λό-

— *οὔκουν ἔγωγε*] *οὐκ ἔχω ἔγωγε* est in dialogo. Sed Bekk. edidit: *οὔκουν ἔχω γ᾽ εἰπεῖν.* — *εὑρεῖν μὲν ἄρα*] D *εὑρὼν μὲν ἄρα*, bene, ut Edd. — *φαινόμενα*] D *φαίνομαι*, recte; ita enim in dialogo. — *ὡμολόγησεν*] A *ὡμολόγηκεν.* — *πότε εὑρὼν*] A *πότ᾽ εὑρών.* — *τρέπεται τοῦ*] cett. *τρέπεται τὴν τοῦ.* Bene. — *πρὸ χρόνου παντὸς*] B *πρὸς χρόν. π.* Continuatur hic Ficini versio per dimidiam paginam, usque ad verba *τῆς τελείας ἔστιν* (sc. *χρόνος*) p. 243 sq. — *τίς δὲ κατὰ*] B *ὅςτις δὲ κατά.* — *ἃ μὴ οἶδεν*] A et B *ἃ μὴ εἶδεν.* — *τῆς μαθήσεως αὐτῆς*] cett. *τῆς μεθέξεως αὐτῆς.* Ita quoque legisse videtur Fic. vertens: *quo primum acceperit eam.* — *ἐπιστήμης λέγοι*] B et D *ἐπιστήμης λέγει.* — *καὶ τὸ μὴ ἔχειν ..... ἀτελοῦς ἐπιστήμης*] haec omissa sunt in D. Paulo ante haec legendum videtur: *καὶ τὸ τὸν χρόνον προηγεῖσθαι.* — *διαφωνεῖ*] D *διαφάνει.* Illud tamen retinendum. Quod *ἀληθείας* mentio continuo subjicitur, similiter apud Theodoretum Vol. III. p. 421 Schulz. *διαφωνία* et *ἀλήθεια*

γοις, οὔτε ὁ Ἀλκιβιάδης παντελῶς ἀποπέπτωκε τῆς τῶν πραγμάτων ἀληθείας. Ταῦτα καὶ περὶ τούτων. Ἐπισημήνασθαι δὲ ἄξιον, ὅτι συνεχῶς ὁ νεανίσκος ὄμνυσι κατὰ τοῦ μεγάλου Διός· Καὶ γὰρ ἐν τοῖς ἔμπροσθε καὶ ἐν τούτοις δὶς τοῖς ῥήμασιν ἐχρήσατο, μὰ Δία οὐκ ἠγνόουν ἔγωγε· καὶ πάλιν μὰ τὸν Δία, ὦ Σώκρατες, οὔκουν ἔγωγε εἰπεῖν. Καὶ ἔοικεν ὡς ἡγεμονικός τις τὴν φύσιν ὢν ἐπὶ τοῦτον κατὰ φύσιν φέρεσθαι τὸν θεὸν, καὶ ὡς δυνάμεως καὶ ὕψους καὶ μεγέθους ὀρεγόμενος ἐπὶ τὸν μέγιστον καὶ ὑψηλότατον καὶ δυνατώτατον ἀνατείνει ἑαυτὸν τῶν θεῶν. Πάλιν τὸ ἐμμελὲς τοῦ Σωκράτους θαύματος ἄξιον· Καὶ γὰρ μετὰ τὸν ἔλεγχον οὐκ ὀνειδίζει τὴν ἄγνοιαν αὐτῷ, ἀλλὰ συναγαγὼν, ὡς οὔτε ἔμαθεν οὔτε εὗρεν, ἐρωτᾷ, πῶς οἶσθα καὶ πόθεν; Τοῦτο μὲν γὰρ ἅμα μὲν εἰς μαιείαν συντελεῖ, ἅμα δὲ καὶ ὡς ἐμμελῆ θεραπείαν, ἵν' αὐτὸς ᾖ τρόπον τινα ὁ ἑαυτὸν ἐλέγχων. Ὥςπερ γὰρ οἱ θεοὶ καθαίρουσιν ἡμᾶς καὶ εὐεργετοῦσι δι' ἑαυτῶν, καὶ οὕτως οὕτω κινοῦσιν ὡς αὐτοκινήτους, οὕτω δὴ καὶ ὁ Σωκράτης μεμηχάνηται τοιοῦτον ἐλέγχων τρόπον, δι' οὗ καὶ ὁ ἐλεγχόμενος αὐτὸς ἐλέγχεσθαι δόξει παρ' ἑαυτοῦ, καὶ ὁ μαιευόμενος αὐτὸς αὑτοῦ μαιεύεται.

[πα.] „Ἀλλ' ἴσως τοῦτό σοι οὐκ ὀρθῶς ἀπεκρινάμην, τὸ „φάναι εἰδέναι αὐτὸς ἐξευρών· — τὸ δὲ οὕτω πῶς εἶ-

inter se opponuntur. De alio hujus verbi, in perfecto et plusquamperfecto potissimum, usu (*exanimari*, *perire*) nuper docte egit *Hasius* ad Leon. Diacon. p. 191 sq. Phaedonis locus legitur cap. 48 p. 64 Wyttenbachii, quem confer in Annot. p. 254. — *οὔτε ὁ Ἀλκιβιάδης*] A et B *οὔτ' ὁ Ἀλκ.* — *τῆς τῶν πραγμάτων*] B om. *τῶν.* — *ταῦτα καὶ*] B *τοῦτο καί.* — *ἔμπροσθε*] cett. *ἔμπροσθεν*, sed E ut noster. Illud tamen constanter scriptum reperitur in veterum libris, quamquam simplicia legantur et *πρόσθε* et *πρόσθεν.* — *οὔκουν ἔγωγε*] A et D *οὔκουν ἔχω γε.* Legendum *οὐκ ἔχω ἔγωγε*, ut supra, aut cum Bekkero *οὔκουν ἔχω γ' εἰπεῖν.* — *ἀνατείνει*] D *ἀνατείνειν.* Quod placet. — *τὸ ἐμμελὲς*] D *τοίνυν τὸ ῥαμελές.* — *τοῦτο μὲν γὰρ*] cett. om. *μὲν*, neque vero Cod. E. — *καὶ ὡς ἐμμελῆ*] A et B om. *καὶ.* D omisso *καὶ* habet *εἰς ἐμμελῆ*, quod probum est. — *καθαίρουσιν*] B *καθαιροῦσιν.* — *καὶ οὕτως οὕτω*] cett. *καὶ ὅλως οὕτω.* In Cod. E fuit, ut in nostro, quem expressimus. Sed alia manus delevit *οὕτως.* Placet *ὅλως οὕτω.* — *τοιοῦτον*] B *οὐ τὸν τῶν.* — *ὁ ἐλεγχόμενος*] D om. *ὁ.* — *παρ' ἑαυτοῦ*] D *παρ' αὐτοῦ.* — *αὐτὸς αὑτοῦ*] D *αὐτὸς ἑαυτὸν.* Bene.

*ἀπεκρινάμην*] B *ἀποκρινάμην.* — *ἐξευρὼν*] B *ἐξευρῶν.* Sequitur in Edd. *Τὸ δὲ πῶς εἶχεν;*

„χεν; — ἔμαθον, οἶμαι, καὶ ἐγὼ ὥςπερ καὶ οἱ ἄλλοι. — „πάλιν εἰς τὸν αὐτὸν ἥκομεν λόγον· παρά του; φράζε „κἄμοιγε. — παρὰ τῶν πολλῶν.“ (p. 110. d. Bekk. p. 315.)

Τῆς μαθήσεως διττῆς οὔσης, καὶ τότε μὲν ὑπὸ τῶν κρειττόνων αἰτίων ἐφηκούσης εἰς τὰ καταδεέστερα (καθ' ὃ δὴ καὶ ὁ ἐν Τιμαίῳ λέγει δημιουργὸς πρὸς τοὺς νέους θεούς· νῦν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε) τοτὲ δὲ αὖ ἀπὸ τῶν ἐκτὸς ἀνακινουμένης (καθ' ὃ καὶ διδασκάλους εἰώθαμεν ἐπιγράφεσθαί τινας) καὶ τῆς εὑρέσεως, μεταξὺ δὲ τούτων τεταγμένης. Ἔστι γὰρ καταδεεστέρα μὲν τῆς ἀπὸ τῶν θεῶν ἐκδεδομένης τῇ ψυχῇ γνώσεως, τελειοτέρα δὲ τῆς ἔξωθεν καὶ παρ' ἄλλων ἀναμνήσεως. Περὶ μὲν τῆς κρείττονος μαθήσεως οὐδὲ ἔννοιαν ὁ Ἀλκιβιάδης ἔχει, πλὴν ὅσον εἰς τὴν κατ' οὐσίαν ἐνυπάρχουσαν ἡμῖν ἐπιστήμην ἀποβλέπων, ἥτις ἀπὸ θεῶν ἐκδέδοται· καὶ τὸ δίκαιον οἴεται γινώσκειν ἀκριβῶς· ἐλθὼν δὲ ἐπὶ τὴν εὕρεσιν μέσην οὖσαν ἐν μέσῃ τῇ ψυχῇ καὶ περικρουσθεὶς ὑπὸ τοῦ λόγου καὶ δειχθεὶς, ὡς οὔτε ἐζήτησεν οὔτε ἔχει χρόνον εἰπεῖν τῆς ἀγνοίας, ἣν ἀνάγκη προϋπάρχειν τῆς ζητήσεως. Νυνὶ δὲ πάλιν ἐπὶ τὴν δευτέραν ἔρχεται μάθησιν καὶ ἀπορί-

— καὶ οἱ ἄλλοι] B om. καὶ. — παρά του] A et B παρὰ τοῦ. Bene. D παρατοῦ. — κἄμοιγε] B κάμοίγε. D κάμοί, ut est in Edd. — τῆς μαθήσεως διττῆς οὔσης] Quae sequitur pagina edita est ad calcem libri Plotini De Pulcritudine pag. 538—540. ibique inscribitur: „Supplementum Libelli de Unitate et Pulcritudine, ex Codice Va-„ticano-Palatino Procli Comment. MS. in Alcib. I.“ Vid. ib. not. Pergit hoc fragmentum usque ad verba τὸ κρίνειν τὰ πράγματα. — τότε μὲν ὑπὸ] A B et D τοτὲ μὲν ἀπὸ. — καθ' ὃ] A et B καθὸ. — ἐν Τιμαίῳ] A D et B ἐν τῷ Τιμαίῳ. Ita et Cod. Pal. Locum vide in Platonis Timaeo pag. 41. b. Bip. T. IX. Bekk. III, 2 p. 43. [Edd. νῦν οὖν ὃ.] — μάθετε· τοτὲ] B κάθεται· τότε. Cod. Vat. alter et Ottob. ποτὲ δὲ. — καθ' ὃ καὶ] A et B καθὸ καί. — μεταξὺ δὲ τούτων] A E et B μεταξὺ τούτων δὲ. Sed in Cod. E δὲ (sic). Cod. Vat. alt. exhibet γε. qui proxime γενέσεως pro εὑρέσεως. — τεταγμένης] B τεταγμένως. — καταδεεστέρα] B καταδεέστερα. — ἀπὸ τῶν θεῶν] B ἀπὸ τούτων. Tum D ἐνδεδομένης. — τῇ ψυχῇ] B ψυχῆς. — ἐκδέδοται] A et D ἐνδέδοται. B ἐνδέδοτο. Proxime Vat. alt. περὶ pro ἐπὶ. Mox Cod. E δηχθεὶς, correctum ut videtur ex δειχθεὶς vel δεχθείς. Bene. Vat-Pal. καὶ ἀνάγκη pro ἣν ἀν. male. — ἔρχεται μάθησιν] B ἄρχεται (sic). — καὶ ἀπορίαν] A et D καὶ ἀπορία. B καὶ εὐπορία. Cod. Vat-Pal. bene ἀπορίᾳ. Tum idem male. ἀληθοῦς.

αν τοῦ ὡς ἀληθῶς διδασκάλου τῶν δικαίων τοῦ ἐπιστήμονος ἐπὶ τὸ πλῆθος καταφεύγει καὶ τὴν ἀστάθμητον τῶν πολλῶν ζωήν, καὶ ταύτην ἡγεμόνα προΐσταται τῆς τῶν δικαίων γνώσεως. Ἐνταῦθα δὴ οὖν ὁ Σωκράτης, ὥςπερ τις Ἡρακλῆς τὰς τῆς ὕδρας κεφαλὰς ἐκτέμνων, δείκνυσιν, ὅτι οὐ πᾶν τὸ πλῆθος ἀξιόπιστόν ἐστι περὶ τὴν γνῶσιν τῶν τε δικαίων καὶ τῶν ἀδίκων. Δοκεῖ μὲν ὁ λόγος οὗτος ἧττον συντελεῖν εἰς τὴν τοῦ νεανίσκου κάθαρσιν· εἰ δέ τις ἀκριβῶς θεωροίη, καὶ τοῦτον εὑρήσει τοῦ αὐτοῦ τέλους στοχαζόμενον. Πρῶτον μὲν γὰρ ὁ νεανίσκος, φιλότιμος ὤν, ἐξήρτητο τῆς δόξης τῶν πολλῶν, καὶ περὶ αὐτὴν ἐπτόητο. Δείκνυσιν οὖν ὁ Σωκράτης, ὅτι καὶ πρὸς τὸ κρίνειν τὰ πράγματα καὶ πρὸς τὸ διαγινώσκειν ἄκυρός ἐστιν ἡ τῶν πολλῶν δόξα, καὶ οὐ χρὴ ταύτῃ τὸν τοῦ καλοῦ στοχαζόμενον ἐπερείδεσθαι. Δεύτερον, ὅτι τὸ πλῆθος αἴτιόν ἐστι τῆς ψευδοδοξίας, ἐκ νεότητος ἡμῖν φαντασίας πονηρὰς καὶ πάθη ποικίλα ἐμποιοῦν· ἀνάγκη τοίνυν τὸν ἐπιστημονικὸν λόγον τὸ μὲν διάστροφον ἡμῶν ἐκ τῆς τῶν πολλῶν ὁμιλίας ἀπευθύνειν, τὸ δὲ ἐμπαθὲς γενόμενον θεραπεύειν, τὸ δὲ ἀκαθαρσίας ἀναπλησθὲν ἀποκαθαίρειν·

— *ὅτι οὐ πᾶν*] A D et B om. *οὐ*. Cod. E hanc voculam additam habet ab altera manu. — Ceterum haec mentio fabulae de Hydra Lernaea addenda est reliquis, quas enumeravit Fischer. ad Palaephat. cap. 39. p. 155. Mox Cod. Vat - Pal. post *δοκεῖ μὲν* addit *οὖν*.

— *τοῦτον εὑρήσει*] A et B *τοῦτον εὑρῆ^σ^* (sic). Post *στοχαζόμενον* Codicis Darmstadini Fragm., quod supra post *οὐδαμῶς* nullo interruptionis signo addito sex paginas transsilire diximus, ita p. 77. l. c. pergit: *ὅτι ἡ νεότης φιλότιμως οὖσα ἐξήρτηται τῆς δόξης τῶν πολλῶν, καὶ περὶ αὐτὴν ἐπτόηται. Δεῖ οὖν πρῶτον ἐπίστασθαι, ὅτι καὶ πρὸς κτλ.* Ad rem consule Plat. Republ. V. p. 475. Bip. T. VII. Bekk. III, 1. p. 263. Sympos. p. 208. Bip. T. X. Bekk. II, 2. p. 438 sq. Porphyr. Sent. 34. p. 236. Cantabr. Procl. in Tim. p. 45. extr. — In universum autem hae Nostri disputationes de *Unitione* sive *Adunatione* (si quidem hoc pacto vertere liceat illud *περὶ ἑνώσεως*) comparandae sunt cum *Plotino* in libro *περὶ τοῦ ἀγαθοῦ ἢ τοῦ ἑνός* p. 757 sqq. cum *Porphyrio* de Abstinentia I. 28 p. 44 Rhoer.; in Sententiis p. 234 sqq. ed. Cantabrig.; in fragmentis libri de Regressu Animae ap. Augustinum de Civit. Dei lib. X. cap. 28 sq.; cum *Jamblicho* apud Stobaeum in Eclogg. Vol. I. p. 1056 seqq. Heeren. et in Villoisoni Anecdott. graecc. denique cum *Hermia* in Platon. Phaedr. p. 106 Astii. — *πονηρὰς*] B et cod. Darmstad. *πονηρᾶς*. — *ποικίλα*] B. *πολλὰ* et in marg. *γρ. ποικίλλα*. Tum Cod. D *ἐμποιούσης*. — *διάστροφον*] cett. praeter unum Cod. E *διαστραφὲν*, bene.

οὕτω γὰρ ἂν ἐπιτήδειοι γενόμεθα πρὸς τὴν τῆς ἐπιστήμης ἀνάκτησιν. Τρίτον, ὅτι καὶ ἐν ἑκάστῳ ἡμῶν ἐστι τὸ πολυκεφάλαιον θηρίον, ὡς αὐτὸς εἴρηκεν, ὅπερ ἀνάλογόν ἐστι τῷ πλήθει· τοῦτο γάρ ἐστιν, ὅπερ δῆμος ἐν πόλει, τὸ ποικίλον καὶ ἔνυλον εἶδος τῆς ψυχῆς, ὃ καὶ πεζότατόν ἐστιν ἡμῶν. Παρακελεύεται τοίνυν ὁ παρὼν λόγος ἀφίστασθαι τῆς ἐπιθυμίας τῆς ἀπεράντου καὶ ἀποσκευάζεσθαι τὸ πλῆθος τῆς ζωῆς καὶ τὸν ἐν ἡμῖν δῆμον, ὡς οὐκ ὄντα κριτὴν ἀξιόπιστον τῆς ἐφέσεως τῶν πραγμάτων, οὐδὲ ἐπιστήμης τινὸς ὅλης ὑπάρχοντα δεκτικόν. Οὐδὲν γὰρ ἄλογον ἐπιστήμης πέφυκε, μὴ ὅτι τε τῶν ἀλόγων καταδεέστερον, ὃ καὶ τὸ πλῆθος ἔχον ἐν ἑαυτῷ, στασιάζει καὶ διαμάχεται πρὸς ἑαυτόν. Τέταρτον δὴ οὖν ἐπὶ τούτοις λέγομεν, ὅτι τὴν ἀπόστασιν τὴν ἀπὸ τοῦ ἑνὸς καὶ τὴν φυγὴν καὶ τὴν ἑτερότητα καὶ τὴν παντοίαν διαίρεσιν ἀξιοῖ μὴ προσίεσθαι ὁ παρὼν λόγος εἰς τὴν ἐπιστήμην καὶ

— *ἐπιτήδειοι γενόμεθα*] cett. *ἐπιτήδειοι γενοίμεθα*. Bene, et ita editum est l. c. p. 78. — *τὸ πολυκεφάλαιον*] cod. Drmst. et D *τι πολυκέφαλον*. A et B *τὸ πολυκέφαλον*, et ita editum est l. c. p. 79. Ad rem vide inprimis locum Platonis primarium Respubl. IX. p. 588. c. Bip. T. VII. Bekk. III, 1. p. 458. et Respubl. IV. p. 439. b. Bip. T. VI. Bekk. III, 1. p. 201 sq. Politic. p. 309. d. Bip. T. VI. Bekk. II, 2. p. 361. et quae in eandem sententiam supra laudavi ad cap. 56. — *ὡς αὐτὸς εἴρηκεν*] cod. Drmst. haec omisit. — *ὅπερ δῆμος*] D *εἴπερ*. B *ὅπερ ὁ δῆμος*.. Vid. Olympiodorus ad Plat. Phaedon. in Wyttenbachii notis ad eum dialogum p. 155. et cf. Maxim. Tyr. Diss. XVII. 7. p. 323; denique Jamblich. Protrept. V. p. 330 Kiessling; ubi opponitur inter se *ἡ δημώδης καὶ ἀνθρωπίνη ζωή* et *ἡ χωριστὴ καὶ θεία*. — *τὸ ποικίλον*] B *τὸ ποικίλλον*. cod. Drmst. addit *καὶ ἄλογον*. Ad sententiam cf. Proclum in Tim. p. 343. — *παρακελεύεται τοίνυν ὁ παρὼν λόγος*] pro his cod. Drmst. *δεῖ τοίνυν*. — *ἀποσκευάζεσθαι*] v. supra ad cap. 13. Ad *πληθ. τ. ζ.* cfr. Jamblich. in Stob. Eclogg. II. p. 398. — *τῆς ἐφέσεως*] cett. *τῆς φύσεως*, et ita editum est l. c. p. 80. — *τινὸς ὅλης*] cod Drmst. *τινὸς ὅλως*, ut editum est. Universe fragmentum Darmstadinum editum est plane ut Codex illud exhibuit, neque emendatur quidquam nec suppletur, nisi aliquot voces, quarum pars erasa est. — *ἄλογον ἐπιστήμης*] cod. Drmst. add. *μετέχειν*. bene. — *μὴ ὅτι τε*] cod. Drmst. *μὴ ὅτι γε*. — *τῶν ἀλόγων*] cett. *τὸ τῶν ἀλόγων*. — *καταδεέστερον*] cod. Drmst. *καταδεέστατον*. — *πρὸς ἑαυτὸν*] cod. Drmst. recte. *πρὸς ἑαυτό*. Ita etiam Cod. E ex correctione. — *ἀξιοῖ*] cod. Drmst. *ἄξιον*. — *τὴν ἀπόστασιν — ἑνὸς*. Empedocleum hoc est. V. Sturzii Empedoclea p. 452 sq. et cf. Plotin. p. 468. 757. 768. Procl. in Tim. p. 330 et Hermias in Phaedr. p. 150. — *μὴ προσίεσθαι*] cod. Drmst. *μὴ προσίεμαι*. — *ὁ παρὼν λόγος*] haec om. cod. Drmst. Ad verba *καὶ νοερὰν ζωὴν* vid. Porphyr. de Abstin. I, 30. p. 48. Eundem in Sentent. XII. p. 222. Jamblich.

νοερὰν ζωήν· ἀλλὰ πάντα ταῦτα ὡς ἀλλότρια τοῦ νοῦ καὶ τῆς ἑνώσεως τῆς θείας ἀποπέμπεσθαι. Δεῖ γὰρ μὴ τὸ ἔξω πλῆθος μόνον, ἀλλὰ καὶ τὸ ἐν ταύτῃ τῇ ψυχῇ φεύγειν, μηδὲ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ὁποιονοῦν ἀποσκευάζεσθαι.

[πβ.] Κάτωθεν οὖν ἀρχομένοις φευκτέον τὸ πλῆθος τῶν ἀνθρώπων τῶν ἀγεληδὸν ἰόντων, ὥς φησι τὸ λόγιον, καὶ οὔτε ταῖς ζωαῖς αὐτῶν οὔτε ταῖς ἰδιότησι κοινωνητέον. Φευκτέον δὲ τὰς ὀρέξεις τὰς πολυειδεῖς, αἳ μερίζουσιν ἡμᾶς περὶ τὸ σῶμα καὶ ποιοῦσιν ἄλλα τε ἐπ᾽ ἄλλα τῶν ἔξω κειμένων ὁρᾶν, τοτὲ μὲν ἐπὶ ἡδονὰς ἀλόγους, τοτὲ δὲ ἐπὶ πράξεις ἀορίστους καὶ μαχομένας ἀλλήλαις. Μεταμελείας γὰρ ἡμᾶς ἀναπιμπλᾶσιν αὗται καὶ κακῶν. Φευκτέον τὰς συντρόφους ἡμῖν αἰσθήσεις τὰς τὴν διάνοιαν ἀπαλυνούσας· καὶ γὰρ αὗται πολυειδεῖς εἰσι καὶ ἄλλοτε ἄλλων πειρῶνται τῶν αἰσθητῶν καὶ οὐδὲν ὑγιὲς λέγουσιν, οὐδὲ ἀκριβὲς, ὥςπερ φησὶν αὐτὸς ὁ Σωκράτης. Φευκτέον τὰς φαντασίας ὡς μορφωτικὰς καὶ ὡς μεριστὰς καὶ ὡς ποικιλίαν ἀμήχανον ὅσην ἐπειςαγούσας, καὶ πρὸς τὸ ἀμε-

apud Stob. Eclogg. II. p. 404. Protrept. p. 30. Proclum ipsum in Tim. l. l. — Inde a verbis *Δεῖ γὰρ μὴ* continuantur excerpta latina Ficini p. 244. — *καὶ τὸ ἐν ταύτῃ .... μόνον, ἀλλὰ καὶ*] haec om. cod. Drmst. Cod. E in marg. *γρ. ἐν αὐτῇ.*

*ἀρχομένοις*] B et cod. Drmst. *ἀρχομένους.* — *ὥς φησι τὸ λόγιον*] om. cod. Darmst. Homericum est vocabulum *ἀγεληδόν*; vid. Il. π,160 sq. In oraculis, quae saepe laudavimus, hic locus non est. Eandem sententiam frequentant philosophi: Pythagoras ap. Porphyr. de vit. Pyth. sect. 32 et apud Procl. in Tim. p. 119 itemque de Abstin. I. 35 p. 69. Jamblich. de Myster. Aegypt. V. 18 p. 133 Gal. — *ταῖς ἰδιότησι*] cod. Drmst. *ταῖς δόξαις.* A et B *ταῖς* .... seq. lac. — *φευκτέον δὲ*] cett. om. *δὲ.* — *ἄλλα τε ἐπ᾽ ἄλλα*] Drmst. *ἄλλοτε ἐπ᾽ ἄλλο.* E A D et B *ἄλλοτε ἐπ᾽ ἄλλα.* — *τῶν ἔξω κειμένων ὁρᾶν*] cett. *τῶν ἔξω κειμένων ὁρμᾶν.* Bene. — *τοτὲ μὲν .... τοτὲ δὲ*] A et B *τότε μὲν .... τότε δε.* Drmst. *τοτὲ μὲν ... ὅτε δὲ.* — *τὰς συντρόφους*] B *γὰρ συντρόφους.* — *ἀπαλυνούσας*] Drmst. *ἀπατώσας.* D A et B *ἀπατούσας.* E a prima manu, ut videtur, *ἀπαλυνούσας.* *Mosero* arridebat prae ceteris *ἀπαλυνούσας emollientes*; *Werfero*: *ἀπαιολώσας conturbantes*, *fallentes.* *Jacobs* ad Antholog. Palat. p. 603 conjicit: *παλευούσας allicientes*, *illicientes.* Vid. ibid. laudata et disputata. Adde Wyttenb. Animadvv. in Plutarch. de discern. amic. p. 438. Quid Ficinus legerit, obscurum est. — *ἄλλοτε ἄλλων*] Drmst. *ἄλλοτε ἀλλοίων.* — *ὥςπερ φησὶν αὐτὸς ὁ Σωκρ.*] haec om. Drmst. Ad rem v. Platon. Cratyl. p. 182. Heindf. et Jamblich. in Villoison. Anecdott. p. 194; *ὡς τῆς αἰσθήσεως οὐδὲν ὑγιὲς ποιούσης.* — *ἐπειςαγούσας*] B *ἐπειγούσας.*

ριστον καὶ ἄϋλον οὐκ ἐώσας ἡμᾶς ἀναχωρεῖν, ἀλλὰ σπεύδοντας τῆς τοιαύτης οὐσίας ἀντιλαβέσθαι κατασπώσας ἐπὶ τὴν παθητικὴν νόησιν. Φευκτέον ἀπὸ τῶν δοξῶν· ποικίλαι γὰρ αὗται καὶ ἄπειροι καὶ εἰς τὸ ἐκτὸς φερόμεναι καὶ τῇ φαντασίᾳ καὶ τῇ αἰσθήσει συμμιγεῖς, καὶ οὐδὲ αὗται καθαρεύουσαι τῆς ἐναντιώσεως. Μάχονται γάρ που καὶ δόξαι ἀλλήλοις ἐν ἡμῖν, ὥςπερ φαντασίαις φαντασίας καὶ αἰσθήσεις αἰσθήσεσι. Ταῦτα δὴ πάντα τὰ μεριστὰ καὶ ποικίλα τῆς ζωῆς εἴδη φεύγοντες ἐπ' αὐτὴν ἀναδράμωμεν τὴν ἐπιστήμην, κἀκεῖ τὸ πλῆθος τῶν θεωρημάτων εἰς ἕνωσιν συνάγωμεν, καὶ τὸ πλῆθος τῶν ἐπιστημῶν ἑνὶ συνδέσμῳ περιλάβωμεν. Οὔτε γὰρ στάσις οὔτε ἐναντίωσίς ἐστιν ἐπιστημῶν πρὸς ἐπιστήμας, ἀλλ' ἀεὶ ταῖς πρὸ αὐτῶν ὑπουργοῦσιν αἱ δεύτεραι, καὶ ἔχουσι τὰς οἰκείας ἀρχὰς ἀπ' ἐκείνων. Δεῖ δὲ ὅμως ἐνταῦθα πρὸς τὴν μίαν ἐπιστήμην ἀπὸ τῶν πολλῶν ἑαυτὸν περιάγειν τὴν ἀνυπόθετον καὶ πρώτην, καὶ ταῖς ἄλλαις ἁπάσαις εἰς ἐκείνην ἀνατείνειν· μετὰ δὲ τὴν ἐπιστήμην καὶ τὴν ἐν αὐτῇ γυμνασίαν τὰς μὲν συνθέσεις καὶ τὰς διαιρέσεις καὶ τὰς πολυειδεῖς μεταβάσεις ἀποθετέον, ἐπὶ δὲ τὴν νοερὰν ζωὴν καὶ τὰς ἁπλας ἐπιβολὰς μεταστατέον τὴν ψυχήν. Οὐ γάρ ἐστιν ἐπιστήμη τῶν γνώσεων καὶ ἀκρότης, ἀλλὰ καὶ πρὸ ταύτης ὁ

— *καθαρεύουσαι*] A *καθαρεύουσιν*. B et Drms. *καθαρεύουσι*, cf. Porphyr. de Abstin. I, 31. p. 51. Procl. in Platon. Tim. p. 343. — *καὶ δόξαι*] B et Dst. om. *δόξαι*. — *ἀλλήλοις*] cett. *ἀλλήλαις*, uti legendum. — *φαντασίαις φαντασίας*] A et E *φαντασίαις φαντασίαι*. Dst. *φαντασίαι φαντασίαις*. B *φαντάσεως φαντασίαι*. Proba est lectio Cod. Dst. — *εἴδη φεύγοντες*] Dst. *ἤδη φεύγοντες*. Vid. Platon. Respubl. V, p. 476 sqq. Bip. T. VII. Bekk. III. 1. p. 265 sqq. Jamblich. apud Stob. Eclogg. I. p. 1058. 1062. Proclus in Tim. p. 347. Idem in Polit. p. 424. Hermias in Phaedr. p. 106. — *τὴν ἐπιστήμην*] B *τὴν ἐπιστήμονα* (ην superscr.) in marg. *γρ. ἐπιστήμην*. — *κἀκεῖ*] Dst. *καὶ*. — *συνάγωμεν*] cett. *συναγάγωμεν*, praeter unum E. — *ταῖς πρὸ αὐτῶν*] B *ταῖς πρὸς αὐτὸν*. — *ὑπουργοῦσιν*] Dst. *καὶ ὑπουργοῦσιν*. — *ταῖς ἄλλαις ἁπάσαις*] cett. bene cum Fic. *τὰς ἄλλας ἁπάσας*. E hoc in margine, illud in contextu habet. Ad verba *μίαν ἐπιστήμην* cf. Platon. Sympos. p. 210. d. Bip. T. X. Bekk. II. 2. p. 443. et ad vocem *ἀνυπόθετον* Jamblich. Protrept. 4. p. 56. ib. Vulcanium.. — *καὶ τὰς ἁπλὰς*] Dst. *καὶ τὰς ἁπλᾶς*, bene. Similiter Jamblichus in Protrept. IV. p. 56. usurpat *τὰς ἁπλουστάτας ἐπιβολὰς simplicissimas notiones*. Cf. insuper Proclum in Politiam p. 371. — *καὶ ἀκρότης*] Dst. *καὶ* (ἡ superscr.) *ἀκρότης*.

νοῦς· οὐ λέγω τὸν ἐξηρτημένον τῆς ψυχῆς νῦν, ἀλλ' αὐτὴν τὴν ἐκεῖθεν ἔλλαμψιν τὴν ἐφήκουσαν τῇ ψυχῇ, περὶ οὗ καὶ ὁ Ἀριστοτέλης φησὶν, ὅτι νοῦς ἐστιν, ᾧ τοὺς ὅρους γινώσκομεν, καὶ ὁ Τίμαιος, ὅτι ἐν οὐδενὶ ἄλλῳ ἐγγίνεται ἢ ἐν τῇ ψυχῇ. Ἐπὶ τοῦτον τοίνυν τὸν νοῦν ἀναβάντες μετ' αὐτοῦ τὴν νοητὴν οὐσίαν θεασώμεθα, ταῖς ἁπλαῖς καὶ ἀμερίστοις ἐπιβολαῖς τὰ ἁπλᾶ καὶ ἀτρεμῆ καὶ ἀμέριστα τῶν ὄντων ἐποπτεύοντες γένη, μετὰ δὲ τὸν πολυτίμητον νοῦν αὐτὴν τὴν ἄκραν ὕπαρξιν ἀνεγεῖραι δεῖ τῆς ψυχῆς, καθ' ἣν ἐσμεν καὶ ὑφ' ἧς τὸ πλῆθος ἑνίζεται τὸ ἐν ἡμῖν. Ὡς γὰρ νοῦ μετέχομεν κατὰ τὸν εἰρημένον νοῦν, οὕτω καὶ τοῦ πρώτου, παρ' οὗ πᾶσιν ἡ γνῶσις κατὰ τὸ ἓν καὶ οἷον ἄνθος τῆς οὐσίας ἡμῶν, καθ' ὃ καὶ μάλιστα τῷ θείῳ συναπτόμεθα. Τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον πανταχοῦ καταληπτὸν, τὰ μὲν ἐπιστητὰ τῇ ἐπιστήμῃ, τὰ δὲ νοητὰ τῷ νῷ, τὰ δὲ ἑνικώτατα μέτρα τῶν ὄντων τῷ ἑνὶ τῇ ψυχῇ. Αὕτη τῶν ἡμετέρων ἐστὶν ἐνεργειῶν ἡ ἀκροτάτη· κατὰ ταύτην ἔνθεοι γενώμεθα πᾶν τὸ πλῆθος φυγόντες καὶ εἰς αὐτὴν συννεύσαντες τὴν ἕνωσιν ἡμῶν καὶ ἓν γενόμενοι καὶ ἑνοειδῶς ἐνεργήσαντες. Καὶ ταύτην ὁ Σωκράτης προεντρεπί-

— ἐξηρτημένον] Dst. ἐξῃρημένον, ut Fic. Ad sententiam cf. Plotin. p. 267. Proclum in Tim. p. 75. — ψυχῆς νῦν] cett. ψυχῆς νοῦν. Fuit etiam νῦν in Cod. E, sed correxit alia manus νοῦν. — ὁ Ἀριστοτέλης] A et Dst. om. ὁ. Vid. Aristot. Analyt. poster. I, 3. p. 202. Sylb. cf. Budaei Commentar. ling. graec. p. 154. Eundem Aristotelis locum laudat Noster in Timaeum. p. 133. — ᾧ τοὺς ὅρους] B ᾧ ὃς ὅρους. — ἐν τῇ ψυχῇ] Dst. om. τῇ. cf. Platon. Tim. p. 30. b. Bip. T. IX. Bekk. III, 2. p. 26. cf. Proclum in eum p. 124. Plotin. l. l. et Jamblich. ap. Stob. Eclogg. I. p. 886. — τὰ ἁπλᾶ] B τὸν ἁπλῶς. cf. Plotin. de Pulcr. pag. 54. A. — ἀνεγεῖραι δεῖ] B ἀνεγείρας δεῖ. Ad sententiam cf. Porphyr. apud Stob. Eclogg. I. 51 p. 783 sq. et Proclus in Tim. p. 123. — καθ' ἣν ἐσμεν] cett. praeter Cod. E cum Fic. καθ' ἣν ἓν ἐσμεν. — πᾶσιν ἡ γνῶσις] Dst. πᾶσα ἡ γνῶσις. — κατὰ τὸ ἓν] Dst. μετὰ τὸ ἕν. Ad ea, quae sequuntur Τῷ γὰρ ὁμοίῳ κτλ. cf. Aristot. de Anima I. 2. p. 6. Sylb. Sext. Empir. adv. Mathemm. I. 13. p. 283 Fabric. et Porphyrii sentent. XXVI. p. 229. Post haec D pro πανταχοῦ habet πάντως. — μέτρα] B τὰ μέτρα. Mox Cod. E in margine ad τῇ ψυχῇ habet γρ. τῆς ψυχῆς. — ἐστὶν ἐνεργειῶν] Dst. ἐνεργειῶν ἐστι. — γενώμεθα] D γενόμεθα. cett. γινόμεθα, excepto Cod. E. cf. Porphyr. sentent. 34. p. 236. Jamblich. ap. Stob. Eclogg. II. 346. — ἕνωσιν ἡμῶν] Dst. om. ἡμῶν. Sed agnoscit Ficinus. — καὶ ταύτην ὁ Σωκρ. .... παρακελεύεται] Pro his in Dst. ταύτην προευτρεπιζέτω πᾶς τις ἑαυτῷ τὴν μακαρίαν ζωὴν ὡς.

ζων ἡμῖν τὴν μακαρίαν ζωὴν παρακελεύεται μηδαμοῦ προςίεσθαι τὸ ἔξω πλῆθος.

[πγ.] Ἔτι καὶ φευκτέον τὸ σύστοιχον πλῆθος, ὡς ἂν ἴου τὸ ἄνθος τοῦ νοῦ καὶ τὴν ὕπαρξιν ἡμῶν ἀνιόντες καταντήσωμεν. Καὶ οὕτω μὲν, εἰ βούλει κατὰ τὰς γνώσεις ὁδεύειν, ὄψει τὴν τοῦ Σωκράτους παρακέλευσιν ὀρθήν· εἰ δὲ καὶ κατ' αὐτὰ τὰ γνωστὰ μετιέναι τὸν λόγον θέλεις, φύγε τὰ αἰσθητὰ πάντα. Διαπεφορημένα γάρ ἐστι καὶ μεριστὰ καὶ τῆς ἀκριβοῦς μεταλήψεως ἀμέτοχα, καὶ ἀπὸ τούτων ἄναγε σαὐτὸν ἐπὶ τὴν ἀσώματον οὐσίαν. Πᾶν γὰρ αἰσθητὸν ἐπεισοδιώδη τὴν ἕνωσιν ἔχει καὶ διασκεδάννυται καθ' ἑαυτό· καὶ δὴ καὶ ἀπειρίας ἀναπέπλησται. Διὸ δὴ καὶ τὸ ἀγαθὸν αὐτοῦ ἀμέριστόν ἐστι καὶ ἐπίκτητον καὶ ἐξιστάμενον ἀφ' ἑαυτοῦ καὶ ἐπ' ἀλλοτρίας ἕδρας τὴν ὑπόστασιν ἔχον. Ἀναβὰς δὲ ἐκεῖ καὶ γενόμενος ἐν τοῖς ἀσωμάτοις ὄψει τὸν ψυχικὸν ἐκεῖνον ὑπὲρ τὰ σώματα διάκοσμον, αὐτοκίνητον μὲν καὶ αὐτενέργητον καὶ ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ τὴν ὑπόστασιν ἔχοντα, πεπληθυσμένα δὲ ὅμως καὶ ἔμφασιν προειληφότα τοῖς μεριστοῖς περὶ τοῖς σώμασιν οὐσίαις, λόγων σχέσεις παμπληθεῖς καὶ ἀναλογίας καὶ συνθέσεις καὶ ὅλα μέρη καὶ κύκλους ψυχικοὺς καὶ δυνάμεων ποικιλίαν θεάσῃ, καὶ τὴν τελειότητα αὐτῶν οὐκ οὖσαν αἰώ-

— *μηδαμοῦ προςίεσθαι*] in marg. Dst. *καὶ μηδαμοῦ προςίεσθαι.*
*ὡς ἂν ἴου*] cett. *ὡς ἂν εἰς.* Sed E in contextu *εἴου*, in margine: *εἰς*, *ut alter MS.* Ad vocem *σύστοιχον* vid. Suid. in voc. Borger. Specim. hermen. in epist. ad Galat. p. 309 sq. Saepius utitur hac voce Noster; v. c. in Tim. et Polit. p. 417. 419. Cf. etiam Wolf. Anecdott. grr. II. p. 93. Ad verba *ἄνθος τοῦ νοῦ* Procl. in Platon. Tim. p. 330. — *κατὰ τὰς γνώσεις*] in Dst. corr. *γνώμας.* — *τὴν τοῦ Σωκρ.*] Dst. *τὴν ἐμήν.* — *λόγον θέλεις*] Dst. D et B *λόγον ἐθέλοις.* A *λόγον θέλοις.* — *μεταλήψεως*] Dst. D et B *καταλήψεως.* Eadem est sententia Porphyrii, Sentent. XXXIII. p. 234. — *ἕνωσιν ἔχει*] B *ἕνωσιν ἔχει μα .....ον* (sic). cf. Jambl. ap. Stob. Ecl. II. p. 400. Protrept. p. 33. Procl. in Plat. Tim. p. 329. — *ἀμεριστόν ἐστι*] cett. *μεριστόν ἐστι.* Fic. *partibile.* — *ἀναβὰς δὲ*] cett. *καὶ ἀναβὰς δὲ.* — *ὑφ' ἑαυτοῦ*] cett. *ἐφ' ἑαυτοῦ*, excepto, ut semper fere, Cod. E. Fic. *ex se.* — *πεπληθυσμένα*] Dst. recte *πεπληθυσμένον.* Vid. Plotin. p. 757. D E. 761. C. 766. E. — *τοῖς μεριστοῖς περὶ*] D Dst. et E, hic in marg., *τῆς με-*
*παρὰ*
*ριστῆς περὶ.* Mox E *οὐσίας*, ut editum est l. c. — *παμπληθεῖς*] Dst. *παμπλήθεις.* — *συνθέσεις*] cett. *συνδέσεις.* Fic. *vincula.* — *μέρη*]
*σωματικοὺς*
Dst. *καὶ μέρη.* — *ψυχικοὺς*] Dst. *ψυχικοὺς* (sic).

νιον, οὐδὲ ὁμοῦ πᾶσαν ἑστῶσαν, ἀλλὰ κατὰ κρόνον ἀνελισσομένην καὶ ἐν διεξόδοις ὑφεστηκυῖαν. Τοιαύτη γὰρ ἡ ψυχῆς φύσις. Μετὰ δὲ τὸ ἐν ψυχαῖς πλῆθος ἀνατείνειν σαυτὸν ἐπὶ νοῦν καὶ τὰς νοερὰς βασιλείας, ἵνα τῆς ἑνώσεως ἀντιλάβῃ τῶν πραγμάτων, καὶ θεατὴς γενοῦ τῆς φύσεως ἐκείνης, καὶ ἴδε μένουσαν ἐν αἰῶνι φύσιν καὶ ζωὴν ζέουσαν καὶ ἄγρυπνον νόησιν, καὶ μηδενὶ λείπουσαν εἰς τὸ ζῆν, μηδὲ χρόνων δεομένην, μηδὲ περιόδων εἰς τὸ τέλειον, καὶ ταῦτα ἰδὼν καὶ, ὅσῳ δεῖ ταῦτα ψυχῶν κρείττω, θεασάμενος ζήτησον, εἰ μηδὲν ἐν τούτοις πλῆθος, μηδὲ ὁ νοῦς εἷς ὢν καὶ παντελής ἐστι, μηδὲ μονοειδὴς ὢν καὶ πολυειδὴς ὑπάρχει. Μαθὼν δὲ καὶ ἐποπτεύσας τὸ νοερὸν πλῆθος τὸ ἀμέριστον καὶ ἡνωμένον, ἴθι δὴ πάλιν ἐπ' ἄλλην ἀρχὴν καὶ πρὸ τῶν νοερῶν οὐσιῶν τὰς ἑνάδας αὐτῶν σκόπει καὶ τὴν ἐξῃρημένην ὅλων ἕνωσιν. Κἀνταῦθα γενόμενος πᾶν τὸ πλῆθος ἔσῃ καταλιπὼν, καὶ πρὸς αὐτὴν ἀναβεβηκὼς τὴν τοῦ ἀγαθοῦ πηγὴν ὁρᾷς, ὅσην οὐ σμικρὰν ἡμῖν βοήθειαν ὁ προκείμενος προδείκνυσι λόγος ἀναφεύγειν ἀπὸ τοῦ πλήθους παρακελευόμενος, καὶ ὅπως εἰς πᾶσαν συντελεῖ σωτηρίαν τῆς ψυχῆς εἰς τὸ διὰ πάντων τῶν ὄν-

— κατὰ κρόνον] Dst. κατὰ χρόνων. A et B κατὰ χρόνον. Del. κατὰ et leg. χρόνῳ ex Fic. [nisi malis κατὰ χρόνον.] Ad verba ἐν διεξ. ὑφεστ. cf. Plotin. III, 8, 8. Clem. Al. Strom. IV, 25. Jambl. Protr. p. 96. — ἀνατείνειν σαυτὸν] cett. excepto E ἀνάτεινον σαυτὸν. Vid. Plotin. V, 3, 3. — Ad ζωὴν ζέουσαν. Platon. Phaedr. p. 251. b. Bip. T. X. Bekk. I. 1. p. 49. Ad ἄγρυπνον νόησιν Porphyr. de Abstin. I, 27. p. 44. — μηδὲ χρόνων] Dst. μηδὲ χρόνου. — δεῖ ταῦτα ψυχῶν] Dst. cum Fic. δὴ ταῦτα ψυχῆς. — παντελής ἐστι] B πολυειδής ἐστι. Ad verba, quae sequuntur, ἐποπτεύσας τὸ νοερὸν πλῆθος vid. Plotin. p. 759. A—E. 762 E. Porphyrii Sententt. XIV. 223. Proclus in Tim. p. 75 et 133. Idem Institut. theol. §. 62. et Psellus de omnifaria doctrina c. 26. p. 92 ed. Fabric. — ἴθι δὴ] Dst. om. δή. A et B ἴσθι δή. — ἐξῃρημένην ὅλων] Dst. ἐξῃρημένων τῶν ὅλων. corr. ἐξῃρημένην. Recte. A ἐξῃρμένην τῶν ὅλων. B ἐξῃρημένην τῶν ὅλων. D ἐξῃρημένην τὴν ὅλων. — γενόμενος πᾶν] D A et B μενόμενος πᾶν, in marg. Cod. B ἴσως. μαινόμενος. — ἔσῃ καταλιπὼν] Dst. ἤδη καταλιπών. — ὁρᾷς ὅσην] D A et B ὁρᾷς ὅπως. — συντελεῖ σωτηρίαν] Dst. D et A συντελεῖ τὴν σωτ. B τελεῖ τὴν σωτ. Ad rem vid. Plotin. p. 763. D. 767. E. Porphyr. apud Procl. in Plat. Tim. p. 64. et Proclus ipse ibid. p. 330. — τῶν ὄντων] om. Dst. Paulo superius Cod. E εἰ τὸ pro εἰς τὸ, idem habet Cod. Drmst.

των διῆκον πλῆθος ἐννοήσωμεν. Ἀρχὴν ἄρα καλλίστην ὑφηγεῖται τῆς τελειότητος ἡμῖν τὸ τῶν πολλῶν ἑαυτοὺς χωρίζειν τῶν τε ἔξω κειμένων καὶ τῶν ἐν ταῖς ὀρέξεσι τῆς ψυχῆς καὶ τῶν ἐν ταῖς ἀορίστοις δοξαστικαῖς κινήσεσιν. Ἐκ δύο τούτων φανερὸν, ὅτι τὰς γνώσεις οὐκ ἀπὸ τῶν αἰσθητῶν ἀθροίζουσιν, οὐδὲ ἀπὸ τῶν μερικῶν καὶ διῃρημένων πραγμάτων τὸ ὅλον εὑρίσκουσι καὶ τὸ ἓν, ἀλλ' ὡς ἔνδοθεν τὴν μάθησιν προβάλλουσι καὶ ἐπανορθοῦνται τὸ ἀτελὲς τῶν φαινομένων. Οὐ γὰρ δεῖ τὰ μηδαμῇ μηδαμῶν ὄντα ἀρχηγικὰ νομίζειν αἴτια τῆς ἐν ταῖς ψυχαῖς γνώσεως εἶναι, τὰ μαχόμενα πρὸς ἑαυτὰ καὶ ἐνδεῆ τούτων τῶν λόγων καὶ ἀμφίβολα προΐστασθαι τῆς ἐπιστήμης ὡςαύτως ἐχούσης αὐτῆς, οὐδὲ μεταβάλλοντα ποικίλως τῶν ἐν ἑνὶ ἑστηκότων λόγων γεννητικὰ τίθεσθαι καὶ τῆς ὁρισμένης νοήσεως τὰ ἀόριστα. Οὐκ ἄρα ἀπὸ τῶν πολλῶν εἰςδέχεσθαι δεῖ τὴν τῶν ἀϊδίων πραγμάτων ἀλήθειαν, οὔτε ἀπὸ τῶν αἰσθητῶν τὴν τῶν καθόλου διάκρισιν οὔτε ἀπὸ τῶν ἀλόγων τὴν περὶ τῶν ἀγαθῶν κρίσιν, ἀλλ' ἑαυτὴν ἰοῦσαν τὴν ψυχὴν ἐν ἑαυτῇ ζητεῖν καὶ τὸ ἀληθὲς καὶ τὸ ἀγαθὸν καὶ τοὺς ἀϊδίους τῶν ὄντων λόγους. Πλήρης γάρ ἐστιν αὐτῆς ἡ οὐσία τούτων· ἐπικρύπτεται δὲ ἐκ τῆς γενεσιουργοῦ λήθης καὶ πρὸς ἄλληλα βλέπει ζητοῦσα τὸ ἀληθὲς, ἔχουσα αὐτὸ

— ἐννοήσωμεν] Dst. et D ἐννοήσομεν. Illud soloecum. — δοξαστικαῖς] Dst. καὶ δοξασταῖς. — ἐκ δύο τούτων] Dst. ἐκ δὲ τούτων. B ἐκ δὴ τούτων. Utrumque praestat nostro. — ὅτι τὰς γνώσεις] Dst. et B ὅτι καὶ γνώσεις. — ἀθροίζουσιν] cett. add. αἱ ψυχαί. Mox Cod. E ἔνθεν, pro ἔνδοθεν, sed hoc alia manus margini allevit. — δεῖ τὰ μηδαμῇ μηδαμῶς] Dst. δεῖ τὰ μηδαμῶς μηδαμῇ. A et B δὴ τὰ μηδαμῇ μηδαμῶς. E a prima manu δὴ, ab altera habet δεῖ. D τὰ μηδαμῇ ὄντα. Ad v. ἀρχηγικὰ v. Jambl. Protrept. II. p. 320. — γνώσεως εἶναι] καὶ adscripsit Dstadino manus recentior et habet Fic. — οὐδὲ μεταβάλλοντα] Dst. οὐδὲ τὰ μεταβάλλοντα. — ἐν ἑνὶ .... λόγων] Dst. ἑνὶ .... λόγω (γεννητικὰ), omisso ἐν. — γεννητικὰ] Dst. γενητικὰ (sic). B γεννητικός. — ὁρισμένης] cett. recte ὡρισμένης, excepto E. — τὴν περὶ τῶν ἀγαθῶν] Dst. om. περὶ. Ad verba οὔτε ἀπὸ τῶν αἰσθ. v. Platon. Phaedr. p. 249. p. 26. Ast. et Hermias ad eum dialog. p. 146 et 154. Philoponus ad Aristotel. Analyt. poster. fol. 100 seq. Stob. Eclogg. I. p. 1058 et Proclus in Polit. p. 422. — ἑαυτὴν ἰοῦσαν] Dst. αὐτὴν ἰοῦσαν. — πρὸς ἄλληλα] cett. πρὸς ἄλλα, sed E a prima manu habuit ἄλληλα, correctoris manus scripsit ἄλλα. Ad verba γενεσιουργοῦ λήθης vid. supra ad initium hujus libri. — τὸ ἀληθὲς] cett. praeter unum E ἀληθές.

κατ' οὐσίαν, καὶ ἐν ἄλλοις σκοπεῖ τὸ ἀγαθὸν ἀφεῖσα ἑαυτήν. Ἐντεῦθεν ἄρα καὶ τῆς ἑαυτῶν γνώσεως ἡμῖν ἀρχὴ παραγίνεται. Ἐὰν μὲν γὰρ εἰς τὸ πλῆθος τῶν ἀνθρώπων ἀποβλέπωμεν, οὐκ ἄν ποτε ἴδοιμεν τὸ ἓν εἶδος αὐτῶν ἐκ τοῦ πλήθους ἐπισκιαζόμενον καὶ τοῦ μερισμοῦ καὶ τῆς διαστάσεως καὶ τῆς μεταβολῆς τῆς παντοίας μετειληφότων· ἐὰν δὲ εἰς ἑαυτοὺς ἐπιστραφῶμεν, ἐκεῖ καὶ τὸν λόγον τὸν ἕνα καὶ τὴν φύσιν τὴν ταμίαν τῶν ἀνθρώπων θεωρήσομεν ἀνεπιθόλωτον. Εἰκότως ἄρα ὁ Σωκράτης πόῤῥωθεν ἀναστέλλει τὴν ψυχὴν τῆς εἰς τὸ πλῆθος ἀφοράσεως, τὴν μέλλουσαν γνῶσιν, τίς ὁ ἀληθῶς ἄνθρωπος, καὶ τὰς ἐμποδίους δόξας προανακαθαίρει τῆς τοιαύτης θεωρίας. Τὸ ἐμπόδιον γάρ ἐστι τὸ πλῆθος πρὸς τὴν εἰς ἑαυτοὺς ἡμῶν ἐπιστροφὴν καὶ πρὸς τὴν γνῶσιν τοῦ ἑνὸς εἴδους. Διότι καὶ δεῖ καὶ τῷ ἑνὶ τὸ ποικίλον ἐπισκιάζειν, καὶ τῷ αὐτῷ τὸ ἕτερον, καὶ τῷ ὁμοίῳ τὸ ἀνόμοιον ἐν τοῖς ἐνύλοις πράγμασιν. Οὐ γάρ ἐστιν ἀσυγχύτως ἐνταῦθα τὰ εἴδη, οὐδὲ ἀμιγῆ τὰ βελτίονα πρὸς τὰ χείρονα. Τοῖς οὖν τὰ ἕκαστα τῶν ἀγαθῶν βουλομένοις ἀφ' ἑαυτῶν ἀποστρέφε-

— *ἀποβλέπωμεν*] B *ἀποβλεπόμενος. γρ. ἀποβλέπομεν.* — *ἐκ τοῦ πλήθους ἐπισκιαζόμενον*] Dst. et D *ἐπισκιαζομένου· ἐκ τοῦ πληθ.* A et B *ἐπισκιαζόμενον ἐκ τοῦ πλ.* Cum nostro E et Fic. — *μετειληφότων*] cett. *τῶν μετειληφότων*, sed E ut noster, nisi quod habuit a prima manu *μετ' εἰληφότων.* — *εἰς ἑαυτοὺς*] Dst. *εἰς αὑτούς.* — *τὴν ταμίαν*] cett. *τὴν μίαν*, cum Ficino. Ad v. *ἀνεπιθόλωτον* (qua caret Stephani Thes. recepit eam Schneiderus in Lex.) v. Sext. Empir. adv. Gramm. I, 13. p. 281. Fabric. De *θολερὸς* et *θολόω* vid. Ruhnken. ad Tim. Lex. Platon. p. 142 et Joseph. Bekker. ad Philostr. Vit. Apollon. I. 9. Alia apposui ad calc. Plotin. de pulcr. p. 95 sq. — *ὁ Σωκράτης*] Dst. *ὁ λόγος παρεγγυᾷ καί.* — *γνῶσιν, τίς ὁ ἀληθῶς*] A *γνώσεσθαι, τίς ὡς ὁ ἀλ.* B *γνώσεσθαι, τίς ἄρα ὁ ὡς ἀλ.* Dst. et D *γνώσεσθαι, τίς ὁ ὡς ἀλ.* E *γνώσεσθαι, τίς ὁ ἀληθῶς ἄνθρωπος.* cf. Porphyrius de *Nosce te ipsum* ap. Stob. Serm. 121. p. 186. Pauli Epist. ad. Rom. VII. 22. 23. 25. — *προανακαθαίρει*] cett. *προανακαθαίρειν*, sed E ut Leid. cf. Plotin. de Pulcr. p. 55. A. F. — *τῆς τοιαύτης*] B *τῆς αὐτῆς.* — *τὸ ἐμπόδιον*] Dst. et B om. *τό.* — *εἰς ἑαυτοὺς ἡμῶν*] Dst. et A *εἰς αὑτοὺς ἡμᾶς.* Vid. supra ad cap. 7. — *διότι καὶ δεῖ καὶ*] Dst. et D *διότι δή.* A et B *διότι καὶ δὴ καὶ.* Cum Ficino. — *τῷ ἑνὶ*] A *τὸ ἑνὶ.* — *ἐπισκιάζειν*] Dst. *ἐπισκιάζει.* Cum Fic. cf. Lysis Pythagoreus ap. Jambl. de Vit. Pythag. sect. 77. p. 64. Kust. — *καὶ τῷ αὐτῷ*] cett. *καὶ τῷ ταὐτῷ.* — *ἀφ' ἑαυτῶν*] Dst. et D *ἐφ' ἑαυτῶν.* Post haec verba Censor. Batavus Plotiniani libri de pulcr. a me editi, vir eruditus, quo apta ex his verbis sententia nascatur, inserendum judicat *ἰδεῖν*, ut construatur: *τοῖς — βουλομένοις ἐφ' ἑαυτῶν ἰδεῖν, προσήκει κτλ.*

σθαι προςήκει τὰ πρὸς αὐτὰ ἀλλότρια. Ταῦτα μὲν οὖν περὶ τοῦ παντὸς ἡμῖν εἰρήσθω συλλογισμοῦ, τὴν διὰ πάντων διήκουσαν ὠφέλειαν ἀπ' αὐτοῦ καταδησαμένοις· λοιπόν ἐστι, τὰ τοῦ Πλάτωνος ῥήματα θεωρεῖν. Ἔστι δή τι παρὰ τοῖς διαλεκτικοῖς ὄνομα λεγόμενον ἐπὶ τῶν συγχωρησάντων μὲν ἐξ ἀρχῆς ταῖς προτάσεσι, μετὰ δὲ τὸ συμπέρασμα καὶ τὸν συλλογισμὸν αὖθις πρός τινα τῶν συγκεχωρημένων προτάσεων ἱσταμένων, καὶ τοῦτο καλοῦσιν ἀναθέσθαι· τοῦτο δὴ καὶ ἐν τούτοις ὁ Ἀλκιβιάδης ποιεῖ. Τῶν γὰρ ἐξ ἀρχῆς προτάσεων ἀνατίθεταί τι τὸν ἔλεγχον φυγεῖν ἐπιχειρῶν, καὶ ἐπειδὴ συγχωρήσας ἑαυτὸν πρότερον μήτε μαθεῖν τὰ δίκαια μήτε εὑρεῖν ἑώρα συνεσεισμένον εἰς παντελῆ τῶν δικαίων ἄγνοιαν ὑπὸ τοῦ λόγου, τὸ μὴ μαθεῖν ἀνατίθεται νῦν, καί φησι διὰ μαθήσεως ἐγνωκέναι τὰ δίκαια, καὶ κακῶς ἔξαρνος γενέσθαι τὴν ἀρχὴν, ὡς ἄρα οὐκ ἔμαθεν, καὶ τῆς μαθήσεως ταύτης διδασκάλους προΐσταται τοὺς πολλούς. Τοῦ γὰρ ἑνὸς ἀπορῶν καθηγεμόνος ἐπὶ τὸ πλῆθος φέρεται, καὶ τούτῳ τὴν ἑαυτοῦ γνῶσιν ἀνατίθεται. Καὶ ἔοικεν ὁ νεανίσκος ὑπὸ τῶν σοφιστικῶν λόγων, ὡς τὸ εἰκός, περιφερομένων ἀναπεπεισμένος ταύτης προΐστασθαι τῆς δόξης, ὡς ἄρα οἱ πολλοὶ διδάσκαλοι τῶν δικαίων

— *αὐτοῦ καταδησαμένοις*] B *αὐτοῦ καταδησαμένους.* E in margine *καταδησαμένου.* Inde ab hoc loco usque ad verba *Σύστοιχος οὖν ἐστι* pag. seq. omnia desunt in Fragm. Darmst. Vid. not. 49. l. c. p. 97. — *τοῦτο δὴ καὶ ἐν*] A et B *τοῦτο δὴ οὖν καὶ ἐν.* — *ἀνατίθεταί τι*] B *ἀνατίθεταί τις.* — De verbo *ἀναθέσθαι*, *retractare*, cujus vim optime h. l. explicat Proclus, cf. praeterea Wyttenb. ad Platon. Phaedon. annot. p. 230 Heindf. ad eundem dialog. p. 134. Buttm. ad Menon. in indice p. 227. Aliam vim verbi attigit Ast. ad de Legg. p. 539. — *ἐπιχειρῶν*] A *ἐπὶ χειρῶν.* B *ἐπιχωρεῖν* et in marg. *ἐπιχειρῶν.* — *συνεσειμένον*] A *συνεσισμένον.* B *συνεωσμένον.* Forma *συνεσεισμένον* vereor ut proba sit. Requiritur *συνσεσεισμένον*, vel *συσσεσεισμ.* Neque vero videtur aliquid mutandum, cum formae justae *κακοφωνίαν* ingerant. Quamquam apud scriptores legatur *σέσεισμαι*, praepositio tamen addita literam sibilem magis etiam ingratam reddit; quare etiam antiquitus dictum est *ἔσσυμαι* pro *σέσυμαι.* V. Buttm. ausf. grch. Sprachl. I. p. 323. inprimis vero ad nostram rem d'Orvill. ad Chariton. p. 576 sq. ed. Amst. p. 445. ed. Lips. *Moser.* *Συνέσεισε* legitur in Fragm. Xenarchi ap. Athen. XV. p. 693. p. 531 Schwgh. De verbo *συσσείω* vid. Zonar. Lex. p. 1694 ibiq. Tittm. cf. Bielii Thes. III. p. 397; ubi etiam *συσσεισμός* i. e. *λαῖλαψ*, *turbo.* Adde de hoc Photii Lex gr. p. 411. — *γνῶσιν ἀνατίθεται*] A et B *ἀνατίθησι.* E *ἀνατίθησιν.* — *οἱ πολλοὶ*] B *εἰ πολλοί.*

εἰσίν. Ἐν γοῦν τῷ Πρωταγόρᾳ ταῦτα πεποίηται τῷ Πλάτωνι λέγων ὁ σοφιστής· νῦν δὲ τρυφᾷς, ὦ Σώκρατες, διότι πάντες διδάσκαλοί εἰσιν ἀρετῆς, καθ᾽ ὅσον δύναται ἕκαστος, καὶ οὐδείς σοι φαίνεται εἷς, ὥςπερ ἂν ἐζήτεις, τοῖς διδασκάλοις τοῦ ἑλληνίζειν, οὐδ᾽ ἂν εἷς φανείη. Ταῦτα μὲν ὁ τοῦ Πρωταγόρου λόγος· τὰ δὲ αὐτὰ καὶ ὁ νεανίσκος ἐν τούτοις. Παρὰ γὰρ τῶν πολλῶν φησιν ἔμαθον τὸ δίκαιον, ὦ Σώκρατες, ὥπερ καὶ τὸ ἑλληνίζειν παρὰ τούτων ἔμαθον. Πάλιν οὖν ἄλλος τρόπος καθαρτικὸς συνειςάγεται, τῆς τῶν σοφιστῶν συνουσίας ἀπείργων τὴν νεότητα, ὡς ἐμποδίου πρὸς τὴν τῆς ἐπιστήμης, καὶ ὡς ἀφελκούσης ἡμᾶς τῆς ἀληθείας, καὶ πλάνην ἐμποιούσης διὰ τῶν πολλῶν καὶ παντοδαπῶν ἀκουσμάτων· Σύστοιχος οὖν ἐστι τῷ πλήθει καὶ τῇ ζωῇ τοῦ πλήθους ἡ σοφιστική, πρὸς ἀπάντησιν ὁρῶσα καὶ τὸ φαινόμενον, καὶ τῆς ἀληθείας ἀφισταμένη καὶ τοῦ ἑνός.

[πδ.] „Οὐκ εἰς σπουδαίους γε διδασκάλους καταφεύγεις, „εἰς τοὺς πολλοὺς ἀναφέρων· — τί δέ; οὐχ ἱκανοὶ διδά„ξαι οὗτοι; — οὔκουν τὰ πεττευτικά γε καὶ τὰ μή· καίτοι „φαυλότερα αὐτὰ οἶμαι τῶν δικαίων εἶναι· τί δέ; σὺ οὐχ „οὕτως οἴει; — ναί. — εἶτα τὰ μὲν φαυλότερα οὐχ οἷοί „τε διδάσκειν, τὰ δὲ σπουδαιότερα;“ (p. 110. e. Bekk. p. 315.)

Τί μέν ἐστι κριτήριον ἐπιστημόνων ἀνθρώπων, καὶ ὅπως

— ἐν γοῦν] B ἐκ γοῦν. — τῷ Πρωταγόρᾳ] A τῷ Προταγόρᾳ. B τῶν Πρωταγόρᾳ. — ἐζήτεις] A et B ἐζήτει. Locus Platonis est in Protagora p. 529 sq. Heindorf. q. v. — p. 327. e. Bip. T. III. Bekk. I. 1. p. 183. Ibi vero legitur primum δύνανται pro δύναται, tum καὶ οὐδείς σοι φαίνεται· εἶθ᾽ ὥςπερ ἂν εἰ ζητοῖς, τίς διδάσκαλος κτλ. — ὥπερ] E ὥςπερ. recte. — ἀπείργων] B ἀπείργειν. — τὴν τῆς ἐπιστήμης] A E et B add. κτῆσιν. Bene. — σύστοιχος οὖν] his cod. Dst. pergit. Cf. Platon. Phaedr. c. 28. p. 248. (Bip. X. Bekk. I. 1, 43 sq.) p. 25 ib. Hermias p. 151. Astii. et supra ad cap. 12. init. — ἀφισταμένη καὶ τοῦ] B ἀφισταμένης καὶ τοῦ. Dst. ἀφισταμένη καὶ τοὺς ἑνὸς et, quae nunc sequuntur, omittit.

καὶ τὰ μὴ] A om. τά. — τῶν δικαίων εἶναι] A τῷ δικαίων εἶναι. In Edd. est εἶναι τῶν δικαίων οἶμαι. — Ceterum ad hunc locum adscriptum est Scholion. in Cod. Clarkiano p. 81 ed. Gaisford: ἀρχὴ τοῦ β΄ συλλογισμοῦ. Ad haec autem et sequentia adhiberi possunt disputationes Sopatri in Rhetoribus Aldi p. 357: Ὥρκωσε Σωκράτης Ἀλκιβιάδην μὴ πολιτεύεσθαι, καὶ κρίνεται Σωκράτης κτλ. — τί μέν ἐστι] A εἰ μέν ἐστι.

οἱ πολλοὶ κατὰ τοῦτο τὸ κριτήριον οὐκ εἰσὶ σπουδαῖοι διδάσκαλοι τῆς τοῦ δικαίου φύσεως, ἐνδείξεται προϊὼν ὁ λόγος· ἡ δὲ νῦν λεγομένη παρὰ τοῦ Σωκράτους ἐπιχείρησις καὶ πιθανότητα πολλὴν ἔχει, διὰ τὴν ἐνέργειαν, καὶ ἀλήθειαν, εἴ τις αὐτὸν ὀρθῶς μεταδιώξειε. Τί γάρ ποτέ ἐστιν, ὅ φησιν, οἱ πολλοὶ τὰ πεττευτικὰ διδάσκειν οὐχ οἷοί τέ εἰσιν, φαυλότερα ὄντα τῶν δικαίων; εἶτα, οἳ μὴ δύνανται τὰ φαυλότερα διδάσκειν, τῶν μειζόνων εἰσὶν ἀγαθοὶ διδάσκαλοι, καὶ οἱ τὰ πρὸς γνῶσιν εὐκολώτερα μὴ οἷοί τε ὄντες κρίνειν ὀρθῶς, τὰ χαλεπώτερα καὶ δυςκατανοητότερα δυνήσονται διδάσκειν; Ἐναργὴς μὲν ἡ ἐπιβολὴ τοῦ λόγου τούτου, δοκεῖ δὲ ἄτοπος εἶναι ἡ ἀκολουθία· Οὐ γὰρ ὁ τὰ καταδεέστερα μὴ εἰδὼς ἄμοιρος ἀπεργάζεται τῶν βελτιόνων γνώσεως εἶναι· Ὁ οὖν Ἱπποκράτης τὰ μὲν ἰατρικὰ διδάσκειν οἷόςτε ἦν, τὰ δὲ τεκτονικὰ οὐδαμῶς, φαυλότερα τῶν ἰατρικῶν ὄντα· καὶ ὁ Σωκράτης αὐτὸς διαλεκτικοὺς μὲν ἐποίει τοὺς συνόντας, καὶ παρεδίδου τὴν ἐπιστήμην ταύτην, πεττευτὰς δὲ οὔ· καίτοι φαυλότερα τῶν διαλεκτικῶν εἰσι τὰ πεττευτικά. Δοκεῖ μὲν οὖν, ὅπερ ἔφην, οὐκ εἶναι τὸ συνημμένον ἀληθές, ἀλλὰ πιθανὸν μόνον· σκοποῦντι δὲ αὐτὸ μετρίως φανεῖται παντάπασιν ἀληθὲς ὑπάρχον· τὰ γὰρ δὴ πεττευτικὰ παρέλαβεν ὁ λόγος οὐ μόνον ὡς φαυλότερα τῶν δικαίων, ἀλλὰ καὶ ὡς οἰκειότερα τοῖς πολλοῖς ὄντα καὶ σπουδαζόμενα ὑπ' αὐτῶν. Τὸ γὰρ δημῶδες καὶ τὸ ἄνουν πλῆθος ἐπιτρέχει τοῖς τοιούτοις καὶ περὶ ταῦτα διατρίβει. Δεῖ δὴ οὖν τῷ συνημμένῳ τοῦτο προςυπακούειν καὶ ἔσται ἀναμφισβήτητον. Εἰ γὰρ τὰ φαυλότερα, καὶ οἷς ἐγχειροῦσι καὶ οἷς προπεπόνθασι καὶ πρὸς ἃ ᾠκείωνται, μὴ οἷοί

— εἴ τις αὐτὸν] A et B melius εἴ τις αὐτήν. — οἳ μὴ δύνανται]B οἱ μὴ δύνανται. Paulo superius Cod. E. οἷοί τ' εἰσίν. Bene. — δυνήσονται διδάσκειν] A διδάσκειν δυνήσωνται. E et B διδάσκειν δυνήσονται. — ἐναργὴς μὲν] A E et B add. οὖν. — ἐπιβολὴ] B ἐπιβουλή. — οἱόςτε ἦν] A οἷοι τ' ἦν. — δοκεῖ μὲν οὖν] B κἀκεῖ μὲν οὖν. — οὐκ εἶναι τὸ συνημμ.] B om. οὐκ. — σκοποῦντι] A E et B ἐπισκοποῦντι. — ἐπιτρέχει τοῖς] A et B om. τοῖς. — τῷ συνημμένῳ] A τῷ συνημμένῳ. Inde ab Εἰ γὰρ τὰ in Fragm. Darmst. quinque lineae leguntur, usque ad verba διδάσκειν δύναιντο. Post haec omittuntur duodecim, usque ad γένοιτό ποτε σπουδαία. Tum vero continuatur Fragm. per aliquot paginas. — προπεπόνθασι] A E et B προςπεπόνθασι. — μὴ οἷοί τέ εἰσιν] A μὴ οἷόν τέ εἰσιν. B μὴ εἶ ..... εἰσίν (sic).

τέ εἰσιν οἱ ἄλλοι διδάσκειν, οὐδ' ἂν τα τούτων σπουδαιότερα, καὶ ὧν ἧττον ἅπτονται, καὶ πρὸς ἃ ἐλασσόνως ᾠκείωνται, διδάσκειν δύναιντο. Τὸ μὲν οὖν σημαινόμενον οὕτω ἂν οἶμαι τυγχάνειν τῆς τῶν πραγμάτων ἀληθείας· ἔοικε δὲ καὶ ὁ νεανίσκος ὥςπερ διελέγχων τὴν πιθανότητα τοῦ ἐπιχειρήματος ἐπάγειν τὰ ἐφεξῆς, ὅσα δείκνυσι τοὺς πολλοὺς καὶ ἄλλα διδάσκειν δυναμένους, ἃ μή ἐστι φαυλότερα τῶν πεττευτικῶν, ἀγνοοῦντας, ὅτι πᾶν πλῆθος ἄτακτόν ἐστι τῆς ὡς ἀληθοῦς ἐπιστήμης. Διὰ γὰρ τοῦτο καὶ δημοκρατίαν ἀγαθὴν καὶ σπουδαίαν εὑρεῖν ἀδύνατον, ὅτι δεῖ μὲν ἑκάστην πολιτείαν τότε τοῦ εὖ τυγχάνειν, ὅταν τὸ ἄρχον ἐν αὐτῇ τὴν προςήκουσαν ἐπιστήμην ἔχει. Τὸ δὲ ἐν ταῖς δημοκρατίαις ἄρχον ὁ δῆμός ἐστιν· ὁ δέ γε δῆμος ἐπιστήμην οὐ πέφυκεν ἴσχειν, οὐδὲ κατ' ἐπιστήμην ζῆν, ὥςτε οὐδὲ δημοκρατία ἂν γένοιτό ποτε σπουδαία. Δεῖ δὲ καὶ εἰς τὸ πᾶν βλέψαντα εὑρεῖν, ὅτι τὰ ἑνικώτατα τῶν ἐν αὐτῷ νοῦν ἔχει καὶ φρόνησιν· ἃ δὲ μερικά εἰσι καὶ διαφερόμενα καὶ ἄτακτα, γνώσεώς ἐστιν ἀληθοῦς ἄμοιρα καὶ ἐπιστήμης· ὀρθῶς οὖν καὶ ὁ γενναῖος Ἡράκλειτος ἀποσκο-

— οἱ ἄλλοι] B οἱ πολλοί, ita etiam Darmst. et E; hic ex correct. — ἅπτονται] A ἅπτωνται. — ᾠκείωνται] A et B ᾠκείωται. Paulo ante Cod. E a prima manu non habet ἃ, sed a manu correctoris. — οὕτω ἂν οἶμαι] B οὕτως οὖν ἂν οἶμαι. — τυγχάνειν τῆς τῶν] A et B τυγχάνοι τῆς, omisso τῶν. Cod. E. τυγχάνει. — ὁ νεανίσκος] B ὁ νεανίας. — ἀγνοοῦντας] A et B ἀγνοῶν. Recte. — ὡς ἀληθοῦς] A et E ὡς ἀληθῶς. B ἀληθῶς, omisso ὡς. — ἐπιστήμην ἔχει] A E et B ἐπιστήμην ἔχῃ. Recte. — σπουδαία] B σπουδαῖον. Post haec cod. B plura addit, quae etiam insunt codici Dstino, quem in exscribendo sequimur: εἰ τὰ φαυλότερα (B εἰ γὰρ τὰ φαυλ.) καὶ οἷς ἐγχειροῦσι καὶ οἷς προπεπόνθασι (B προςπ.) καὶ πρὸς ἃ ᾠκείωνται, μὴ οἷοί τέ εἰσιν (B μὴ εἶ .... τε εἰσὶν) οἱ πολλοὶ διδάσκειν, οὐδ' ἂν τὰ τούτων σπουδαιότερα, καὶ ὧν ἧττον ἅπτονται, καὶ πρὸς ἃ ἐλασσόνως (B πρὸς ἐλασσόνων) ᾠκείωνται (B ᾠκείωται), διδάσκειν δύναιντο. Quae omnia paulo superius leguntur apud nostrum et in Cod. E. — εὑρεῖν] A et B ἐρεῖν. — ὅτι τὰ ἑνικώτατα .... νοῦν] haec omissa sunt in B. — γνώσεώς ἐστιν] A et B ταύτα γνώσεώς ἐστιν. De recta vocis, quae mox subsequitur, ἀποσκορακίζει scriptione vide Etymol. M. p. 127, 30 et 44. Phavorin. et Hesych. s. h. v. Suidam I. p. 293 Kust. Zonar. L. gr. p. 283. Phot. L. gr. pag. 387. Alciphron. epist. I. 38 ibiq. interprr. p. 233 Wagner. Synes. de Insomn. p. 104 ed. Paris. Adde Schleusneri nov. Thesaur. V. T. I. p. 396 sq. — Ceterum haec verba attigerunt I. A Fabricius ad Sext. Empir. p. 397 et Schleiermacher. in Wolfii et Buttm. Museo Stud. Antiq. I. p. 526. —

ρακίζει τὸ πλῆθος ὡς ἄνουν καὶ ἀλόγιστον· τίς γάρ φησι νόος ἢ φρὴν δήμων αἰδοῦς ἠπιόων τε καὶ διδασκάλων χρειῶν τε ὁμίλων, οὐκ εἰδότες, ὅτι οἱ πολλοὶ κακοὶ, ὀλίγοι δὲ ἀγαθοί. Ταῦτα μὲν ὁ Ἡράκλειτος. Διὰ καὶ συλλογράφος ὀχλολοίδορον αὐτὸν ἀπεκάλεσεν. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ τὸ κατὰ φύσιν πλέον εἶναι τοῦ παρὰ φύσιν λέγοντες, κατὰ τοῦτο μὲν εἰς στενὴν συνελαύνεσθαι, τὸ δὲ κατὰ φύσιν ἐπικρατεῖν ἐν τῷ παντὶ, τῶν ἀνθρώπων τοὺς πλείστους λέγομεν ἀνεπιστήμονας καὶ κακοὺς, ἐλαχίστους δὲ τοὺς ἐπιστήμονας· Οὐ γάρ ἐστι ταῖς ψυχαῖς κατὰ φύσιν ὁ μετὰ τῶν σωμάτων βίος, οὐδὲ ἡ γενεσιουργὸς ζωή· τοὐναντίον ἡ χωριστικὴ καὶ ἄϋλος καὶ ἀσώματος αὐταῖς μᾶλλον προςήκει· Καὶ ὅταν μὲν ὦσιν ἐν τῇ γενέσει, τοῖς ἐν λοιμώττοντι χωρίῳ ποιουμένοις τὰς διατριβὰς ἐοίκασιν· ὅταν δὲ ἔξω τῆς γενέσεως, αὐτὸ τοῦτό φησιν ὁ Πλάτων, τοῖς ἐν λειμῶνι διαιτωμένοις· ὥςπερ οὖν οὐδὲν θαυμαστὸν ἐν λοιμώδεσι τόποις πλείους εἶναι τοὺς νοσοῦντας τῶν κατὰ

— *τίς γάρ φησι*] A et B et cod. Hamb. *τίς γὰρ αὐτῶν, φησί.* — *ἠπιόων*] B *ἠπίων.* — *διδασκάλων*] A *διδασκάλω* ... — *ὁμίλων*] B *ὁμιλῶν.* Hunc locum, manifesto corruptum, ita refinxit Werferus, ὁ μακαρίτης: *Τίς γὰρ, φησὶ, νόος ἢ φρὴν δήμῳ αἰδοῦς ἠπιοτήτων τε καὶ διδασκαλιῶν χρειῶν τε ὁμίλῳ.* „Quae, inquit, mens sive „sensus in multitudine inest verecundiae, mansuetudinis praeceptio- „numque et eorum, quae vere sint populo utilia." Quae sententia Euripidi quoque placuit Iphig. Taur. 678. — *κακοὶ*] B *κἀκεῖ.* — *συλλογράφος*] cod. E *σιλλογράφος*, bene; sed videtur a librario scriptum fuisse *συλλ.* Tum item perperam Cod. B *ὁ συλλογράφος.* Sed placet articulus additus. Versus sunt Timonis apud Diog. Laërt. IX. 6. *Τοῖς δ' ἔνι κοκκυστὴς ὀχλολοίδορος Ἡράκλειτος Αἰνικτὴς ἀνόρουσε.* Inde ab *ὀρθῶς* usque ad *ἀπεκάλεσεν* exhibuit hunc locum Fabricius ad Sextum Empiricum p. 397. De re cf. Programma de Provid. et Fato. Heidelb. 1806. p. 17. — *λέγοντες κατὰ τοῦτο*] Dst. et D *λέγοντες καὶ τοῦτο.* — *στενὴν*] cett. *στενόν.* — *συνελαύνεσθαι*] B *συνελαύνουσι.* — *ἐστι ταῖς ψυχαῖς*] Dst. om. *ταῖς.* — *τῶν σωμάτων*] Dst. om. *τῶν.* — *οὐδὲ ἡ*] Dst. *ἡ δὲ.* cf. Porphyrius apud Proclum in Tim. p. 48. et de Abst. I, 28. p. 45. Ad reliqua cf. quae supra laudavimus ad c. 46. — *τοὐναντίον*] Dst. et D add. *δὲ καί.* — *καὶ ἄϋλος*] Dst. *καὶ* (ἡ supra) *ἄυλος* (sic). — *λοιμώττοντι*] Dst. *λιμώττοντι.* B *λιμώττουσι.* Illud autem in marg. Cod. E, addito *ἴσ.* Sed utrumque manus correctoris delevit. — *Πλάτων*] Plato in Gorgia p. 524. a. Bip. T. IV. Bekk. II. 1. p. 167. p. 266. Heindf. — De Republ. X. p. 616. Bip. T. VII. Bekk. III. 1. p. 505 sq. Cf. etiam Aeschin. Axioch. p. 163 ed. Fischer. et Choricium in Villoison. Anecd. p. 23. — *ἐν λοιμώδεσι*] Dst. *τοῖς λοιμώδεσι.*

φύσιν διακειμένων, οὕτω δὴ καὶ ἐν τῇ γενέσει πλείους εἶναι ψυχὰς τὰς ἐμπαθεῖς καὶ μοχθηρὰς οὐδὲν θαυμαστόν. Τοὐναντίον μέντ' ἂν εἴη θαυμαστὸν, εἴ τινες ἠμφιεσμένοι τοιαῦτα σώματα καὶ περιβεβλημέναι τοιούτους δεσμοὺς καὶ περιεστοιχισμέναι τοσαύτῃ μεταβολῇ νήφουσι καὶ καθαροὶ καὶ ἀπαθεῖς διαμένουσι. Καὶ εἴποι ἂν καὶ πρὸς τὰς τοιαύτας ψυχὰς, οἶμαι, ἄφρων κριτὴς καὶ τὸν οὕτως ζῶντα ἐν τοῖς ἐνύλοις αὔλως καὶ ἐν τοῖς θνητοῖς ἀχράντως·

. . θαῦμ' ἔχει, πῶς οὔτε, πιὼν τάδε φάρμακ', ἐθέλχθης.

οὕτω γὰρ ἔοικεν ἡ λήθη καὶ ἡ πλάνη καὶ ἡ ἄγνοια φαρμακείᾳ τινὶ κατασπώσῃ τὰς ψυχὰς ἐπὶ τὸν τῆς ἀνομοιότητος τόπον. Τί οὖν θαυμάζεις, εἰ πολλοὶ μὲν λύκοι κατὰ τὴν ζωὴν, πολλοὶ δὲ σῦς, πολλοὶ δὲ ἄλλο τι τῶν ἀλόγων εἶναι περιβεβλημένοι Κίρκης ὄντως καταγώγιον τοῦ περιγενοῦ τόπου καὶ τῷ πόματι τῶν πολλῶν ψυχῶν ἁλισκομένων δια τὴν ἄμετρον

— *ἠμφιεσμένοι*] Dst. et D bene *ἠμφιεσμέναι*. cf. Porphyr. de Abstin. I. 31. p. 52. Sentent. 41. p. 276. — *περιεστοιχισμέναι*] B *περιεστοχ*. Ficin.: *tanta circumfusae mutatione*. Magis proprie ita vertas: *tanta varietate velut multiplici indagine cinctae*. Tu cf. Lexicographos graecos in voce. Adde Schleusner. Cur. noviss. ad Phot. pag. 388. Biel. Thes. in voc. Sturz. Lex. Xenoph. in voc. Wernsdorf. ad Himer. p. 25. Coraj. ad Heliodor. Aethiop. p. 120. 165. Ad proxima cf. Max. Tyr. XVII. p. 324 Reisk. — *ἀπαθεῖς*] Dst. *εὐπαθεῖς* (sic). Vocem praecedentem scriptam exhibent Codd. E et D *καθαραί*. Bene. — *οὕτως ζῶντα*] A *οὕτω ζῶντα*. B *οὕτῳ* (et sic ubivis ea vox scribitur in B) *ζῶντα*. — *θαῦμ' ἔχει*] Dst. D et E *θαῦμά μ' ἔχει*. bene. B *θαύματ' ἔχει*. Locus est Odyss. κ, 326. — *οὔτε πιὼν*] Dst. *οὔτι πιών*. ut est apud Homerum, ubi scribitur *ὥς οὔτι*. Ceterum vid. ad eum locum Apollonii Lex. Homer. p. 344 Toll. ibiq. Villoison. Aliorum locos laudavi ad calc. Plotini de pulcr. p. 103 sq. A et B *οὔτε ποιῶν*. — *οὕτω γαρ*] Dst. et A *οὕτως γάρ*. D *ὄντως*. — *καὶ ἡ ἄγνοια*] om. Dst. Sed legit ita Fic. cf. Procl. in Tim. p. 330. et p. 54. Porphyr. de Abstin. I. 27: *τὸ γοήτευμα τῆς ἐνταῦθ' ἡμῶν διατριβῆς*. De qua metaphora cf. Segaar ad Clement. Alex. Quis dives salv. p. 230 sq. — *φαρμακείᾳ*] A et B *φαρμακίᾳ*. — *κατασπώσῃ*] A *κατασπώσᾳ*. — *ἐπὶ τὸν τῆς*] A et B *ἢ ἐπὶ τὸν τῆς*. — *τόπον*] Dst. *τρόπον* suprascr. *τόπον*. — *εἶναι περιβεβλημένοι*] Dst. D et B *εἶδος προβεβλημένοι*. A et E bene *εἶδος περιβεβλ*. Tangitur rursus Homericum Odyss. κ,212. cf. Wyttenb. ad Plat. Phaedon. p. 211 sqq. — *ὄντως καταγώγιον*] Dst. et D *ὄντος καταγωγίου*. Ita etiam Cod. E a correctoris manu. B *ὄντος καταγώγιον*. — *περιγενοῦ*] cett. *περὶ γῆν*, hoc Cod. E in margine, additis verbis: „lego *περιγείου*," i. e. *terreni, terrestris*. Vid. Hasium ad Leon. Diacon. p. 210 seq. — *τῶν πολλῶν*

ἐπιθυμίαν; Ἐκεῖνο θαύμασον, εἴ τινες ἐνταῦθα ἀφάρμακτοι καὶ ἄθελκτοι καὶ Ἑρμαϊκοὶ τὴν φύσιν εἰσὶν, εἰς λόγον καὶ ἐπιστήμην μεταβαίνοντες. Ὥςπερ γὰρ οὐ δεῖ θαυμάζειν, εἰ ἐν τῷ τετάρτῳ ψυχὰς κολαζομένας ἴδοιμεν (τούτων γὰρ ἦν ὁ ἐκεῖ τόπος)· οὕτω καὶ, εἰ ἐν τῇ γενέσει αἱ πολλαὶ παθαίνονται καί εἰσιν ἄνους καὶ ἀμαθεῖς· τοιαύτας γὰρ ἀπαιτεῖ ψυχὰς ἡ γένεσις. Ὥςπερ οὖν ἐν τῷ οὐρανῷ πᾶσαι ἀγαθοειδεῖς, ὡς ἐν τῷ τετάρτῳ πᾶσαι μοχθηραὶ, ἐλάσσους δὲ αἱ σπουδαῖαι· πρὸς γὰρ τῷ χείρονι τῶν ἄκρων ἐστὶν ἡ γένεσις, ἀλλ' οὐ πρὸς τῷ θειοτέρῳ καὶ κρείττονι.

[πε.] „Οἶμαι ἔγωγε· ἄλλα γοῦν πολλὰ οἷοί τέ εἰσι διδά„σκειν σπουδαιότερα τοῦ πεττεύειν. — ποῖα ταῦτα; — „οἷον καὶ τὸ ἑλληνίζειν παρὰ τούτων ἔγωγε ἔμαθον· καὶ „οὐκ ἂν ἔχοιμι ἐμαυτοῦ εἰπεῖν διδάσκαλον, ἀλλ' εἰς τοὺς „αὐτοὺς ἀναφέρω, οὓς σὺ φῂς μὴ σπουδαίους εἶναι δι„δασκάλους." (p. 111. a. Bekk. p. 315.)

Τοῦτο ἐκεῖνο τὸ προειρημένον ὑφ' ἡμῶν ὁ νεανίσκος πέπονθεν ἅμα μὲν ταῖς σοφιστικαῖς δόξαις ἑπόμενος, ἅμα δὲ ὡς πιθανὸν, ἀλλ' οὐκ ἀληθὲς τὸ ἐπιχείρημα τὸ ῥηθὲν διελέγχων. Καὶ ἄλλα πολλά φησι διδάσκειν τοὺς πολλοὺς, ὧν τὰ πεττευτικὰ φαυλότερα· καὶ γὰρ τοῦ ἑλληνίζειν τούτους εἶναι διδασκάλους, κρείττονος ὄντος ἢ κατὰ τὸ πεττεύειν. Ἔστι δὲ τὸ ἑλληνίζειν οὐχ ἁπλοῦν, ἀλλὰ τριττόν· Τὸ μὲν γάρ ἐστι τὴν Ἑλληνικὴν διασώζειν συνήθειαν τῶν ὀνομάτων, οἷον ὅτι

ψυχῶν] Dst. τῷ ταύτης πολλῶν ψυχῶν. A τῶν τῶν πολλῶν ψυχῶν. Vid. Procl. ad Tim. p. 338. — ἀφάρμακτοι] Dst. ἀφάρμακοι. — Ἑρμαϊκοὶ] Vid. not. 75 ad calc. Plotin. p. 105. A et B Ἑρμαϊκὴν. — εἰς λόγον] Dst. εἰς λόγους. Mox Codd. E et D Ταρτάρῳ recte pro τετάρτῳ, et ita etiam paulo inferius. — παθαίνονται] B πανθαίνονται. cf. Porphyr. sent. p. 233. — ἀμαθεῖς] Dst. addit. γνώμῃ οὐ φύσει et his verbis desinit fragmentum codicis Darmstadtini. — πᾶσαι μοχθηραὶ] A E et B add. οὕτως ἐν τῇ γενέσει πλείους μὲν αἱ μοχθηραί.

οἷοί τέ εἰσι] cett. οἷοίτ' εἰσι, ut Edd. quae mox: φῂς οὐ. — διελέγχων] B διέχων. — ἄλλα πολλὰ] B om. πολλὰ. — τῶν ὀνομάτων] B τῶν αὐτῶν ὀνομάτων. Ad argumentum cf. Aristotel. Rhetor. lib. III. cap. 5. p. 705 E. F. ed. Aurel. Procli haec excerpsit Scholiastes ad Platon. p. 70 Ruhnk. — ὅτι τῳδὶ] B ὅτι τοδὶ.

τῳδὶ ξύλον μὲν ὄνομα, τῳδὶ δὲ ἄνθρωπος, καὶ τῷ ἄλλῳ ἵππος, καὶ οὕτως ἐπὶ πάντων· Τόδε ἐστὶν ἀκριβοῦν κατὰ τὴν Ἑλληνικὴν φωνὴν καὶ τὴν ὀρθότητα αὐτῆς διασώζειν τὴν ἐν τῇ προφορᾷ. Τρίτον δέ ἐστι τὸ τὰς κυριότητας τῶν ὀνομάτων τὰς κατὰ φύσιν προςηκούσας τοῖς πράγμασιν ἀπονέμειν. Κατὰ οὖν τὸ πρῶτον σημαινόμενον τοῦ ἑλληνίζειν καὶ οἱ πολλοὶ δύναιντο ἂν εἶναι διδάσκαλοι· τὰς γὰρ κειμένας συνηθείας ἐν τοῖς ὀνόμασι κατὰ τὴν κοινὴν τῶν Ἑλλήνων χρῆσιν διασαφοῦσι. Κατὰ δὲ τὸ δεύτερον οὐκέτι καὶ τὸ τρίτον· ἀλλὰ τὸ μέν ἐστι τοῦ τὴν γραμματικὴν εἰδότος, τὸ δὲ τοῦ τὴν φύσιν τῶν πραγμάτων ἐπεσκεμμένου καὶ τοῦ φιλοσόφου. Οὕτω γὰρ ἂν ἐπὶ τὸ τεχνικώτερον ἀνατρέχωμεν· καὶ τοῦτο ποιῶμεν, ὅταν τὴν τῶν πολλῶν διάνοιαν ἀσθενοῦσαν εὑρίσκομεν πρὸς τὴν τῶν ὄντων κατάληψιν· Καὶ ἐπεὶ ὁ Πυθαγόρας τῶν μὲν ὄντων πάντων σοφώτατον εἶναι ἔλεγε τὸν ἀριθμὸν, δεύτερον δὲ εἰς σοφίαν τὸ τοῖς πράγμασι τὰ ὀνόματα τιθέναι τὰ προςήκοντα· τὸ μὲν γάρ ἐστιν ὁ πρῶτος ἀριθμὸς, ψυχὴ δὲ νοερὰ μετὰ τοῦτον ἡ τῶν εἰδῶν θεωρητικὴ, τὸ δὲ ἓν καὶ πρὸ ψυχῆς καὶ πρὸ νοῦ· γεννᾷ γὰρ τον                 Περὶ μὲν οὖν τοῦ ἑλληνίζειν τοσαῦτα. Δοκοῦσι δέ μοι οἱ τοὺς πολλοὺς αἰτιώμενοι τοῦ δικαίου διδασκάλους, ὥςπερ καὶ τοῦ ἑλληνίζειν, σαφῶς λέγειν, ὅτι θέσει τὸ δίκαιον εἶναι νομίζουσιν, ὥςπερ δὴ καὶ τὰ ὀνόματα. Καὶ γὰρ ἐπὶ τῶν ὀνομάτων τῶν ἄλλων τῶν

— *ξύλον μὲν*] cett. bene *μὲν ξύλον*, sed E ut noster. — *καὶ τῷ ἄλλῳ ἵππος*] cett. *καὶ ἵππος ἄλλῳ*. — *τόδε ἐστὶν*] A *τόδ' ἔστιν*. B *τὸ ἔστιν*. Videtur legendum: *Τὸ δέ*, ut est in cod. D. — *τοῖς πράγμασιν*] D om. *τοῖς*. — *δύναιντο ἂν*] cett. praeter E. *δύναιντ' ἂν*. Bene. — *καὶ τὸ τρίτον*] B om. *καί*. — *τὸ δὲ τοῦ τὴν φ.*] cett. excepto E *τοῦ δὲ τοῦ τὴν φ.* Male. Mox D *ἀνατρέχομεν* suprascr. *ω*. [fort. dei. *ἂν*.] — *εὑρίσκομεν*] cett. bene *εὑρίσκωμεν*, sed E ut Leid. — *καὶ ἐπεὶ ὁ Πυθ.*] D *ἐπεὶ καὶ ὁ Πυθ.* — *εἶναι ἔλεγε*] A E et D *ἔλεγεν εἶναι*. B om. *ἔλεγεν*. cf. Jambl. de Vita Pythag. 146 p. 122. et 162 p. 138. Kust. Cic. Acad. IV, 37. — *τιθέναι τὰ*] D om. *τά*. V. hanc sententiam apud Jambl. de Vita Pythag. 56. p. 42. Kust. — *μετὰ τοῦτον*] B *μετὰ δὲ τοῦτον*. — *γεννᾷ γὰρ τὸν*] D om. *γὰρ* Deinceps omnibus lacuna. An excidit *ἀριθμόν*? — *οἱ τοὺς πολλοὺς*] B *οἳ τοὺς πολλούς*. — *ὅτι θέσει*] B *ὅτι θεοί*. D *ὅτι θε....μαι* (sic). *θέσει* recte habet. Ad argumentum confer. Platonis Cratylum in initio. — *ἐπὶ τῶν ὀνομάτων*] D *ἐστι τῶν ὀνομάτων*. — *τῶν ἄλλων τῶν ἐν*] A et B *τῶν ἄλλων καὶ ἐν τῇ*. D (omiss. *τῶν ἄλλων*) *καὶ ἐτῇ* (sic).

ἐν συνηθείᾳ κειμένων ἐπιγνώμονές εἰσιν οἱ πολλοί, τὴν δὲ πρὸς τὰ πράγματα αὐτῶν οἰκειότητα θεωρεῖν ἀδυνατοῦσιν. Οἴονται δὴ οὖν καὶ τὸ δίκαιον εἶναι θέσει, καὶ διὰ τοῦτο ἐπὶ τοὺς πολλοὺς αὐτοῦ τὴν διδασκαλίαν ἀναφέρουσιν, ἐπεὶ τό γε φύσει δίκαιον τοῖς ἐπιστήμοσι μόνοις ἐστὶ καταφανές. Λεκτέον δὲ ἡμῖν, ὅτι τοδὶ μὲν δίκαιον κατὰ τὴν κοινὴν φήμην γνωρίζειν δύνανται, καθάπερ δὴ καὶ τὸ ὄνομα λέγουσι τὸ τῷδε τῷ πράγματι κείμενον· αὐτὸ δὲ τὸ δίκαιον οὐκ ἄν ποτε εἰδεῖεν, ὥςπερ οὐδὲ αὐτὴν τὴν κυριότητα τοῦ ὀνόματος·

[πϛ.] „Ἀλλ' ὦ γενναῖε, τούτου μὲν ἀγαθοὶ διδάσκαλοι οἱ „πολλοί, καὶ δικαίως ἐπαινοῖτ' ἂν ἡ διδασκαλία. — τί „δή; — ὅτι ἔχουσι περὶ αὐτό, ἃ χρὴ τοὺς ἀγαθοὺς δι„δασκάλους ἔχειν. — τί τοῦτο λέγεις; — οὐκ οἶσθα, „ὅτι χρὴ τοὺς μέλλοντας διδάσκειν ὁτιοῦν αὐτοὺς πρῶτον „εἰδέναι; ἢ οὔ; — πῶς γὰρ οὔ; — οὐκοῦν τοὺς εἰδό„τας ὁμολογεῖν τε ταῦτα φήσεις εἰδέναι αὐτούς; — οὐ „δῆτα. — τούτων οὖν διδάσκαλοι πῶς ἂν εἶεν; — οὐ„δαμῶς. — τί οὖν; δοκοῦσί σοι διαφέρεσθαι οἱ πολλοί, „ποῖόν ἐστι λίθος ἢ ξύλον; κἄν τινα ἐρωτᾷς, ἆρ' οὐ „ταῦτα ὁμολογοῦσι, καὶ ἐπὶ ταῦτα ὁρμῶσιν, ὅταν βού„λωνται λαβεῖν λίθον ἢ ξύλον; ὡςαύτως καὶ πάνθ' ὅσα „τοιαῦτα; σχεδὸν γάρ τι μανθάνω τὸ ἑλληνίζειν ἐπίστα„σθαι, ὅτι τοῦτο λέγεις· ἢ οὔ; — ναί. — οὐκοῦν, εἰ

— οἴονται δὴ οὖν] A et B οἴονται δεῖ οὖν. — ὅτι τοδὶ μὲν] B et D ὅτι τὸ δὶ μέν. — κοινὴν φήμην] D κοινὴν φύσιν. — εἰδεῖεν] B δοῖεν.

καὶ δικαίως] A et B καὶ δικαίως κτλ. omissis sqq. usque ad εἶεν ἀγαθοί. Cod. E paulo post haec: αὐτῶν ἡ διδασκαλία. In Edd. est: ἐπαινοῖντ' ἂν αὐτῶν εἰς διδασκαλίαν. Quam scriptionem sanam censet Astius contra Wolfium conjicientem: δικαίως ἐπαινοίη γ' ἂν αὐτῶν τις διδασκαλίαν. Buttmannus, quamquam in vulgata lectione acquiescit, scripturam Procli tamen limpidissimam fluere ait, quam Schleiermacherus praefert; eaque est lectio Cod. E. — περὶ αὐτὸ] D περὶ τὸν αὐτὸ (sic). Edd. π. αὐτά. — οἶσθα ὅτι] D et E οἶσθ' ὅτι, ut Edd. Aliquot lineis interjectis libri nostri omnes omittunt complura verba. Edd. ita: Οὐκοῦν τοὺς εἰδότας ὁμολογεῖν τε ἀλλήλοις καὶ μὴ διαφέρεσθαι; — ναί. — ἐν οἷς δ' ἂν διαφέρωνται, ταῦτα φήσεις εἰδέναι αὐτούς; Quae omissa postliminio sunt reducenda. — Paulo inferius in Cod. E a prima manu est ἄρ' οὐ ταῦτα, ab altera ἆρ' οὔτ' αὐτά. Tum ταῦτα ὁρμ. correctum est in ταὐτὰ ὁρμ. Sed utrobique scribendum ταὐτὰ, ut est in Edd. [quae et mox γάρτοι pro γάρ τι et] εἰς μὲν pro εἰ μέν.

„μὲν ταῦτα, ὥςπερ εἴπομεν, ἀλλήλοις τε ὁμολογοῦ-
„σι καὶ αὐτοῖς αὐτοὶ ἰδίᾳ, καὶ δημοσίᾳ αἱ πόλεις
„οὐκ ἀμφιςβητοῦσι πρὸς ἀλλήλας, αἱ μὲν ταῦτα, αἱ δὲ
„ἄλλα φάσκουσαι; — οὐ γάρ. — εἰκότως ἂν ἄρα τούτων
„καὶ διδάσκαλοι εἶεν ἀγαθοί.“ (p. 111. a. b. c. Bekk. p. 316. sq.)

Τὸ μὲν ἀποδέχεται τῶν εἰρημένων ὁ Σωκράτης, τὸ δὲ ἀποδοκιμάζει. Καὶ πρότερον τελειοῖ τὸ ὀρθῶς εἰρημένον· ἔπειτα διὰ τούτου καὶ θάτερον ἐλέγχει. Δεῖ γὰρ ἀπὸ τῶν γνωριμωτάτων τὰ ἄγνωστα, καὶ ἀπὸ τῶν κοινῶν ὁμολογημάτων τὰ ζητούμενα κατορθοῦν. Οὐκοῦν ὅτι μὲν διδάσκαλοι τοῦ ἑλληνίζειν εἰσὶ πολλοὶ, καὶ συγχωρεῖ τοῖς λέγουσιν ὁ Σωκράτης, καὶ τεκμήριον αὐτοῦ προτίθησιν· ἐκ δὲ αὐτοῦ τούτου πάλιν ἐπιδείκνυσιν, ὅτι δικαιοσύνην οὐκ ἂν οἱ πολλοὶ διδάξαιεν. Λέγει τοίνυν τὸ τεκμήριον, μᾶλλον δὲ τὸ κριτήριον τῆς ὀρθῆς διανοίας, ὅτι, εἰ συμφωνοῦσι περὶ πράγματος, οὗ ἐστιν αὕτη διδασκαλία. Προείρηται γάρ, ὅτι δεῖ τὸν μέλλοντα διδάσκειν περὶ ὁτουοῦν πράγματος φύσιν, εἰ μὲν οὖν τί τις ἔχοι παρ' ἑαυτῷ τῆς ἐπιστήμης, ἣν προέθετο διδάσκειν, ἀποδεκτέον τὸν τοιοῦτον διδάσκαλον· εἰ δὲ μὴ ἔχοι, δῆλον, ὅτι οὐ προςδεκτέον αὐτὸν, ὡς οὐκ ὄντα ἀκριβῆ διδάσκαλον, οὐδὲ εἶναι αὐτὸν ἐπιστήμονα. Πάλιν δὴ γνώσεως καὶ ἀγνοίας τί ποτ' ἂν εἴη τεκμήριον τὸ τούτου διαφωνεῖν ἀλλήλους; Δῆλον γάρ,

— αὐτοῖς αὐτοὶ] D αὐτοὶ αὐτοῖς [ut Edd.] Bene. — αἱ πόλεις] D add. πρὸς ἀλλήλας et post ἀμφιςβητοῦσι omittit πρὸς ἀλλήλας. Et plane ita est in Edd. Circa finem loci Platonici recentiores Edd. ex Cod. Venet. exhibent τούτων γε. — αἱ δὲ ἄλλα] D et E αἱ δ' ἄλλα. In fine loci Platonici excidit responsum Alcibiadis Ναί. — ὁ Σωκράτης] om. D. — δεῖ γὰρ ἀπὸ] D εἰ γὰρ ἀπό. — εἰσὶ πολλοὶ] D οἱ πολλοί, omisso εἰσί. — ἐκ δὲ αὐτοῦ τούτου] D ἐκ δὲ τοῦ αὐτοῦ τοῦτο. — εἰ συμφωνοῦσι] B om. εἰ. — ὁτουοῦν πράγματος] D om. πράγματος. Cod. E ὁτουνοῦ. Cett. omnes excepto Cod. E post πράγματος inserunt: πρότερον αὐτὸν διεγνωκέναι τὴν τοῦ διδασκομένου πράγματος. et haec inserenda. — εἰ μὲν οὖν τί] A et D om. τί. B om. οὖν τί. Cod. E εἰ μὲν οὖν τις suprascripto τί. Tum Cod. D habet παρ' ἑαυτ... — τῆς ἐπιστήμης] D τὴν ἐπιστήμην, quod non displicet. — ἣν προέθετο] D οὗ προέθετο. — εἰ δὲ μὴ ἔχοι .... ἀκριβῆ διδάσκαλον] haec om. D. — τούτου διαφωνεῖν] D τούτους διαφωνεῖν. Post τεκμήριον in Cod. E interrogandi signum positum est. [ut p. 263.] — ἀλλήλους] cett. bene ἀλλήλοις, sed E ut Leid.

ὅτι πρὸς τὸ αὐτὸ γνωστὸν ἀνατεινόμενον τὸ πρᾶγμα διδάσκοντες, κατὰ τοῦτο οὐ διαφέρουσιν ἀλλήλων εἰδότες, οὐδὲ στασιάζουσιν, οἱ μὲν ἄλλα, οἱ δὲ ἄλλα λέγοντες περὶ αὐτοῦ τοῦ πράγματος· τὸ δὲ αἴτιον, ὅτι τὰ πράγματα ἕστηκεν ἐπὶ τῆς αὐτῶν φύσεως, καὶ οὐ τοῖς μὲν ἄλλα φαίνεται, τοῖς δὲ ἄλλα· καὶ ἡ τῶν ἀνθρώπων γνῶσις ὡρισμένους ἔχει τοὺς τρόπους τῆς καταλήψεως, ἡ δὲ ἐπιστήμη τὰ κριτήρια προςείληφεν ἐν ἑαυτῇ τῆς ἑκάστου φύσεως, ἐπεὶ τῶν γε πραγμάτων εἰ τὸ φαινόμενον μόνον ὄντων, ὡς Πρωταγόρας ἔλεγεν, ἡ κρίσις ἀφωρισμένως ἐν ἡμῖν, ἡ φύσις οὐδὲν ἐκώλυε καὶ εἰδότας καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, τοὺς μὲν ἀλλοίως, τοὺς δὲ ἀλλοίως ἁπτομένους τῶν γνωστῶν. Εἰ τοίνυν ταῦτα ὀρθῶς εἴρηται, δεῖ τεκμήριον ποιεῖσθαι τῆς μὲν ἀγνοίας τὴν διαφωνίαν, τῆς δὲ γνώσεως τὴν συμφωνίαν. Οἱ γὰρ τὸ ἀληθὲς εἰδότες ἅπαντες οὐ διαφέρονται περὶ αὐτοῦ πρὸς ἀλλήλους. Οὐκοῦν γέγονε τὸ συνημμένον τοιοῦτον, εἰ γινώσκουσί τινες τὸ ἀληθὲς, οὐ διαφέρονται πρὸς ἀλλήλους, εἶτα κατὰ τὴν σὺν ἀντιθέσει λεγομένην ἀντιστροφὴν, εἰ δὲ διαφέρουσι πρὸς ἀλλήλους, οὐ γινώσκουσι τὸ ἀληθὲς, ἀλλ' ἤτοι πάντες ἤ τινες

— τὸ πρᾶγμα] B εἰς τὸ πρᾶγμα. — κατὰ τοῦτο] D καὶ τοῦτο. — λέγοντες] B λέ (suprascr. γ) τοῖς. — περὶ αὐτοῦ τοῦ] D περὶ τοῦ αὐτοῦ. Et ita scribendum. — αὐτῶν φύσεως] cett. excepto Cod. E bene ἑαυτῶν φύσεως. — φαίνεται τοῖς δὲ ἄλλα] B τοῖς δὲ ἄλλα φαίνεται. — ὡρισμένους] A ὡρισμένη. B ὡρισμένως. — ἐν ἑαυτῇ] B ἐν ἑαυτοῖς. — τῆς ἑκ. φυσ. ἐπεὶ] D τις ἑκάστου φυσ... ἐπεὶ (sic). — εἰ τὸ φ. μ. ὄντων] in D leguntur eadem, sed φαινόμενον. Pro ὄντων, ὡς Cod. B ὄντα κοινῶς. Legendum esse videtur: εἰς τὸ φ. μ. ἰόντων, ὡς. De Protagorae sententia vid. Plat. Theaet. p.152 a (ibiq. Heind.) seqq. Bekk. II. 1. p. 195 sqq. cf. infra p. 274. — κρίσις ἀφωρισμένως] cett. non incommode κρίσεως ἀφωρισμένης, sed E ut noster. — καὶ εἰδότας καὶ] A καὶ εἰδότας εἶναι πάντας καὶ. B καὶ εἰδότα εἶναι πάντας καὶ. D καὶ εἰδότας εἶναι πάντας καὶ, quod unice verum est. Etenim εἰ in cod. D immissum ante διαφέρεσθαι rursus deletum est puncto subscripto. Idem proxime pro τεκμήριον lacunam habet: τ.......... — γινώσκουσι] B γιγνώσκουσι. Proxime τὸ συνημμένον, *connexum*, sc. ἀξίωμα. Vox dialecticorum propria, qui distinguebant τὰ συνημμένα et τὰ παρασυνημμένα, *connexa* et *adnexa*, vid. Diogen. Laërt. in Zenone VII. 69 ibiq. Aldobrand. coll. §. 71. 73. 190. Simplicius ad Epictet. p. 292. p. 463 Stoicis attribuit haec, atque hos syllogismos dicit συνημμένους sive συμπεπλεγμένους esse appellatos; quibus oppositi fuerint οἱ διεζευγμένοι *disjuncti*. Adde Fabric. ad Sext. Empir. p. 536 et Upton. ac Schwgh. ad Epictet. Tom. III. p. 450. — σὺν ἀντιθέσει] B junctim. — εἰ δὲ διαφέρουσι] cett. εἰ δὲ διαφέρονται, excepto Cod. E. — οὐ γινώσκουσι] B οὐ γιγνώσκουσι.

αὐτῶν ἀγνοοῦσιν· Ἀλλ' ἡ μὲν ἀντιστροφὴ μετὰ ταῦτα ἔσται τῷ Σωκράτει χρήσιμος, ὅταν ἐπὶ τὸ δίκαιον μεταστὰς περὶ ἐκείνου ποιεῖται τὸν λόγον· νυνὶ δὲ τὴν πρώτην ἐπὶ τοῦ ἑλληνίζειν δείκνυσιν, ὡς οὐδὲν θαυμαστὸν ἀγαθοὺς εἶναι διδασκάλους τούτου τοὺς πολλούς· ἔχουσι γάρ, ἃ δεῖ τοὺς διδασκάλους ἔχειν. Δεῖ δὲ ἄρα τούτους εἰδέναι τὸ πρᾶγμα, περὶ οὗ διδάσκειν ἐπαγγέλλονται. Τί οὖν τούτου τεκμήριον; τὸ μὴ διαφέρεσθαι πρὸς ἀλλήλους· Οἱ μὲν οὖν οἱ πολλοὶ διαφέρονται περὶ τοῦ, τί καλεῖται ξύλον, τί ἄνθρωπος, καὶ τί λίθος, οὐκ ἂν εἶεν οὐδὲ τοῦ ἑλληνίζειν ἅπαντες ἀκριβεῖς καὶ ἀνέλεκτοι διδάσκαλοι· εἰ δὲ ὁμολογοῦσι πρὸς ἀλλήλους περὶ τούτου καὶ ἑαυτῷ τις ἕκαστος συμφωνεῖν καὶ τοῖς ἄλλοις, ἔχοιεν ἂν περὶ τοῦ ἑλληνίζειν τὴν προσήκουσαν τοῖς διδάσκειν ὁτιοῦν μέλλουσιν ἕξιν. Συλλογισμὸς οὖν περὶ τοῦ ἑλληνίζειν γενέσθω τοιοῦτος. Οἱ πολλοὶ περὶ τῶν ὀνομάτων τῶν κειμένων τοῖς πράγμασι κατὰ τὴν συνήθειαν ὁμολογοῦσιν ἀλλήλοις, περὶ τῶν κειμένων ὀνομάτων ἐν τῇ συνηθείᾳ πρὸς ἀλλήλους τοῖς πράγμασιν ὁμολογοῦντες τὴν ἐπιστήμην ἔχουσι τοῦ ἑλληνίζειν· οἱ τὴν ἐπιστήμην ἔχοντες τοῦ ἑλληνίζειν διδάσκαλοι διδάσκαλοί εἰσιν ἀνέλεκτοι τοῦ ἑλληνίζειν· οἱ ἄρα πολλοὶ διδάσκαλοί εἰσιν ἀνέλεκτοι τοῦ ἑλληνίζειν. Ἀλλὰ τῇ μὲν ἐλαχίστῃ τῶν προτάσεων, ὅτι ὁμολογοῦσιν ἀλλήλοις, συγχωροῦσιν ἅπαντες. Καὶ γάρ, ὅτι οἱ πολλοὶ πρὸς ἀλλήλους οὐ διαφέρονται περὶ

— ὅταν ἐπὶ] B ὅτ' ἂν ἐπί. In seqq. scr. ποιῆται. — ἃ δεῖ τοὺς] D add. ἀγαθούς. recte. — οἱ μὲν οὖν οἱ πολλοὶ] B om. οἱ. D om. μὲν. Ceteri omnes εἰ μὲν οὖν, et ita scribendum. — ἀκριβεῖς] B ἀκριβῶς. — ἀνέλεκτοι] cett. ἀνέλεγκτοι, sed E, ut noster, vitiose ἀνέλεκτοι, ut etiam infra. — καὶ ἑαυτῷ] B καὶ ἑαυτοῦ. — συμφωνεῖν] cett. recte συμφωνεῖ, sed E ut Leid. — περὶ τοῦ ἑλληνίζειν] cett. bene περὶ τὸ ἑλλ. — ἕξιν] A et B ἕξειν. Paulo superius E ὁτοοῦν. Mox idem γινέσθω. Post τῇ συνηθείᾳ in Cod. D scribitur τοῖς πράγμασι πρὸς ἀλλήλους ὁμ. unde suspicor incommodas voces τοῖς πρ. vel plane esse expungendas vel ponendas post περὶ τῶν κειμένων. — ἔχουσι τοῦ ἑλληνίζειν] A ἔχουσαι τοῦ ἑλλ. B ἔχουσαι ἑλλ. — διδάσκαλοι διδάσκαλοι] B et D alterum omittunt. Merito. — εἰσιν ἀνέλεκτοι] B et A bene εἰσὶν ἀνέλεγκτοι. — ἀνέλεκτοι τοῦ ἑλλ. ἀλλὰ] B om. ἀνέλεκτοι τοῦ ἑλλ. A et D legitime ἀνέλεγκτοι. — περὶ τῆς χρήσεως] cett. perperam om. περὶ τῆς, sed Cod. E διαφέρονται χρήσεως, et ab alia manu διαφ. περὶ χρήσεως. Post εὔδηλον Cod. D exhibet καὶ ὅτι ὁ μή, quod unice verum est. Mox Cod. E vocem ἀμφοτέρων nonnisi in margine habet ab alia manu.

τῆς χρήσεως τῶν ὀνομάτων, εὔδηλον, καὶ ὅτι ὁ μὲν πρός τινα διαφερόμενος περὶ ὁτιοῦν διδάσκαλος ἀγαθός ἐστιν ἐκείνου. Δοκεῖ δὲ ἡ μέση ἀμφοτέρων τῶν προτάσεων εἶναι ψευδής· οὐ γὰρ πάντως ὁμολογοῦντες ἀλλήλοις περὶ ὁτιοῦν ἐπιστήμονές εἰσιν ἐκείνου, περὶ ὃ τὴν ὁμολογίαν ἔχουσιν. Εἰ γὰρ τῷ παρόντι χρόνῳ περὶ τοῦ μὴ εἶναι θεοὺς ὁμολογοῦντες οἱ πολλοὶ δι' ἀνεπιστημοσύνην τοῦτο πεπόνθασι, λεκτέον δὴ πρὸς τὴν ἀπορίαν ταύτην πρῶτον μὲν, ὅτι τὸ μοχθηρὸν ὁμολογεῖν πρὸς ἑαυτὸν ἀδύνατον. Ἀνάγκη γαρ αὐτὸν ὄντα κακὸν στασιάζειν πρὸς τὴν ἑαυτοῦ ζωὴν, καὶ διὰ μὲν τὴν λογικὴν φύσιν ὁρᾶν πη τὸ ἀληθὲς, διὰ δὲ τὰ πάθη καὶ τὰς φαντασίας τὰς ἐνύλους εἰς ἄγνοιαν διαφέρεσθαι καὶ τὴν πρὸς ἑαυτὸν διαμάχην. Δηλοῖ δὲ ἡ μεταμέλεια τῶν παθῶν λοφησάντων καὶ τῆς ἀσυμφωνίας, ἣν πρότερον ἔχων ἑαυτὸν ἐλάνθανε· καὶ ὁ ἄθεος τοίνυν καὶ ὁ ἀκόλαστος κατὰ μὲν τὴν διάνοιαν φύσει τῷ θείῳ προσήκουσαν καὶ τῆς ἀγαθοειδοῦς μοίρας ὑπάρχουσαν σωφρονικὰ φθέγγονται καὶ ἔνθεα, κατὰ δὲ τὰς ἐπιθυμίας καὶ τὰς φανταστικὰς καὶ μορμωτικὰς κινήσεις ἀθέως διάκεινται καὶ ἀκολάστως. Καὶ ὅλως κατὰ τὴν ἄλογον ψυχὴν πόλεμον ἐπεισάγουσιν ἑαυτοῖς καὶ θόρυβον παντοδαπόν. Πᾶς οὖν ὁ κακὸς πρὸς ἑαυτόν ἐστιν ἀσύμφωνος· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον πρὸς τοὺς ἄλλους ἐστὶ τοιοῦτος. Καὶ πῶς γὰρ τοῖς ἐκτὸς ἑαυτοῦ ὁμολογήσειεν αὐτὸς πρὸς ἑαυτὸν στασιαστικῶς διακεί-

— *περὶ ὃ τὴν ὁμολογίαν*] B *περὶ οὗ τὴν ὁμολ.* Post haec Codd. A B et D. *Ἐν γὰρ* pro *εἰ γάρ*. Bene. Sed D male: *οἱ γὰρ πάντως.* — *περὶ τοῦ μὴ εἶναι*] B *πρὸ τοῦ μή.* Fort. *περὶ τὸ μὴ εἶναι.* In margine Codicis E scriptum est ad h. l.: *Christianos intelligit.* Atque in marg. codicis D haec adpicta sunt: ☞ *Ψεύδη μάταιε.* — *δι' ἀνεπιστημοσύνην*] D *διὰ ἐπιστημοσ.* — *ὁρᾶν πη*] B *ὁρᾶν πῇ.* Paulo post in voce *διαφέρεσθαι* Cod. E syllabis *δια* tria puncta adscripta habet. Non displicet *φέρεσθαι.* Mox *διαμάχη* vox est Platonica. Vid. de Legg. VII. 17. p. 814. p. 278; inde aliis quoque usurpata, ut Theodoreto I. p. 430, 441; III; p. 300 Schulz. — Deinde cod. D *λωφησάντων.* Recte Plato Phaedr. p. 251. C. p. 266 Heindf.: *λωφᾷ τε τῆς ὀδύνης καὶ γέγηθεν*, ubi vid. Heindf. et inprimis ab eo laud. Valcken. ad Euripid. reliqq. Adde Aristotel. Problemm. I. 19. p. 6. Sylb. et XXIII. 29. p. 171. Theodoret. operr. T. III. p. 987. 1238. Etymol. Gud. p. 376 ita: *λωφήσω τὸ καταπαύσω.* Vid. ibid. in *λωφῆσαι* et in *λωφήσασα.* — *μορμωτικὰς*] cett. *μορφωτικὰς.* Bene. — *ἐκτὸς ἑαυτοῦ*] B et D add. *τις.* — *αὐτὸς πρὸς ἑαυτὸν*] B *αὐτὸς πρὸς αὐτόν.*

μενος; Καὶ οἱ ἄθεοι δὴ οὖν πάντες καὶ οἱ ἀκόλαστοι καὶ οἱ ἄδικοι διαφέρονται πρὸς ἀλλήλους, καὶ οὐκ ἄν ποτε ἐναρμονίως ἔχοιεν ἀνεπιστήμονες ὄντες. Πρὸς μὲν τὴν εἰρημένην στάσιν τοσαῦτα. Τῶν δὲ καθ' ἕκαστα τὸ μὲν ω γενναῖε θεραπευτικόν τέ ἐστι, τοὺς ἐλέγχους παραμυθούμενον, καὶ ἔτι χωρίζει πως αὐτὸν ἀπὸ τῶν πολλῶν. Ἐνδείκνυται γάρ, ὅτι δεῖ τὸν ἐπ' εὐγενείᾳ μεγαλοφρονοῦντα καὶ φύσιν λαχόντα γενναῖαν μὴ φαίνεσθαι τῆς φύσεως ἀνάξιον, μηδὲ ἐπιδιώκειν τὰς τῶν πολλῶν δόξας, μηδὲ συναριθμεῖν ἑαυτὸν τοῖς χείροσιν, ὧν ἡ φύσις αὐτῷ δέδωκε κρατεῖν. Τό γε μήν, ἐν οἷς ἂν διαφέρονται, μὴ εἰδέναι τοὺς πολλοὺς ἀντιστροφὴ σὺν ἀντιθέσει τῆς λεγούσης ἐστὶ προτάσεως, τοὺς ἐπιστήμονας μὴ διαφέρεσθαι ἀλλήλους· Συντελεῖ δὲ αὐτῷ πρὸς τὸν ἑξῆς λόγον, δι' οὗ δείκνυσιν οὐκ' ὄντας τοὺς πολλοὺς τῶν δικαίων ἀγαθοὺς διδασκάλους, ὅτι μηδὲ ἐπιστήμονας, τὸ δὲ ἐπὶ ταῦτα ὁρμᾶν παντελῆ ποιεῖ τὴν συμφωνίαν. Ἔστι γὰρ καὶ τὰ αὐτὰ δοξάζειν, καὶ μὴ τὰ αὐτὰ πρεσβεύειν κατὰ τοὺς προςδιαφερομένους                    αὐτὰ πράττειν ἀπὸ γνώσεων διαφερουσῶν ὡρμημένους                    πῇ μὲν συμφωνοῦσι, πῇ δὲ οὔ· μόνοι δὲ ἐκεῖνοι συμφωνοῦσιν                    οἳ τὰ αὐτὰ περὶ αὐτῶν γινώσκουσι καὶ τὰς αὐτὰς

— καὶ οἱ ἀκόλαστοι] B om. οἱ. Paulo inferius E πρὸς μὲν οὖν τὴν κτλ. Bene. — ὦ γενναῖε] B εὖ γενναῖε. In seqq. D omisit τε post θεραπευτικὸν, in B est θεραπευτικόν τε εἶναι, suprascripto ἐστί. Unde fortasse legi possit θερ. τέ ἐστι καὶ τοὺς κτλ. — χωρίζει πως] B χωρίζει πῶς. — μεγαλοφρονοῦντα] cett. praeter E μεγάλα φρονοῦντα. — λαχόντα γενναῖαν] D λαχόντα σπουδαίαν. A et B λαχόντα γενναίαν. — ἐπιδιώκειν] B add. καὶ. [mox scr. videtur διαφέρωνται pro διαφέρονται.] — σὺν ἀντιθέσει] B junctim. — προτάσεως] B προτάξεως. — διαφέρεσθαι ἀλλήλους] cett. recte διαφέρεσθαι ἀλλήλοις. — συντελεῖ ... ἑξῆς λόγον] om. B. — τοὺς πολλοὺς τῶν δικαίων] B τῶν δικαίων πολλούς. — ἀγαθοὺς διδασκάλους] cett. invers. ord., quod praestat. — ἐπὶ ταῦτα ὁρμᾶν] Leg. ἐπὶ ταὐτὰ ὁρμ. — προςδιαφερομένους] lacunae, quae nunc sequuntur, in eisdem ipsis locis occurrunt etiam in codd. A E et D. — B omittit, quidquid sequitur post προςδιαφερομένους. — ἀπὸ γνώσεων] A junctim. — αὐτὰ περὶ αὐτῶν] D αὐτὰ περὶ τῶν αὐτῶν. Cod. E ex correctione οἱ καὶ τὰ αὐτὰ, cum loco vocis καὶ fuisset lacuna. Mox post ὁμολογεῖν in Cod. E additur in margine τήν. Infra post ἔνδειξιν ἔχει τοῦ in margine additur πολύσημον εἶναι. Post σημαινόμενον in eodem Cod. lacuna ita expleta est ab alia manu: πολλοὶ διδάσκαλοι. — Proxime illud λυτικόν ἐστι locutio Dialecticorum propria est. Ita λύειν λόγον ursurpat Sextus Emp.

πράξεις ἐπὶ τῶν αὐτῶν· διώκουσιν οὖν τὸ μὲν ὁμολογεῖν κατὰ τὸν λόγον συμφωνίαν δηλοῖ· τὸ δὲ ἐπὶ τὰ αὐτὰ ὁρμᾶν τὴν πρὸς τὸ ὀρεκτὸν, ὃ δεῖ καὶ αὐτό τι συντελεῖ. Καὶ μὴν καὶ τὸ τούτοις ἐφεξῆς ὅτι σχεδὸν γὰρ μανθάνω τὸ ἑλληνίζειν ἐπίστασθαι, ὅτι τοῦτο λέγεις ἔνδειξιν ἔχει τοῦ τὸ ἑλληνίζειν· καὶ ὅτι καθ' ἓν μόνον αὐτοῦ σημαινόμενον τοῦ ἑλληνίζειν εἰσὶ, τὸ δὲ καὶ αὐτοὶ ἑαυτοὺς λυτικόν ἐστι τὴν ὁμολογίαν ἀφ' ἑαυτῶν ἄρχεται τοῖς ἐπιστήμοσιν, οὐδεὶς δέκ ὡς οὐδὲ ἄλλοις ὁμολογεῖν ἂν δύναιτο πρὸς αὐτὸν στασιάζων.

[πζ.] „Εἰ μὲν βουλοίμεθα ποιῆσαί τινα περὶ αὐτῶν εἰδέ„ναι, ὀρθῶς αὐτὸν πέμπομεν εἰς διδασκαλεῖα τούτων τῶν „πολλῶν; — πάνυγε. — τί δ', εἰ βουληθείημεν μαθεῖν „μὴ μόνον, ποῖοι ἄνθρωποί εἰσιν ἢ ποῖοι ἵπποι, ἀλλὰ „τίνες αὐτῶν ἄδικοί τε καὶ μὴ, ἆρ' ἔτι τοῦτο οἱ πολλοὶ „ἱκανοὶ διδάξαι; — οὐ δῆτα. — δοκεῖ σοι δὲ τεκμήριον, „ὅτι οὐκ ἐπίστανται, οὐδὲ κρίνειν διδάσκαλοί εἰσι τούτων, „ἐπειδὴ ὁμολογοῦσιν ἑαυτοῖς περὶ αὐτῶν; — ἔμοιγε. —

Pyrrh. Hypotyp. I. 33 p. 11 Fabric. Definitionem *τῆς λύσεως* exhibet locus classicus Aristotelis in Sophist. Elench. II. 4. p. 457 Sylburg. atque *τοῦ λυσίμου συλλογισμοῦ* ejusdem alter locus Analyt. prior. I. 27. p. 196. *Λύσις*, *dissolutio*, sive *confutatio* etiam in Rhetorum scriptis frequenter obvia; vid. Ernesti Lex. techn. Graecor. rhetor. p. 203. Qui scrupulos in Homero obvios tollebant et ipsi *λυτικοί* dicti. Vid. Wolf. Prolegg. ad Homer. ibiq. laudd. p. CXCV. — *διώκουσιν οὖν*] A et D *διώκουσιν οὐκοῦν*. — *ὃ δεῖ καὶ αὐτό τι*] A et D *ὃ δὴ καὶ αὐτὸ π…* — *ὅτι σχεδὸν γὰρ*] D om. *γὰρ*. — *καὶ αὐτοὶ ἑαυτοὺς*] D *καὶ αὐτοῖς αὐτούς*. — *ἄρχεται τοῖς*] D *ἄρχεσθαι*. — *οὐδεὶς δέκ.*] D *οὐδὲ δὲ ἐκ.* — *ὡς οὐδὲ*] A et D *ὥςτ' οὐδὲ*. his pergit cod. B *ὥστε οὐδὲ*.

In initio loci Platonici excidit *οὐκοῦν*, quod est in Edd. Tum ibidem Astius exhibet *βουλοίμεθ' ἄν*. — *ποιῆσαί τινα*] D *ποιῆσαί τι*. — *πέμπομεν*] D *πέμποιμεν*. Bene. — *εἰς διδασκαλεῖα*] cett. *εἰς διδασκαλίαν*, ut est in Edd. Tum Bekk. edidit *βουληθεῖμεν* per Syncopen, sed paulo inferius ut ceteri *βουληθείημεν*. — *τῶν πολλῶν*] A et B *τῶν πολλῶν κτλ.* omissis sqq. usque ad *ἔμοιγε*. Mox pro *μαθεῖν* Edd. *εἰδέναι*. — *ἀλλὰ τίνες*] D *ἀλλὰ καὶ τίνες*. Ut Edd. Pro *ἄδικοι* ex Edd. necessario scribendum *δρομικοί*. — *ἆρ' ἔτι τοῦτο οἱ πολλοὶ*] D et E *ἆρα ἔτι οἱ π. τ.* ut est in Edd. — *δοκεῖ σοι δὲ*] D et E *δοκεῖ δέ σοι*. Sed in Edd. est *ἱκανὸν δέ σοι τεκμήριον*. — *οὐδὲ κρίνειν*] D *οὐδὲ κρήγυοι*, ut est in dialogo. — *ἐπειδὴ*] D addit *οὐδὲν*, ut est in Edd. Recte. In fine loci in Edd. est *ἑώρας* pro *ἑώρακας*.

„τί δ'. εἰ βουληθείημεν εἰδέναι μὴ μόνον, ποῖοι ἄνθρωποί εἰσιν, ἀλλ' ὁποῖοι ὑγιεινοὶ ἢ νοσώδεις, ἆρα ἱκανοὶ ἂν „ἡμῖν ἦσαν διδάσκαλοι οἱ πολλοί; — οὐ δῆτα. — ἦν δ' „ἄν σοι τεκμήριον, ὅτι μοχθηροί εἰσι τούτων διδάσκαλοι, „εἰ ἑώρακας αὐτοὺς διαφερομένους; — ἔμοιγε." (p. 111. d. e. Bekk. p. 317. sq.)

Πρὶν ἐπὶ τὸ προκείμενον στρέψει τὸν λόγον ὁ Σωκράτης ἐπ' ἄλλων δείκνυσι πραγμάτων, πῶς οὐκ εἰσιν ἀγαθοὶ διδάσκαλοι οἱ πολλοὶ τῷ μὴ ὁμολογεῖν ἀλλήλοις. Περὶ γὰρ τῶν ἐν τῇ συνηθείᾳ κειμένων ὀνομάτων ἱκανοὶ διδάσκειν εἰσὶ καὶ οὐ διαφέρονται πρὸς ἀλλήλους· περὶ δὲ τοῦ τίνες εἰσὶ δρομικοὶ καὶ τίνες οὔ· καὶ αὖ πάλιν, τίνες μὲν ὑγιεινοὶ, τίνες δὲ νοσώδεις, οὐκ ἔστι διδάσκειν τῶν πολλῶν. Οὐ γὰρ συμφωνοῦσιν ἀλλήλοις. Καὶ ὁρᾷς, ὅτι τὰ μὲν ὀνόματα κείμενα τοῖς εἰδόσιν ἐπέτρεψε τῇ γνώσει τῶν πολλῶν, τὸ δὲ δρομικὸν καὶ τὸ μὴ, καὶ τὸ ὑγιεινὸν καὶ τὸ μὴ, κατ' ἐπιτηδειότητα μόνον ὁρᾶται. Καὶ ἔστι δύσγνωστα ποῤῥώτερον γεγονότα τῶν φαινομένων καὶ τεχνικῆς δεόμενα γνώσεως. Εἰ γὰρ καὶ ὁ δρόμος φαινόμενόν ἐστιν, ἀλλ' ἡ δρομικὴ φύσις οὔπω τῶν εἰδοπεποιημένων ἐστὶν, ὥςτε διὰ τοῦτο τοῖς πολλοῖς οὐκ ἔστι καταφανές. Τεκμήριον δὲ τῆς ἀγνοίας αὐτῶν ἡ διαφωνία, καὶ τοῦτο δ' αὖ πάλιν ἀπορίαν ἔχει πολλήν. Εἰ γὰρ τοῦτο τῆς ἐπιστημοσύνης ἐστὶν ἡ διαφωνία τεκμήριον, καὶ τοὺς φιλοσόφους ἀνεπιστήμονας φήσομεν· διαφωνοῦσι γὰρ δὴ καὶ οὗτοι πρὸς ἀλλήλους καὶ καταβάλλουσι τὰς ἀλλήλων ὑποθέσεις, καὶ οἱ μὲν ἄλλων προεστήκασιν, οἱ δὲ ἄλλων. Λυτέον δὲ καὶ ταύ-

— *στρέψει*] cett. *στρέψοι*, excepto E. In Cod. D est punctum literae σ̄ subscriptum, quo suspectam eam esse significat librarius. Scribendum videtur *στρέψαι*. Vid. Viger. de Idiot. Gr. p. 442. Herm. — *περὶ γὰρ τῶν*] cett. praeter unum E *περὶ μὲν γὰρ τῶν*. — *συμφωνοῦσιν ἀλλήλοις*] cett. addunt: *περὶ τούτων· ἀλλὰ μόνων τῶν περὶ ταῦτα ἐπιστημόνων τῶν τε ἱππικῶν καὶ τῶν ἰατρικῶν, οὐ γὰρ ταῦτα δύνανται διακρίνειν, καὶ ὁμολογοῦσιν ἀλλήλοις.* Et haec addenda videntur, sed ex codicis D vestigiis legendum *οὗτοι γὰρ ταῦτα δύνανται διακρίνειν.* — *κείμενα*] cett. *τὰ κείμενα*, excepto solo E. Pro *τοῖς εἰδόσιν* leg. *εἴδεσιν*. — *ποῤῥώτερον*] A et B *ποῤῥωτέρω*. D ..*ορρωτερ*... (sic). — *δ' αὖ πάλιν*] B et D *δὲ αὖ πάλιν*. — *τῆς ἐπιστημοσύνης*] D *τῆς ἀνεπιστημοσύνης*. **Bene.**

την τὴν ἀπορίαν κατὰ τὰ αὐτὰ τοῖς πρὸ ἡμῶν λέγουσιν, ὡς ἔστιν ἡ διαφωνία διττὴ, καὶ ἡ μὲν τῶν μὴ εἰδότων πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους μαχομένους, ἡ δὲ τῶν μὴ εἰδότων πρὸς τοὺς εἰδότας διαφερομένων, καὶ ὡς καθ' ἑαυτοὺς οἰομένων ἀνεπιστήμονας εἶναι πάντας. Ἀλλ' οὐ μὲν κατὰ τὴν ἐναντίαν μηδεμίαν ἐπιστήμην ἔχειν τούτων, περὶ ἃ διαφωνοῦσιν· εἰ δὲ κατὰ τὴν ἀντίφασιν, οὐ πάντας ἔχειν τοὺς διαφερομένους, ἀλλὰ τοὺς μὲν, τοὺς δὲ μὴ, προςεκτέον καὶ ταύτῃ τῇ προτάσει τὸ ἀκριβὲς ἐχούσῃ. Τοὺς γὰρ μὴ ὁμολογοῦντας ἑαυτοῖς, μηδὲ ἀλλήλοις, οὔ φασιν ἐπιστήμην ἔχειν· οὗτοι δέ εἰσιν οἱ μὴ εἰδότες, ἐπεὶ οἵ γε εἰδότες ἑαυτοῖς ὁμολογοῦσιν, ὥςτε ἀμφότερα τοῖς μὴ εἰδόσι μόνον προςήκει, τοῖς εἰδόσιν οὐδαμῶς. Ἀλλ' οὐδὲ οἱ ἐπιστήμονες διαφέρονται πρὸς τοὺς ἐπιστήμονας. Τοὐναντίον γὰρ τελειοῦσιν αὐτοὺς καὶ κοσμοῦσι καὶ εἰς τὴν ἑαυτῶν ἕξιν ἀνακαλοῦνται. Ἄλλοι ἀνεπιστήμονές εἰσιν οἱ τῶν ἐπιστημόνων αὐτοὺς ἀφιστάντες· διὰ γὰρ τὴν ἐν ἑαυτοῖς διαφωνίαν διαφέρονται πρὸς τοὺς ἀμείνονας. Οὐδ' ἄρα πρὸς ἀλλήλους διαφέρονται οἵ τε εἰδότες καὶ μὴ εἰδότες, ὥςτε οὐδ' ὅλως οἱ ἐπιστήμονες διαφέρονται. Πολλοῦ ἄρα δεῖ τοὺς ἀληθεῖς φιλοσόφους ἐνοχλεῖν ἢ ἀπορεῖν λόγων. Οἱ γὰρ δι' ὁμοιότητος καὶ ταυτότητος ἀλλήλοις ἡνωμένοι καὶ τῶν ἀνεπιστημόνων παντελῶς ἐξῃρημένην λαχόντες γνῶσιν οὔτε πρὸς ἑαυτοὺς οὔτε πρὸς ἐκείνους στασιάζουσιν.

— *πρὸ ἡμῶν λέγουσιν*] D *πρὸ ἡμῶν λέγοντας*. Cogitandum fortasse de Plat. Sophist. p. 225. a. Bekk. II. 2. p. 144. — *πρός τε ἑαυτοὺς*] B *πρότερον ἑαυτοὺς*. In Cod. D vox *μαχομένους* in fine punctis notata est. Videtur voluisse librarius *μαχομένων*, quod praeferendum. — *ἀλλ' οὐ μὲν*] D *ἀλλ' εἰ μὲν*. Idem mox ex correctione, ut videtur, *εἶχον* pro *ἔχειν* ante *τούτων*. Neque sic tamen expeditur hic locus. — *μηδεμίαν*] B *μὴ δὲ μίαν*. — *οὐ πάντας ἔχειν*] B *οὐ πάντα ἔχειν*. — *μὴ ὁμολογοῦντας*] A et B *μηδὲ ὁμολογ*. Proxime pro *ἐπιστήμην ἔχειν* in cod. D antea scriptum fuisse videtur *ἐπιστ. εἶχον*. — *τοὺς ἐπιστήμονας*] cett. bene *τοὺς ἀνεπιστήμ*. excepto solo Cod. E. Paulo inferius in eodem Cod. *ἄλλοι* bene correctum est in *ἀλλ' οἱ*. — *πρὸς τοὺς ἀμείνονας*] D *καὶ πρὸς τοὺς ἀμ*. — *διαφέρονται*] A et B *διαφέρωνται*. Quae sequuntur, *οἵ τε εἰδότες* usque ad *διαφέρονται*, omissa in Cod. E alia manus in margine supplevit. — *καὶ μὴ εἰδότες*] cett. *καὶ οἱ μὴ εἰδ*. — *οὐδ' ὅλως*] D *οὐχ ὅλως*. — *ἢ ἀπορεῖν λόγων*] cett. bene praeter Cod. E *ὁ ἀπορῶν λόγος*. Mox in Cod. E *ἀλλήλους*, sed correxit alius *ἀλλήλοις*. — *πρὸς ἐκείνους*] D *πρὸς ἀλλήλους*.

[πη.] „Τί δὲ δή; νῦν περὶ τῶν δικαίων ἀνθρώπων καὶ „πραγμάτων οἱ πολλοὶ δοκοῦσί μοι ὁμολογεῖν αὐτοὶ ἑαυ-„τοῖς ἢ ἀλλήλοις; — ἥκιστα, νὴ Δία, ὦ Σώκρατες. — τί „δὲ μάλιστα περὶ αὐτῶν διαφέρεσθαι; — πολύ γε. — οὔ-„κουν οἶμαι πώποτέ σε ἰδεῖν οὐδ' ἀκοῦσαι σφόδρα οὕτω „διαφερομένους ἀνθρώπους περὶ ὑγιεινῶν καὶ μή, ὥςτε „διὰ ταῦτα μάχεσθαί τε καὶ ἀποκτιννύναι ἀλλήλους. — „οὐ δῆτα. — ἀλλὰ περὶ τῶν δικαίων καὶ ἀδίκων ἔγωγε „οἶδ' ὅτι καὶ εἰ μὴ ἑώρακας, ἀκήκοας γοῦν ἄλλων τε πολ-„λῶν καὶ Ὁμήρου· καὶ Ὀδυσσείας γὰρ καὶ Ἰλιάδος ἀκή-„κοας. — πάντων δήπου, ὦ Σώκρατες. — οὐκοῦν ταῦτα „ποιήματά ἐστι περὶ διαφορᾶς δικαίων καὶ ἀδίκων; — „ναί. — καὶ αἱ μάχαι γε καὶ οἱ θάνατοι διὰ ταύτην „γε τὴν διαφορὰν τοῖς τε Ἀχαιοῖς καὶ τοῖς ἄλλοις Τρω-„σὶν ἐγένοντο καὶ τοῖς μνηστῆρσι τῆς Πηνελόπης καὶ τῷ „Ὀδυσσεῖ. — ἀληθῆ λέγεις. — οἶμαι δὲ καὶ τοῖς ἐν „Τανάγρᾳ Ἀθηναίων τε καὶ Λακεδαιμονίων καὶ Βοιωτῶν „ἀποθανοῦσι καὶ τοῖς ὕστερον ἐν Κορωνείᾳ συμβᾶσιν, „ὅτε καὶ ὁ σὸς πατὴρ ἐτελεύτησεν, οὐδὲ περὶ ἑνὸς ἄλλου

In loco Platonico post *τί δὲ δὴ νῦν* in Ed. Biest. et Buttm. interrogandi signum ponitur. Post *τῶν δικαίων* ib. et apud Astium et Bekk. ex Cod. Ven. additum est *καὶ ἀδίκων*. — *αὐτοὶ ἑαυτοῖς*] A et B *αὐτοὶ ἑαυτοῖς κτλ.* omissis seqq. usque ad *ὧν σὺ λέγεις οὐκ εἰκός*. In Cod. E ad verba *δοκοῦσί μοι* in margine adscriptum est *ἴσως μή*. Sed scribendum *σοι*, ut est in Edd. Tum pro *ἀλλήλοις* Astius edidit *ἄλλοις* ex Codd. Ven. et Vindob. simul secutus Ficinum, qui vertit: secum ipsa et cum *aliis* consentit. Quae quamquam in Bipontina editione non ita legantur, tamen sunt Ficini. Notissimum enim est, Bipontinos temere nescio an consulto eam versionem arripuisse, quae ad textum vulgatum esset correcta, neque vero eam, quam ex Codd. MSS. confecit Ficinus, quaeque ad Platonis veram lectionem restituendam haud parvi censetur momenti. Eam exhibet I. Bekkeri editio Dialogorum Platonis, partim ex Florentina editione, partim ex Veneta anni 1491. — Post haec in Edd. est *νὴ Δί'*. Tum *Τί δαί*, pro *τί δέ*. — *οὔκουν οἶμαι*] D add. *γε*, ut Edd. — *διαφερομένους ἀνθρώπους*] D *διαφερομένους αὐτούς*. In seqq. pro *πάντων δήπου* Edd. exhibent *πάντως δήπου*. — *διὰ ταύτην γε*] Abest *γε* ab Edd. — *τῆς Πηνελόπης*] D *τοῖς τῆς Πην.* ut Edd. Post *Κορωνείᾳ* in Edd. non legitur *συμβᾶσιν*. Ad rem vide Gottleberi notam ad h. l. Pro *ὅτε* Edd. habent *ἐν οἷς*, post *πατὴρ* addunt *Κλεινίας*, pro *διαφορὰ* ib. *διαφοράν*. [*διαφορὰ* etiam infra p. 274.] Deinde *τοῦ δικαίου* pro *δικ.*, pro *τῶν κακῶν* in Edd. est *σφᾶς αὐτούς*. Post haec scripsit Astius *οὔκουν* pro *οὐκοῦν*.

„διαφορά, ἢ περὶ δικαίου τε καὶ ἀδίκου, τοὺς θανάτους „καὶ τὰς μάχας πεποιηκέναι; ἢ γάρ; — ἀληθῆ λέγεις. — „τούτους οὖν φῶμεν ἐπίστασθαι, περὶ ὧν οὕτω σφόδρα „διαφέρονται, ὥςτε ἀμφισβητοῦντες ἀλλήλοις τὰ ἔσχατα „τῶν κακῶν ἐργάζονται; — οὐ φαίνεταί γε. — οὐκοῦν εἰς „τοὺς τοιούτους διδασκάλους ἀναφέρεις, οὓς ὁμολογεῖς „αὐτὸς μὴ εἰδέναι; — ἔοικα. — πῶς οὖν εἰκός γε εἰδέ-„ναι τὰ δίκαια καὶ τὰ ἄδικα, περὶ ὧν οὔτε πλανᾷ, καὶ „οὔτε μαθὼν φαίνει παρ' οὐδενὸς οὔτ' αὐτὸς ἐξευρών; — „ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός." (p. 112. a. b. c. Bekk. p. 318. sq.)

Ἐπὶ τὸ προκείμενον ἦλθεν ὁ λόγος δεικνὺς, ὅτι οἱ πολλοὶ διδάσκαλοι τὴν διαλεκτικὴν εἰσιν ἀγαθοὶ, καὶ συλλογίζονται τὸν τρόπον τοῦτον. Οἱ πολλοὶ στασιάζουσι πρὸς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους περὶ τῶν δικαίων, καὶ στασιάζοντες πρὸς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους περὶ τῶν δικαίων οὐκ εἰσιν ἐπιστήμονες τῶν δικαίων οὔτε διδάσκαλοί εἰσιν ἀγαθοὶ τῶν δικαίων. Τὰς μὲν οὖν ἄλλας προτάσεις ἤδη διὰ τῶν προκειμένων πεποίηκε σαφεῖς, τὴν δὲ ἐλαχίστην μόνην ἐν τούτοις ἐναργῆ ποιεῖ τὴν λέγουσαν στασιάζειν τοὺς πολλοὺς περὶ τῶν δικαίων. Οὐ γὰρ μόνον φησὶ διαφέρονται αὐτῶν, ἀλλὰ καὶ σφόδρα διαφέρονται. Τί οὖν τεκμήριον τῆς ὑπερβολῆς ταύτης τὸ πολλοὺς μὲν θανάτους, πολλὰς δὲ ἀνατροπὰς πόλεων γενέσθαι διὰ τὰς περὶ τῶν δικαίων διαφοράς; Πάλιν οὖν σκεψώμεθα, τί ποτε ἂν εἴη τὸ αἴτιον τοῦ τοὺς ἀνθρώ-

— *οὔτε πλανᾷ*] D ut Edd. *οὕτω πλανᾷ.* Paulo superius Cod. E *εἰκός σε* pro *ε. γε.* Bene. — *διαλεκτικὴν εἰσιν*] haec duo vocabula cett. omittunt cum lacuna. In Cod. E lacuna non est, sed linea his verbis subducta est et additur in margine *τῶν δικαίων οὐκ*, quod placet. Mox idem Cod. voci *συλλογίζονται* supra scriptum habet *συλλογίζεται*, quod idem Cod. D habet in contextu. Bene. — *τὸν τρόπον τοῦτον*] D *τρόπον τοιοῦτον.* — *καὶ στασιάζοντες*] D *οἱ στασιάζοντες.* B om. *στασιάζοντες ..... τῶν δικαίων οὐκ.* — *ἐπιστήμονες τῶν δικαίων*] cett. addunt: *εἰ μὴ ἐπιστήμονες τῶν δικαίων*, neque vero Cod. E. Sed addenda sunt illa. — *διδάσκαλοί εἰσιν*] D om. *εἰσιν* — *ἀγαθοὶ τῶν δικαίων*] D addit: *οἱ ἄρα πολλοὶ οὐκ εἰσιν ἀγαθοὶ διδάσκαλοι τῶν δικαίων.* — *προκειμένων*] cett. *προειρημένων.* — *φησὶ, διαφέρονται*] A *φ. διαφέρωνται.* — *αὐτῶν*] D *προς ... αὐτ...* suprascr. *τοὺς ἄλλους.* — *πόλεων γενέσθαι*] cett. melius *πόλεων γίνεσθαι.*

πους περὶ μὲν ὑγιεινῶν καὶ νοσερῶν ἀμφισβητοῦντας ἀλλήλοις, ὅμως μὴ εἰς ἔσχατον κακοῦ χωρεῖν, περὶ δὲ δικαίων καὶ ἀδίκων στασιάζοντας τηλικαῦτα καὶ ποιεῖν κακὰ καὶ πάσχειν. Λεκτέον δὴ πρῶτον μὲν τὸ αἴτιον εἶναι καὶ πρὸς ἔσχατον τὴν διπλῆν ἀμαθίας ὑπόληψιν τοῖς ἔχουσιν ἐπιστήμην παρεπομένην. Περὶ μὲν γὰρ τῶν ὑγιεινῶν ἁπλῆν ἔχομεν ἄγνοιαν καὶ ἴσμεν, ὅτι οὐκ ἴσμεν, κἂν πρὸς ὀλίγον διενεχθῶμεν, τοῖς τεχνίταις τῶν τοιούτων ἐπιτρέπομεν, περὶ δὲ τῶν δικαίων εἰώθαμεν ἐπιστήμονες εἶναι διὰ τὸ λόγους ἔχειν αὐτῶν τὴν ψυχήν· καὶ τοῦτο οἰόμενοι κατὰ φύσιν οὐ βουλόμεθα προέσθαι τὸ δίκαιον. Καὶ πάλιν ἐνταῦθα κατὰ μὲν τὴν μείζονα πρότασιν οὐχ ἁμαρτάνομεν, κατὰ δὲ τὴν ἐλάττονα ψευδοδοξοῦμεν. Τόδε γὰρ δίκαιόν φαμεν καὶ ἠπατήμεθα καὶ οἰόμεθα εἶναι μὴ εἰδότες τὸ δίκαιον· καὶ πάλιν ἐνταῦθα, οὐ χρὴ προϊέσθαι κατὰ φύσιν τὸ λῆμμα καὶ ὀρθὸν, τὸ δὲ ἄρα οὐ χρὴ προϊέσθαι. Τοῦτο πάλιν διάστροφον περὶ τὴν ἐλάττονα πρότασιν. Κρατοῦμεν τοίνυν αὐτὴν διὰ τὴν διπλῆν ἀμάθιαν. Δεύτερον δὲ ἐπὶ τούτῳ ῥητέον, ὅτι τὰ ὑγιεινὰ καὶ τὰ νοσώδη μερικὰς ἔχει τὰς ἀμφισβητήσεις, καὶ οὐ πρὸς ὅλον ἡμῖν συντελεῖ τὸν βίον· τὰ δὲ δίκαια καὶ τὰ ἄδικα περὶ τὸν σύμπαντα βίον ἔχει τὴν διαφορὰν, ὥστε εἰκότως ταῦτα μειζόνως ἡμᾶς ἐξάπτει περὶ τὰς ἀμφισβητήσεις· καὶ νοσῶδες καὶ ὑγιεινὸν κἂν πρόϊτοτε, ὡς οὐ περὶ τὸ τιμιώτατον γενομένης τῆς βλάβης. Δικαίου δὲ καὶ ἀδίκου κατὰ φύσιν ἀντεχόμεθα πάντες, ὡς τὴν οὐσίαν ἡμῶν ἐν τούτῳ σύμπασαν ἔχοντες μονονοὺκ ἀνούσιοι καὶ νεκροὶ καὶ τὸ μὴ ὂν ὑπάρχοντες νομίζομεν γίνεσθαι στε-

— *κακοῦ χωρεῖν*] B add. *παρῆν*. — *τὸ αἴτιον εἶναι*] D om. *τὸ*. ibid post *εἶναι* interpunctum est. — *διπλῆν ἀμαθίας*] cett. *διπλῆν ἀμαθίαν*, ita fuit etiam in Cod. E, sed correxit alia manus *ἀμαθίας*. — *παρεπομένην*] B *παρεπόμενον*. — *ἄγνοιαν καὶ ἴσμεν, ὅτι οὐκ ἴσμεν*] om. B. — *διενεχθῶμεν*] D *διενεγχῶμεν*. — *εἰώθαμεν*] cett. bene *οἰόμεθα*, excepto E. — *τόδε γὰρ δίκαιόν φαμεν*] B *τὸ δὲ γ. δ. φ.* D *τὸ ..ε γὰρ δίκαιόν φαμεν*. — *ἠπατήμεθα*] A et E *ἠπατηθήμεθα*. — *καὶ οἰόμεθα*] om. B. — *καὶ πάλιν ἐνταῦθα*] om. cett. — *κατὰ φύσιν*] D *τοῦτο κατὰ φύσιν*, et ante *τοῦτο* est distinctio major. Locus mendo videtur laborare, quod facile tolleretur, si Ficini versio exstaret. Hariolari non lubet. [scr. *ἀμάθειαν* aut *ἀμαθίαν*, ut supra.] — *πρόϊτοτε*] A et E *προϊτό*. B *τις προ ....τότις*. D *πρόοιτό τις*. Bene. V. Buttm. Ausführl. gr. Sprachl. T. I. §. 108. not. 3. p. 543. — *μονονοὺκ*] A et B *μόνον οὐκ*. D *μόνον οὖν οὐκ*. — *νεκροὶ καὶ*] B om. *καὶ*. — *στερούμενοι*] cett. *στερόμενοι*, excepto uno Cod. E.

ρούμενοι τῶν δικαίων. Τὸ δὴ τρίτον, ἡ μὲν δικαιοσύνη, ὡς οὖσα τάξεως ὑψηλοτέρας, θεῶν ἐστιν ἀπήχημα καὶ νοερωτέρα. Αὐτὴ γάρ ἐστι δικαιοσύνη καὶ αὐτὴ σωφροσύνη καὶ αὐτὴ ἐπιστήμη, πρώτως εἰσὶν ἐν τῷ ὑπὲρ οὐρανίῳ τόπῳ, ὅςτις ποτὲ οὗτός ἐστιν, καὶ ἐκεῖ κατεῖδον αὐτὰς ἐν τῷ βάθρῳ βεβῶσαι ψυχαὶ, καθ' ἃ φησιν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης. Ἡ δέ γε ὑγεία δευτέρας ἐστὶ θεῶν ὑποστάσεως ἔκλαμψις. Διὸ καὶ παρ' ἡμῖν ἡ πατρικὴ μιμεῖται τὴν δικαστικὴν, ὡς ἐν Γοργίᾳ λέλεκται. Κατὰ φύσιν τοίνυν αἱ ψυχαὶ τὸ δίκαιον μείζονος ἀξιοῦσι τοῦ πόθου μᾶλλον ἢ τὸ ὑγιεινὸν, καὶ, ἵνα μὲν ἐκείνου τύχωσι, πάντα ποιοῦσι· Τοῦ δὲ ὑγιεινοῦ πέρι καὶ τοῦ μὴ τοιούτου πρὸς ὀλίγον ἀλλήλοις διαφέρονται καὶ στασιάζουσι· Ταῦτα καὶ πρὸς τήνδε τὴν ἀπορίαν. Τῶν δὲ καθ' ἕκαστα ῥημάτων τὸ μὲν τί δὲ δὴ νῦν τὴν προςθήκην ἔχει τοῦ παρόντος χρόνου. Διότι δὴ καὶ ὁ Ἀλκιβιάδης τοὺς νῦν ἀνθρώπους τοὺς πολλοὺς ᾐτιάσατο τῆς τοῦ δικαίου διδασκαλίας. Τὸ δὲ ἀνθρώπων καὶ πραγμάτων ἔννοιαν αὐτῷ παρέχει τοῦ τῶν στοιχείων τόπου· δικαιοσύνη, δίκαιον, δικαίως· Διαιρεῖται γὰρ εἰς τὴν ἕξιν, εἰς τὸ μετέχον πρᾶγμα, ἧς τὸν τρόπον. Ἀμφιςβητοῦσιν οἱ πολλοὶ περὶ μὲν οὖν τῶν δικαίων ἀνθρώπων ἐν ταῖς κρίσεσι καὶ ἐν ταῖς πράξεσι. Τὸ δὲ ἥκιστα, νὴ Δία, ὦ Σώκρατες οὐ μόνον ὡς ἡγεμονικὸς ὁ νεανίσκος ἐφθέγξατο, ἀλλὰ καὶ ὡς ἀπὸ τῆς τῶν πολλῶν διαφορᾶς ἀνάγων ἑαυτὸν

— *αὐτὴ γὰρ .... καὶ αὐτὴ*] cett. ubique *αὐτή*. Mox Codd. D et E ex correctione habent *ὑπερουρανίῳ*, conjunctim. Utrumque bene. De voce *ἀπήχημα* vid. Annot. supra ad cap. 31. — *ὅςτις ποτὲ*] A *ὅς τί ποτε.* etiam D. — *βάθρῳ*] B *βόθρῳ.* Locus est apud Platonem in Phaedro p. 254. b. Bip. X. Bekk. I. 1. p. 55. In Cod. D legitur: *ἐν τῷ βάθρῳ βεβώσας αἱ ψυχαί.* Recte. De locutione vid. Wyttenb. epist. crit. p. 30 sq. p. 250 ed. Lips. et Annot. ad Plotin. de pulcr. p. 372. — *ψυχαὶ*] cett. *αἱ ψυχαὶ*, praeter Cod. E. — *καθ' ἃ*] cett. *καθά.* Tum abest *γε* a Cod. D. Paulo inferius ad vocem *πατρικὴ* Cod. E in margine habet *γρ. ἰατρική.* Et ita legendum. Vid. Platon. Gorg. p. 478. d. Bip. T. IV. Bekk. II. 1. p. 71. — *τοῦ πόθου*] A *τὸν πόθον*, ita fuit etiam in Cod. E a prima manu. — *τί δὲ δὴ νῦν*] D *τί δὲ δεῖ νῦν.* — *διότι δὴ*] D *διότι δὲ.* — *στοιχείων*] A et B *στοίχων.* D *συστοίχων.* — *ἧς τὸν τρόπον*] cett. *εἰς τὸν τρόπον.* Bene. — *ἀμφιςβητοῦσιν*] cett. add. *οὖν*, excepto Cod. E. Sed addendum videtur *οὖν*, post *μὲν* vero delendum, ut est in Cod. D. — *ἐν ταῖς κρίσεσι*] cett. commode add. *περὶ δὲ τῶν δικαίων πραγμάτων ἐν ταῖς κρίσεσι.* — *ἐφθέγξατο*] cett. *ἀνεφθέγξατο.* Sed E *ἂν ἐφθέγξατο.*

ἐπὶ τὸ αἴτιον τῆς ὅλης δικαιοσύνης. Καὶ μὴν δὴ καὶ ἡ μνήμη τῆς Ἰλιάδος καὶ τοῦ Τρωϊκοῦ πολέμου δείκνυσιν, ἡλίκη τίς ἐστιν ἡ περὶ τῶν δικαίων παρὰ τοῖς ἀνθρώποις στάσις, ὥςτε ἀνατραπῆναι μὲν τὸ Ἴλιον διὰ ταύτην, πάμπολυ δὲ ἀπολέσθαι καὶ τῶν Ἑλλήνων γένος, καὶ τέλος γενέσθαι παροιμίαν ἐπὶ τῶν μεγίστων συμφορῶν τὴν Ἰλιάδα τῶν κακῶν. Ἀλλὰ πῶς πρότερον ἔλαβεν, ὅτι ταῦτα μόνα ἔμαθε, γράμματα καὶ τὸ κιθαρίζειν καὶ παλαίειν, νῦν δὲ καὶ τοῦ Ὁμήρου προςέθηκεν, ἢ ὅτι περὶ τεχνῶν καὶ ἐπιστημῶν λέγων εἰς τρία ταῦτα τὴν ἑαυτοῦ γνῶσιν ἀπήγαγεν, οὐ περὶ πραγμάτων παλαιῶν. Ἔτι τοίνυν ὁ ἐν Τανάγρᾳ πόλεμος καὶ ὁ ἐν Κορωνείᾳ παρελήφθησαν εἰς ὑπόμνησιν τοὺς πολλοὺς ἀμφιςβητεῖν σφόδρα περὶ τῶν δικαίων καὶ μὴ μόνον τοὺς Ἕλληνας, ἀλλὰ καὶ τοὺς βαρβάρους· καὶ ὅτι μηδὲν αὐτοῖς ἐλυσιτέλησε τὸ ὁμογλώσσοις εἶναι εἰς τὸ μὴ ἀπεργάσεσθαι τὰ ἔσχατα κακὰ τῆς διαφορᾶς ἕνεκα τῶν δικαίων. Πρὸς τούτοις ἡ τοῦ Κλεινίου μνήμη τοῦ τελευτήσαντος ἐν Κορωνείᾳ παριστᾷ καὶ αὐτὸν τὸν ἔλεγχον τῆς περὶ τὰ δίκαια τῶν ἀνθρώπων πλάνης. Μόνον γὰρ οὐχὶ λέγειν, ὅτι καὶ ἡ σὴ οἰκία καὶ τὸ σὸν γένος διὰ ταῦτα πέπονθε κακὰ πολλά. Ἐντεῦθεν οὖν πεποίηκε τὴν ἀπόδειξιν ἰσχυρὰν τοῦ Κλεινίου μνησθείς. Ταῦτα καὶ περὶ τῆς τῶν καθ'

— *καὶ μὴν δὴ*] cett. *καὶ μὲν δή*. — *ἀπολέσθαι καὶ*] B add. *τό*. — *γένος*] om. A. Quae sequitur *παροιμία Ilias malorum*. Vid. Suid. T. II. p. 114 Kust. Zenob. Proverbb. Cent. IV. 43. Diogenian. I. 10. V. 26. VI. 7. Explicatur hoc proverbium in Adagiis Erasmi et Aliorum p. 377. Adde Corai. ad Heliodor. Aethiop. II. p. 82. — *ὅτι ταῦτα μόνα*] cett. *ὅτι μόνα ταῦτα*, sed E ut noster. — *τοῦ Ὁμήρου*] cett. *τὸ Ὁμήρου*. Bene. — *ἀπήγαγεν*] B *ἐπήγαγεν*. — *πραγμάτων παλαιῶν*] D *γραμμάτων παλαιῶν*. — *παρελήφθησαν*] A et B *παρελείφθησαν*. — *ὑπόμνησιν*] cett. bene add. *τοῦ*, neque vero Cod. E. Mox idem recte *ἀπεργάσασθαι* cum Cod. D. Tum perperam in Cod. E scribitur *Κλινίου*. Paulo post solus Cod. D veram lectionem servavit *Μόνον γὰρ οὐχὶ λέγει*. Quae praecedit praesentis Indicativi forma *παριστᾷ*, ea ita rara est, ut Buttmannus in novissimo etiam opere grammatico (Ausf. Gr. Sprchl. p. 524 sq.) dubitet, an usquam reperiatur. Ursinus in Grammatica Graeca p. 264. eam usurpari ait, neque vero alicujus scriptoris locum laudat, quo eam legerit. Simplex *ἱστᾷ* agnoscit Jonicus scriptor Herodotus IV. 103. Proinde hic locus Procli adjiciendus exemplis, quae collegit Fischer. ad Weller. II. p. 453. Ceterum commode *παρίστησι* explicat *ἀποδείκνυσι* Max. Planudes in Gramm. ad calc. Etymol. Gud. p. 656. Et usurpat continuo Noster: *ἀπόδειξιν*.

ἕκαστα διαρθρώσεως. Ἡ δὲ τῶν ἱστοριῶν παράθεσις ποικίλλει μὲν τὴν γραφὴν, κόσμον δὲ παρέχεται τῷ διαλόγῳ· παραμυθεῖται δὲ καὶ τὸ τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων πρὸς εὐφροσύνην ἐνδέον. Ἔτι δὲ καὶ ἡ τῶν σχημάτων ἐξαλλαγὴ τὸ προσκορὲς ἐκλύει τῶν λόγων, ὃ καὶ ὁ Σωκράτης μηχανώμενος ἐσχημάτισε τὸν λόγον. Κατάλληλον γὰρ ἦν εἰπεῖν, οὐδὲ περὶ ἑνὸς ἄλλου τὴν διαφορὰν ἢ περὶ δικαίων καὶ ἀδίκων τοὺς θανάτους καὶ τὰς μάχας πεποιηκέναι· ὁ δὲ οὐδὲ περὶ ἑνὸς ἄλλου διαφορά φησιν ἢ περὶ δικαίους καὶ ἀδίκους πεποιηκέναι τοὺς θανάτους καὶ τὰς μάχας. Ἐπὶ δὲ τούτοις συνήγαγεν ἐν βραχεῖ τὸν ἔλεγχον· οὔτε ἔμαθες ἄρα τὸ δίκαιον, οὔτε εὗρες· οὐδὲ γὰρ, οὓς προεστήσω σαυτοῦ διδασκάλους, οὗτοι δύνανται τὸ δίκαιον διδάσκειν, οἱ πολλοί· τὸ δὲ αἴτιον, ὅτι μηδὲ ἐπίστανται· τὸ δὲ τούτου τεκμήριον, ὅτι διαφέρονται περὶ αὐτοῦ πρὸς ἀλλήλους σφοδρῶς, ὥςτε τὰ ἔσχατα τῶν κακῶν ἀλλήλους ἐργάζεσθαι διὰ τὴν περὶ τούτου διαφοράν. Δεῖ γὰρ τοὺς ἐπισταμένους ὁτιοῦν συμφωνεῖν περὶ τούτου ἀλλήλοις· αἴτιον δὲ τοῦ ἀξιώματος τούτου πρῶτον μὲν ἡ τῶν πραγμάτων φύσις ὡρισμένη καὶ τὰ κριτήρια τῆς γνώσεως ὄντα τὰ αὐτὰ παρὰ πᾶσιν, ὥςπερ δὴ καὶ πρότερον εἴπομεν. Δεύτερον δὲ, ὅτι καὶ ἐν ταῖς πρώταις ἀρχαῖς ὁ νοῦς ἥνωται πρὸς ἑαυτὸν, καὶ πᾶν οὖν τοῦ νοῦ μετέχον μετέχει τοῦ ἑνός. Ἡ τοίνυν ἐπιστήμη νοῦ ἔλλαμψίς ἐστιν, ἡ δὲ συμφωνία τοῦ ἑνός· (ἕνωσις γάρ ἐστι τῶν διαφώνων·) ἀνάγκη, τὰ μετέχοντα τῆς αὐτῆς ἐπιστήμης συμφωνεῖν ἀλλήλοις· ἡ γὰρ διάστασις καὶ ἡ διαφωνία τοῦ ἑνὸς ἀποπέπτωκεν. Ἀλλὰ τί φῶμεν εἶναι τὸ αἴτιον τῆς τῶν πολλῶν ὑπολήψεως περὶ τῆς τοῦ δικαίου γνώσεως; καὶ πρὸς τί βλέποντες οἴονται διδάσκειν τὸ δίκαιον; Εἴρηταί που καλῶς

— διαρθρώσεως] B διαρθώσεως. — ἢ περὶ δικαίων] D ἢ περὶ τῶν δικαίων. — περὶ ἑνὸς ἄλλου] B περὶ ἑνὸς ἀλλ' οὐ. Tum Cod. E φησὶ pro φησίν. [leg. διαφορὰν, φ., ἢ π. δικαίου κ. ἀδίκου ut etiam D. cf. p. 270.] — ἐπὶ δὲ τούτοις] D ἐπὶ δὲ τοῦτο. In Cod. E fuit ἐπεὶ, correxit alius ἐπί. — οτι μηδὲ ἐπίστανται] A et B ὅτι μὴ ἐπίστανται. Cod. E ὃ μηδὲ ἐπ. sed correxit alius ὅτι. — τὴν περὶ τούτου διαφοράν] A et D τὴν περὶ τοῦτο διαφοράν. B τῆς περὶ τοῦτο διαφορότητος. De forma διαφορότης vid. supra ad cap. 20. Mox Cod. E περὶ τοῦτο ἀλλήλους. Tum ἥ τε τῶν πραγμ. — καὶ τὰ κριτήρια] B καὶ τὰ κριτήρια. — ἔλλαμψις] A et B ἔκλαμψις. Bene.

ὑπὸ τοῦ Ἀριστοτέλης, ὅτι τέτταρα προβλήματά ἐστι, δι' ἃ οἱ λόγοι καὶ αἱ ζητήσεις, τὸ εἴ ἐστι, τὸ τί ἐστι, τὸ ὁποῖόν τί ἐστι, καὶ τὸ διατί ἐστι, καὶ ὅτι τὸν μέλλοντα γνώσεσθε τὸ τί ἐστιν ἀνάγκη προειδέναι τὸ εἴ ἐστιν. Αὐτῶν δὲ ἄρα τῶν τεσσάρων τούτων προεγνῶσθαι δεῖ τὸ τί σημαίνει· καὶ γὰρ ἔχοντε ψιλὴν τοῦ πράγματος ἔννοιαν, οὐδ' ἂν εἴ ἐστι γινώσκομεν. Ἔχοντες οὖν τὴν σημασίαν, καὶ ὅ,τί ἐστι, περιτυχόντες αὐτὸ, γνοίημεν ἀνενδοιάστως ἔχοντες τὴν ἔννοιαν αὐτοῦ. Τοῦτο οὖν τὸ τί σημαίνει τοῦ τί ἐστιν ἕτερον ὑπάρχει. Ἡ μὲν γὰρ σημασία ἐστὶ τοῦ πράγματος ἀνάπτυξις ἐπί τινα νόησιν ὡρισμένην· τὸ δὲ τί ἐστιν ἡ τοῦ πράγματος ἀκριβὴς κατάληψις. Οἱ τοίνυν πολλοὶ, τί μὲν σημαίνει αὕτη καὶ τί ἡ φωνὴ αὕτη, διδάσκουσιν· ὥςπερ τί σημαίνει ἄνθρωπος, τί σημαίνει ἵππος· τί δὲ ἔστι ταῦτα, οὔτε ἐγνώκασιν οὔτε διδάσκουσιν. Οὐδὲ γὰρ ἄνθρωπον καὶ ἵππον οἴδασι τούτων ἑκάτερον· οἴονται δὲ

— Ἀριστοτέλης] cett. recte Ἀριστοτέλους. Paulo superius Cod. E τὸ δίκαιον διδάσκειν. Apud Aristotelem Analytic. poster. L. II. c. 1. init. p. 244 Sylburg. est: ζητοῦμεν δὲ τέτταρα, τὸ ὅ,τι, τὸ διότι, εἰ ἔστι, τί ἐστιν. — γνώσεσθε] cett. γνώσεσθαι. Recte. Cod. D proxime εἰ ἔστιν uti Sylburgius in Aristotele dedit. h. l. quidem male. — καὶ γὰρ ἔχοντε] cett. μὴ γὰρ ἔχοντες. Et ita scribendum. — γινώσκομεν] A γιγνώσκομεν. — αὐτὸ γνοίημεν] cett. rectius αὐτῷ γνοίημεν, excepto Cod. E. Dativus pendet a περιτυχόντες. Vid. supra cap. 63. Proxime in cod. D comma est positum post γνοίημεν. — ὑπάρχει] B ὑπάρχειν. — ἡ τοῦ πράγματος ἀκριβὴς] cett. accuratius τῆς τοῦ προκειμένου πράγματος φύσεως ἀκριβὴς, sed E omittit vocem φύσεως. — Pro σημασία eodem sensu τὸ σημαινόμενον usurpat Porphyrius in Isagog. in Aristot. Organon cap. 2 p. 2 Sylb. ἀνάπτυξις et ἀναπτύσσω usurpat etiam Dionys. Areopag. caelest. hierarch. cap. XV. §. 1 et divinn. nomm. cap. II. §. 7. Priori loco Scholiastes explicat: διασάφησις. Neque aliter Suidas I. p. 178, qui insuper addit: ἑρμηνεία, laudans Euripidem. Tu vid. Hercul. fur. 1256. Adde Longin. de Subl. VII. 1. p. 20 Weisk. Est *explicatio*, *explanatio*. — Mox περίληψιν. Hanc vocem Lexica ling. graecae nullâ cujusquam scriptoris auctoritate firmatum offerunt; ne rhetoricam quidem περίληψιν memorant. De hac, quae scitu necessaria sunt, dedit Ernestus in Lex. techn. De grammatica περιλήψει Etymol. Gud. p. 141. 549. Ad nostri loci sententiam compara verba Theodoreti de περιλήψει νοός Tom. V. p. 131 Schulz. et adhibe Zonarae haec in Lex. gr. p. 533: περίληψις· ἡ περισσοτέρα νόησις. Inde usurpat Dionys. Areop. Cael. hierarch. XV. 2 τὸ περιληπτικὸν pro eo, quod praecipuâ vi pollet mentis agitatione aliquid capiendi ac quodammodo comprehendendi. — τί ἡ φωνὴ] B τίς ἡ φωνή. — ἄνθρωπος] B ἀνθρώπους. — οὔτε διδάσκουσιν] A οὕτω διδάσκουσιν. — ἄνθρωπον] A ἀνθρώπου. — ἵππον] B ἵππου.

ἄρα ὅμως συγχέοντες τό,τε τί σημαίνει καὶ τὸ τί ἐστι τῇ ψιλῇ τοῦ πράγματος ἐννοίᾳ τὴν ἐπιστημονικὴν περίληψιν ἔχειν, ταῦτα εἰς ταὐτὸν ἄγοντες.

[πθ.] „Ὁρᾷς αὖ τοῦθ' ὡς οὐ καλῶς εἶπας, ὦ Ἀλκιβιάδη;
„ — τὸ ποῖον; — ὅτι ἐμὲ φῂς ταῦτα λέγειν. — τί δὲ;
„οὐ σὺ λέγεις, ὡς ἔγωγε οὐκ ἐπίσταμαι περὶ τῶν δικαίων
„καὶ ἀδίκων; — οὐ μέντοι. — ἀλλ' ἐγώ; — ναί. —
„πῶς δή; — ὧδε εἴσῃ.“ (p. 112. e. Bekk. p. 319. sq.)

Τοῦ νεανίσκου πρὸς τὸ τέλει τῶν προειρημένων λόγων δεξαμένου μὲν τὸ συμπέρασμα καὶ τὴν ἄγνοιαν τῶν δικαίων καὶ ἀδίκων, ἣν ὁ Σωκράτης ὑπεδείκνυ, μεθ' ὑποτιμήσεως δὲ προςιεμένου καὶ τὸν Σωκράτην τῶν ἀποδεδεικνυμένων, οὐχ ἑαυτὸν αἰτιασαμένου καὶ τὸ αὐτοῦ ἦθος, καὶ εἰπόντος ἀγνοεῖν τὰ δίκαια καὶ τὰ ἄδικα κατὰ τοὺς λόγους τοῦ Σωκράτους, ἀλλ' οὐ κατὰ ἀλήθειαν· τοῦτο γάρ ἐστιν, ὃ ὑπεδήλου προτιθεὶς τὸ ἐκ μὲν ὧν σὺ λέγεις οὐκ εἰκός, δείκνυσιν αὐτὸν διὰ τούτων ὁ Σωκράτης, ὅτι κατὰ τὴν αὐτοῦ κρίσιν Ἀλκιβιάδου, δι' ὧν ὁμολόγησεν, ἀγνοῶν ἀναφαίνεται τὸ δίκαιον, καὶ ὡς οὐδείς ἐστιν ἄλλος ὁ τὸν ἔλεγχον τοῦτον προςενεγκάμενος, ἀλλ' αὐτὸς Ἀλκιβιάδης· καὶ ὡς οὐ δεῖ τὴν αἰτίαν τῶν ἀποπεφασμένων ἐπὶ τὸν Σωκράτην μεταφέρειν, ἀλλὰ τὰς οἰκείας ἀποκρίσεις κυριωτάτας ἀρχὰς νομίζειν τοῦ συμπεράσματος. Ἀποδείκνυται γὰρ σαφῶς, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ τὰ λήμματα καὶ τὰ συμπεράσματα πάντα λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν. Εἰ

— ἄρα ὅμως] B ἄρ' ὅμως.
ὦ Ἀλκιβιάδη] B τῷ Ἀλκιβιάδῃ. Ante haec in Edd. est εἶπες pro εἶπας. Tu cf. Schaefer. ad Gregor. Corinth. p. 482 et quae plura laudavi in Commentatt. Herodott. I. p. 81. — ἔγωγε οὐκ] In Edd. est ἐγὼ οὐδέν. — εἴσῃ] Astius et Bekk. εἴσει. Ad haec verba pertinet Scholion codici Clarkiano adscriptum p. 81 Gaisford.; ubi etiam haec leguntur: ἀρχὴ τοῦ γ' συλλογισμοῦ. — πρὸς τὸ τέλει] cett. recte πρὸς τῷ τέλει. — τὸ συμπέρασμα] D τὸ σύμπαν. — ὑπεδείκνυ] B ὑποδείκνυσι. — ὑποτιμήσεως δὲ] B om. δὲ. — προςιεμένου] A προσεμένου. B προϊεμένου. Post haec Cod. D ἀποδεδειγμένων, quod unice verum est. — τὸ αὐτοῦ ἦθος] B τὸ αὐτὸ ἦθος. — προτιθεὶς] Cod. E προςτιθείς. — ὅτι κατὰ] B et D ὅτι καὶ κατὰ. — Ἀλκιβιάδου] D Ἀλκιβιάδης. Statim post haec Codd. A B et D ὡμολόγησεν, bene; quamquam et absque augmento hoc verbum apud Platonem et reliquos Atticos legitur. — συμπεράσματος] D σύμπαντος. — συμπεράσματα] D συμπαρ.. (sic).

τοίνυν ἠρώτα μὲν τὰ προῤῥηθέντα μόνον ὁ Σωκράτης, ἀπεκρίνετο δὲ ὁ Ἀλκιβιάδης, οὗτός τε ἦν ὁ τὰ δεικνύμενα λέγων καὶ αὐτὸς ἑαυτὸν ἤλεγχε. Καὶ τότε τῆς οἰκείας ἀμαθίας κατήγορος ἦν, ἀλλ' οὐχ ὁ Σωκράτης. Καὶ δοκεῖ μέν τισιν οὐδὲ προηγουμένην ἐν τῷδε τῷ διαλόγῳ τάξιν ἔχειν ὁ προκείμενος ἡμῖν εἰς ἐξέταξιν συλλογισμός, ἀλλὰ παρεξέλεγγός τις εἶναι περὶ τῶν ζητουμένων οὐδὲν συναγαγών, ἀλλὰ τῆς λέξεως τῆς ῥηθείσης ἀντιλαμβανόμενος, καὶ ταύτην ἡμαρτημένην ἀποφαίνων· εἰ δὲ σκοποῖμεν μὴ παρέργως, θαυμαστὴν καὶ οὗτος ὁ λόγος παρέχεται τῇ πάσῃ συνουσίᾳ χρείαν. Εἰ γάρ ἐστι τὸ σκοπιμώτατον τοῦ διαλόγου τέλος ἐπαναγαγεῖν ἡμᾶς εἰς τὴν ἑαυτῶν γνῶσιν καὶ δεῖξαι τὴν οὐσίαν ἡμῶν ἐν εἴδεσι καὶ λόγοις ὑφεστηκυῖαν καὶ πάσας τὰς ἐπιστήμας ἀφ' ἑαυτῆς προβάλλουσαν καὶ ἐν ἑαυτῇ τά γε θεῖα πάντα καὶ τὰ τῆς φύσεως εἴδη γινώσκουσαν, πῶς οὐ τὰ μέγιστα συντελεῖ πρὸς τὸν τοιοῦτον σκοπόν, τὸ δεῖξαι τῶν ἀποκρινομένων ἕκαστον αὐτὸν τῶν λόγων πάντων καὶ τῶν συμπερασμάτων εἶναι αἴτιον ἑαυτῷ καὶ οὐκ ἀλλαχόθεν τὴν γνῶσιν ἔχειν ἐπείσακτον καὶ ἀλλοτρίαν. Οὐ γάρ, ὥςπερ ἔγραφον, γραμματεῖον ἔξωθέν ἐστι τοὺς λόγους δεχόμενον. Ἤδη οὖν ἑαυτὸν ἄρχεται γινώσκειν ὁ Ἀλκιβιάδης πρότερον ἑαυτὸν προβάλλοντα τοὺς λόγους, νῦν αὖ καὶ τοῦτο γινώσκοντα, ὅτι εἰς ἑαυτὸν ἐπιστρέφει καὶ τὴν

— *προῤῥηθέντα*] A et D *προρηθέντα*. — *ἑαυτὸν ἔλεγχε*] B om. *ἑαυτόν*. — *καὶ τότε τῆς*] A et B *καὶ τὸ τῆς*. D *καὶ τῆς*. E *καὶ τὸ τῆς*, in marg. *ἴσ. τότε*. — *κατήγορος*.] cett. *αὐτὸς κατήγορος*. Quod magis placet. — *παρεξέλεγχός τις*] B *παρ' ἐξέλεγχόν τις*. Paulo superius in Cod. E *ἐξέτασιν* correctum est, cum a prima manu fuisset *ἐξέταξιν*, quod est nihili. Aristotel. Sophist. Elench. II. 5. p. 460 Sylb. *ὁ γὰρ ἔλεγχος, ἄνευ τοῦ ἐξ ἀρχῆς. εἶθ', ὅτι ἐδόθη, οὐχ ὡς τούτῳ χρησομένου, ἀλλ' ὡς πρὸς τοῦτο συλλελογισμένου τὸ ἐναντίον, ἢ ἐπὶ τῶν παρεξελέγχων* ubi alii: *συλλογιουμένον* vid. Sylb. p. 508. cf. Aristotel. ibid. II. 2. p. 449. Est igitur *παρεξελ.* argumentatio prava in refutando adhibita. — Ad sequentia: *Εἰ γὰρ κτλ.* cf. supra cap. 1. — *γινώσκουσαν*] B *γινώσκουσιν*. — *συμπερασμάτων*] D *σύμπαντων* (sic). — *οὐ γὰρ ὥςπερ*] cett. *οὐδὲ γὰρ ὥςπερ*, praeter Cod. E. Tum codex D *ἄγραφον γραμματεῖον*. Recte. Vult enim intelligi pugillares sive diptycha literis carentia, quam vulgo tabulam rasam dicunt. Tu vide quae infra explicatiora ex eadem similitudine repetuntur. — *Ἀλκιβιάδης πρότερον*] D lacunam habet inter haec vocabula, et pro *ἑαυτὸν* habet *ἑαυτοῦ*. Sane non satis cohaerent haec.

ἑαυτοῦ ἐνέργειαν καὶ τὴν ἑαυτοῦ γνῶσιν γινώσκων ἓν γίνεται πρὸς τὸ γνωστόν, καὶ αὐτὸς ὁ τρόπος τῆς ἐπιστροφῆς ἐν ἑαυτῷ περιάγει τὴν ψυχὴν εἰς τὴν τῆς οὐσίας θεωρίαν. Δεῖ οὖν πρῶτον γνῶσιν λαβεῖν τὴν ψυχὴν ἑαυτῆς, ἔπειτα τὰς δυνάμεις, ἃς ἔλαχε σκοπῆσαι, ἔπειτα τὴν οὐσίαν, ἔπειτα πῶς ἀπὸ τῶν ἀποτελεστέρων ὁρμηθεῖσα μέχρι τῶν πρώτων αἰτίων. Νῦν δὴ οὖν δι' ἐνεργείας εἰς ἐνέργειαν ἐπιστρέφει καὶ διὰ ταύτης ἐπὶ τὸ ἐνεργοῦν· Ἅμα γὰρ ἀναφαίνεται καὶ τὸ ὑποκείμενον γεννητικὸν τῶν οἰκείων ὑπάρχων ἐνεργειῶν, αὖθις δι' ἐνεργείας εἰς τὴν δύναμιν καὶ διὰ ταύτης πάλιν εἰς τὴν οὐσίαν. Ἐγγυτέρω γάρ εἰσι τῆς οὐσίας αἱ δυνάμεις, καὶ τέλος αὐτῇ τῇ οὐσίᾳ συνάπτει τὴν ἐνέργειαν καὶ γίνεται πάντα ἓν καὶ σύνδρομα ἀλλήλοις, ἥ τε οὐσία ἐνεργείᾳ καὶ ἡ ἐνέργεια οὐσιώδης. Ἡ μὲν γὰρ νοερὰ γίνεται κατ' ἐνέργειαν, ἡ δὲ συμφυὴς τῇ οὐσίᾳ κατὰ τὴν ἑαυτῆς τελείωσιν. Εἰσὶ μὲν οὖν καὶ ταῦτα τοῖς προκειμένοις οἰκειότατα. Λεγέσθω δὲ αὖ πρὸς τοῖςδε καὶ ὅτι, τῆς ἀγνοίας ἀκουσίου πᾶσιν οὔσης καὶ μάλιστα τῆς ἑαυτῶν καὶ τῶν τιμιωτάτων ἐν τοῖς οὖσιν, ἀνυσιμώτατος τοῖς παλαιοῖς καὶ σοφοῖς ἀνδράσι τρόπος ἔδοξεν εἶναι πρὸς τὴν ταύτης ἀπαλλαγὴν διὰ τῶν ἐλέγχων, παράλληλα τιθεὶς τὰ ψευδῆ δοξάσματα τοῖς ἀληθέσι, καὶ τῶν μὲν τὴν πρὸς αὐτὰ διαφωνίαν ἐκφαίνων, τῶν δὲ τὴν ὁμολογίαν ἐπιδεικνύς. Ὅταν γὰρ ταῖς δόξαις τὰ πάθη μαχόμενα δειχθῇ, καὶ αὖ πάλιν ἀλλήλοις τὰ πάθη, καὶ τὰ δοξάσματα δὲ κατὰ τὸν αὐτὸν τρόπον στασιάζοντα ἐπιφανθῇ, τότε διαφερόντως ἡ τῆς ἀγνοίας ἀναφαίνεται μοχθηρία καὶ αὐτὸς ἀγνοῶν συνορᾷ τὸ ἑαυτοῦ πάθος καὶ ἀπαλλαττόμενος χαίρει τοῦ τοιούτου κακοῦ. Ὅταν δὲ ἄρα μὴ μόνον ἐλέγ-

— *ἐν ἑαυτῷ περιάγει*] cett. *ἐν αὐτῷ περιαγ.* excepto Cod. E. — *ὁρμηθεῖσα*] D add. *προέρχεται*, quod addendum est ad sensum explendum. Voci *ἀποτελεστέρων* in Cod. E puncta subscripta sunt. Merito; est enim nihili. Scrib. ex Cod. D *ἀτελεστέρων*. Paulo inferius cett. omnes *ὑπάρχον* pro *ὑπάρχων*. Illud necessario restituendum. — *ἥ τε οὐσία ἐνεργείᾳ*] A *ἥ τε οὐσία ἐν ἐνεργείᾳ.* B *ἥ τε οὐσία ἐνεργείαν καὶ γίνεται πάντα ἕν.* D *ἥτε οὐσία ἐνεργ…* Placet *ἐν ἐνεργείᾳ.* — *πᾶσιν οὔσης καὶ*] D om. *καί.* — *τιμιωτάτων*] D *τιμιωτέρων.* — *ἀνυσιμώτατος*] B *ἀνυσιμωτάτων.* — *πρὸς αὐτὰ διαφωνίαν*] D *πρὸς ἑαυτὰ διαφωνίαν.* — *ἐπιφανθῇ*] cett. bene. *ἀποφανθῇ*, excepto Cod. E. — *ἀγνοῶν*] D *ὁ ἀγνοῶν.* Mox Cod. E. *ἀναπαλλαττόμενος*, ut reliqui, sed in margine: *ἴσ. ἀπαλλαττ.* — *δὲ ἄρα μή*] B *μὴ ἄρα*, omisso *δὲ.*

χεταί τις ἀγνοῶν καὶ ἀμαθαίνων ἐν τοῖς μεγίστοις, ἀλλὰ καὶ ἐλέγχεται παρ' ἑαυτοῦ, τότε μειζόνως ἀγαπᾷ τὸν ἔλεγχον καὶ ἀσπάζεται καὶ πολλαπλασίαν ποιεῖ τὴν ἀπ' αὐτοῦ προςγενομένην θεραπείαν. Ὡς γὰρ ἐν ταῖς τοῦ σώματος ἰατρείαις τὸ ἴδιον, ὅταν προῇ τοῖς βοηθήμασι, μείζονα παρέχεται τὴν ὠφέλειαν, πανταχόθεν αὐτῷ τῆς φύσεως περιπτυσσομένης, καὶ διὰ τὸ ἡδὺ καὶ διὰ τὸ ἀγαθὸν, οὕτω δὴ καὶ ὁ ἔλεγχος ὁ τοῖς ἐλεγχομένοις τῶν ἄλλων δήπου ἴσων μενόντων ἡδίων φαινόμενος τελεωτέραν παρέχει τὴν θεραπείαν, ὁ ὑφ' ἡμῶν αὐτῶν εἰς ἡμᾶς γινόμενος· ἧττον γὰρ ὑφ' ἑαυτῶν ἐλεγχόμενοι δυςχεραίνομεν ἢ ὑπὸ τῶν ἄλλων. Εἰ τοίνυν ἀποδείξειεν ὁ Σωκράτης, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ἐν ταῖς διαλεκτικαῖς συνουσίαις ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν, ὁ δοκῶν ἐλέγχειν, παντὶ δήπου καταφανὲς γίνεται τὸ παρ' ἑαυτῶν ἐλέγχεσθαι, καὶ οὐκ ἔξωθεν ταῦτα πάσχειν· ὥςτε καὶ ὁ τρόπος τῆς ἰάσεως ταύτης φορητότερος. Ὅσῳ γὰρ οἰκειότερος ἀναφαίνεται, τοσοῦτον ἐλαττοῖ μὲν τὸ ἐν αὐτῷ βαρὺ καὶ ἀλγεινὸν, ἐπιτείνει δὲ τὸ προςηνὲς καὶ ὠφέλιμον· πᾶν γὰρ τὸ οἰκεῖον εἰς τὴν θεραπείαν ἀνυσιμώτερόν ἐστι. Τὸ τρίτον πάλιν λέγομεν, ὅτι τὰ μὲν ἄλογα τῶν ζώων τῶν πληνῇ νεμομένων ἐστὶ, καὶ πάντα, ὅσα τὴν ἴασιν παρὰ τῶν ἐκτὸς ὑπομένει, καὶ ᾧπερ ἂν ἄγῃ τὸ ἄγον, ταύτῃ καὶ τὰ ἀγόμενα ἄγεται, τοῦ ἑαυτῶν ἄρχειν καὶ ἑαυτὰ σώζειν παρῃρημένα. Ἡ δὲ ἀνθρωπίνη ψυχὴ διὰ τὴν αὐτοενέργητον καὶ αὐτοκίνητον ἰδιότητα πέφυκε περὶ ἑαυτὴν ἐνεργεῖν καὶ ἑαυτὴν κινεῖν καὶ ἑαυτῇ παρέχειν τὸ ἀγαθόν. Οὐκοῦν ὁ ἔλεγχος ὁ παρ' ἑαυτῶν οἰκείως ἔχων προς τὴν οὐσίαν τῆς ψυχῆς καὶ ὁ δεικνὺς δήπου λόγος, ὅτι ὁ ἀποκρινό-

— ἐλέγχεταί τις] cett. ἐλέγχηταί τις. Bene. — προῇ] cett. bene προςῇ, excepto E, qui paulo superius pro ἰατρείαις habet ἰατρίαις. Male. — αὐτῷ τῆς φύσεως] cett. recte αὐτὰ τῆς φύσεως, sed E ut noster. — τὸ ἡδὺ] B τοῦτο ἡδὺ. Tum E a prima manu τὸν ἀγ. sed alia correxit τὸ. — δήπου ἴσων] D inverso ordine. — ὑφ' ἡμῶν αὐτῶν] cett. ὑφ' ἡμῶν αὐτὸς, praeter unum Cod. E. Praestat αὐτῶν. — ἐλεγχομένοι] B ἐλεγχόμενος. — ὁ ἀποκρινόμενος] D B om. ὁ. — ἐλαττοῖ μὲν] B ἐλαττοῦμεν. — ἄλογα τῶν ζώων] cett. ἄλογα ζῶα, sed. E ut Leid. — πληνῇ νεμ.] D ita: πληγῆν ενομένων (sic). Leg. πληγῇ νεμομένων. — ᾧπερ] cett. bene ᾗπερ; excepto solo Cod. E. — τὸ ἄγον] B τὸ ἄγαν. — παρῃρημένα] B παρημένα. — αὐτοκίνητον ..... ἐνεργεῖν καὶ] haec omissa in B. — ἑαυτὴν κινεῖν] B ἑαυτὸν κινεῖν. — οἰκείως ἔχων] cett. bene οἰκείως ἔχει, sed bene supra scriptum habet [illegible]

μενος ὁ λέγων σύμφωνός ἐστι τῇ οὐσίᾳ καὶ ταῖς ἐνεργείαις ἡμῶν. Οὐ γὰρ ἔξωθεν ἡμῖν ἡ κάθαρσις προςγίνεσθαι πέφυκεν, ἀλλὰ ἔνδοθεν ἀπ' αὐτῆς ὥρμηται τῆς ψυχῆς. Τὸ μὲν γὰρ κακὸν πᾶν ἔξωθεν καὶ ἐπείςακτόν ἐστι τῇ ψυχῇ, τὸ δὲ ἀγαθὸν ἔνδοθεν. Φύσει γάρ ἐστιν ἀγαθοειδὴς, καὶ ὅσῳ τελειοτέρα γίνεται, τοσούτῳ την αὐτοκίνητον ἀπολαμβάνει ζωὴν, οἱονεὶ ἑτεροκίνητος γενομένη διὰ τὴν σωμάτων ἄρτησιν καὶ διὰ τὴν πρὸς αὐτὰ συμπάθειαν. Διὰ δὴ τοῦτο καὶ πᾶν, ὃ ἂν ἔξωθεν εἰςδέχεται, μένει κείμενον ἐκτὸς αὐτῆς, ὥςπερ τὰ φάσματα καὶ τὰ αἰσθητὰ, μόνα δὲ ἐκεῖνα ἐν αὐτῇ ἐστιν, ὅσα παρ' ἑαυτῆς εἰς ἑαυτὴν δρᾶται, καὶ ὑπ' αὐτῆς προβάλλεται καὶ καθαίρεται παρ' ἑαυτῆς, ἐπείπερ καὶ ὁ λόγος ἀφ' ἑαυτοῦ τε ἄρχεται καὶ εἰς ἑαυτὸν τελευτᾷ, εἰ δὴ ὁ ἀποκρινόμενος ἐλέγχεται, ὁ δὲ ἐλεγχόμενος καθαίρεται, ὁ δὲ καθαιρόμενος ἑαυτὸν καθαίρει κατὰ τὸ ἰδίωμα τῆς ψυχικῆς οὐσίας, ὁ ἀποκρινόμενος ἑαυτὸν δήπου καθαίρει καὶ τῆς ἀγνοίας ἀπαλλάττει, τὸν ἔλεγχον ἐπιφέρων ἑαυτῷ καὶ εἴ ἐστιν ὁ καθαίρων καὶ ὁ καθαιρόμενος, καὶ ὁ ἐλέγχων καὶ ὁ ἐλεγχόμενος· οὐκ ἄρα δεῖ πρὸς τοὺς ἐλέγχους ἀγριαίνειν, οὐδὲ πρὸς τὰς καθάρσεις, εἴπερ αὐτοῖς ταύτας ἐπάγομεν, ἀλλ' οὐ παρ' ἄλλου πάσχομεν. Ἔτι τοίνυν τὸ τὰς μαθήσεις ἀναμνήσεις εἶναι δείκνυσιν ἐναργῶς ὁ λόγος οὗτος ἱκανῶς πιεσθείς. Μέγα γὰρ τοῦτο τεκμήριόν ἐστι τὸ αὐτοὺς παρ' ἑαυτῶν πάντα λέγειν τοὺς ἀποκρινομένους τοῦ τοιούτου δόγματος, ὅτι προβάλλου-

— ὁ λέγων] D ἐστὶν ὁ λέγων. Quod probum videtur. — προςγίνεσθαι] D προγίγνεσθαι. Male. Locus universus cum verbis tum sententiis Platonicus et vero Plotinianus. Cf. annot. ad libr. de pulcrit. p. 241 sqq. — κακὸν πᾶν] A et B om. πᾶν. B habet τὸ post κακὸν. — οἱονεὶ] A et B οἷον ἤ. D οἷον. E οἷον ἤ et in marg. οἱονεί. — ἄρτησιν] cett. recte συνάρτησιν, praeter Cod. E. Vid. Suid. III. p. 400, ubi συναρτήσαντες explicatur συνάψαντες. Hinc συνάρτησις *connexio*, cum una res ab alterâ pendet cf. Steph. Thes. I. p. 512. — διὰ δὴ τοῦτο] B διὰ δὲ τοῦτο. — μένει κείμενον] B μὲν εἰς κείμενον. — ἑαυτῆς εἰς ἑαυτὴν] cett. αὐτῆς εἰς αὐτὴν, sed E αὐτῆς εἰς ἑαυτήν, quod non displicet. Mox pro εἰ δὴ leg. fort. εἰ δὲ. — καθαίρεται] D add. οὖν. E omittit καὶ ante καθαίρεται et distinctionem majorem habet post προβάλλεται, quod, si ex Cod. adoptemus οὖν, vero haud est absimile. — ψυχικῆς οὐσίας] B ψυχῆς οὐσίας et in marg. γρ. ψυχικῆς. Mox Cod. E καὶ εἴ ἐστιν (sic) ab alia manu correctum habet in καὶ εἴς ἐστιν. Non male.

σιν ἀφ' ἑαυτῶν αἱ ψυχαὶ τοὺς λόγους καὶ ὡς τοῦ ἀνεγείροντος ἐδέοντο μόνον, καὶ οὔκ εἰσιν ἄγραφα γραμματεῖα δεχόμενα τοὺς τύπους ἔξωθεν, ἀλλὰ γέγραπται μὲν ἀεὶ, καὶ ὁ γράφων ἐν ἑαυτῷ ἐστι, γινώσκειν δὲ οὐ πᾶσαι τὰ γεγραμμένα δύνανται. Οὐ δὲ αὖ ἐν πάσαις γέγραπται, λημῶντος αὐταῖς τοῦ ὀνόματος ὑπὸ τῆς νεμεσιουργοῦ λήθης, καὶ τῶν ἐκ τῆς λήθης εἰςκωμασάντων ἐπ' αὐτὰς παθῶν. Ἀφαιρέσεως οὖν δεῖ μόνης τοῦ ἐπιπροσθοῦντος, ἀλλ' οὐ τῆς ἔξωθεν, οὐδὲ ἐπεισοδίου γνώσεως· ἔχουσι γὰρ ἐν αὐταῖς τὰς τῆς ἀληθείας θύρας κατακεχωσμένας ὑπὸ τῶν γηΐνων καὶ ἐνύλων εἰδῶν. Εἰ γοῦν τις ἀκριβῶς ἀποφαίνοιτο, κινούμεναι μὲν ὑπ' ἄλλων, προχειριζόμεναι δὲ παρ' ἑαυτῶν τὰς ἐπιστημονικὰς ἀποκρίσεις αὐτόθεν ἀποδεικνύουσι τὸ τοῦ Πλάτωνος ἀληθὲς, τὸ πάντα εἰδυῖα τὴν ψυχὴν εἶναι, καὶ δὴ καὶ ἑαυτὴν, καὶ μόνου δεῖσθαι τοῦ διαγείροντος αὐτὴν ἔξωθεν ὑπὸ τῶν ἐπιστημονικῶν ἀποκρίσεων· Καὶ μὴν καὶ κατ' ἄλλον τρόπον τὸ προκείμενον θεώρημα τῷ Σωκράτει προςῆκόν ἐστι. Τὸ γὰρ ἑαυτὸν δι' ἑαυτοῦ καθαίρειν τὸν δεόμενον τῆς τοιαύτης βοηθείας δαιμονίας ἔργον ἐστὶ δυνάμεως. Οὐ γὰρ ἔξωθεν εἰς ἡμᾶς δρῶσιν οἱ δαίμονες, ἀλλ' οἷον ἐκ πρύμνης ἡμᾶς ἔνδοθεν κατευθύνουσιν, οὐδὲ ὡς τὰ σώματα καθαίρουσι τὰ φύσιν ἑτεροκίνητον λαχόντα, ἀλλ' ὡς αὐτοκινήτους ἐξιῶνται. Καὶ γὰρ τὰς μεταδόσεις τῶν ἀγαθῶν

— ὡς τοῦ ἀνεγείροντος] A ὡς τοῦ ἀγαγείροντας. — ἄγραφα] A ἄ. — τοὺς τύπους] B τοὺς λόγους. — ἐν ἑαυτῷ ἐστι] A E et D ἐν αὐτῷ ἐστι. — οὐ πᾶσαι] B οὐ πᾶσι. — δύνανται] B δύναται. — αὖ ἐν πάσαις] cett. omn. cum lacuna om. ἐν πάσαις, sed E ut noster. — λημῶντος] D λημμῶντος. Ceteri omnes post haec τοῦ ὄμματος pro τοῦ ὀνόματος. Optime. Vid. Annot. ad Plotin. de pulcr. p. 279 sqq. — νεμεσιουργοῦ] B et D γενεσιουργοῦ, ita etiam Cod. E ex correctione; bene. Mox idem habet ex correctione ἐπειςκωμασάντων. Recte. Confirmat lectionem cod. D. De hoc verbo consule Schweighaeuseri Animadvv. in Athenaeum Tom. VI. p. 502 (ad lib. XII. p. 546. c.) — οὖν δεῖ μόνης] D οὖν δὲ μόνης. — Πλάτωνος ἀληθὲς] D add. ὄν. — εἰδυῖα] B εἰδεῖα. E ex corr. εἰδυῖαν, itemque Cod. D. Bene. — τὴν ψυχὴν εἶναι] D om. εἶναι. — διαγείροντος] cett. bene διεγείροντος. Ad argumentum cf. Platonis decreta in Menone p. 81 sqq. p. 32 Buttm. itemque in Phaedone p. 72 p. 27 Wytt. exposita. — ἐκ πρύμνης] A ἐκ πρύνης. B ἐκ πρηνεῖς. — ἐξιῶνται] B ἐξίοντα. Male. Vid. supra cap. 78. Adde Pollucis Onomast. IV. 39. p. 367 Hemsterh. ubi in denominationibus philosophi etiam haec ponitur: τὰς ψυχὰς ἐξιώμενος.

καὶ τὰς καθάρσεις τῶν παθῶν οὕτως ἡμῖν ἐπιφέρουσιν. Δείκνυσιν οὖν καὶ ὁ Σωκράτης ἑστὼς ἐν ἀγαθοῦ δαίμονος τάξει τὸν ἔλεγχον δι' αὐτοῦ τῷ νεανίσκῳ προσάγοντα. Τὸ γὰρ ἐν τῷ ἀποκρινομένῳ θέσθαι τὴν τῶν ἐλέγχων αἰτίαν ἕνα μὲν ἀποφαίνει τὸν καθαίροντα καὶ καθαιρόμενον. Δαιμόνιον δὲ οὕτως τὸν τῆς τοιαύτης καθάρσεως αἴτιον. Τὸ μὲν οὖν θεώρημα διὰ τοσαύτας καὶ ἄλλας πλείους αἰτίας οἰόμεθα τῷ Σωκράτει συντελεῖν, καὶ οὐκ εἶναι πάρεργον, ὥςπερ οἴονταί τινες· ἤδη δὲ καὶ τὰ καθ' ἕκαστα εἰπόντες, ὅπως ἀληθείας ἔχει, θεωρήσωμεν.

[9.] „Ἐάν σε ἔρωμαι τὸ ἓν καὶ τὰ δύο, πότερα πλείω „ἐστὶ, φήσεις, ὅτι τὰ δύο; — ἔγωγε — πλείω ἑνί· — „πότερος οὖν ἡμῶν ὁ λέγων, ὅτι τὰ δύο τοῦ ἑνὸς ἑνὶ „πλείω; — ἐγώ. — οὐκοῦν ἐγὼ μὲν ἠρώτων, σὺ δὲ ἀπε„κρίνω; — ναί. — περὶ δὴ τούτων μόνον ἐγὼ φαίνομαι „λέγων, ὁ ἐρωτῶν, ἢ σὺ ἀποκρινόμενος; — ὁ ἀποκρινό„μενος ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. — οὐκοῦν ἄρτι διὰ „παντὸς ἐγὼ μὲν ὁ ἐρωτῶν; — ναί. — σὺ δὲ ὁ ἀποκρι„νόμενος; — πάνυ γε. — τί οὖν; τὰ λεχθέντα πότερος „ἡμῶν εἴρηκεν; — φαίνομαι μὲν, ὦ Σώκρατες, ἐκ „τῶν ὁμολογουμένων, ὅτι ἐγώ." (p. 113. a. Bekk. p. 320, sq.)

— καὶ τὰς καθάρσεις τῶν παθῶν] om. B. Proxime h. l. οὕτως est etiam in cod. D sed ibid. deinceps: Δαιμόνιον δὲ ὄντως. ubi leg. fort. οὕτω τὸ. — ἤδη δὲ καὶ τὰ] B om. δὲ. — ἀληθείας ἔχει] B ἀληθ. ἔχῃ. In Cod. D scriptum videtur ἔχοι.

ἔγωγε] A et B ἔγωγε κτλ. omiss. sqq. usque ad ὅτι ἐγώ. — πλείω ἑνὶ] D ut Edd. πόσῳ; — ἑνί. E πείσω, suprascripto πλείω. — οὐκοῦν] Astius οὔκουν, et ita etiam infra. Tum Edd. ἀπεκρίνου. — μόνον] Edd. μῶν. — σὺ ἀποκρινόμενος] D et E cum Edd. σὺ ὁ ἀποκρινόμενος. Deinceps D inserit: ἐγώ· ἴθι δὴ ἑνὶ λόγῳ εἰπέ· ὅταν ἐρώτησίς τε καὶ ἀπόκρισις γίνηται, πότερος ὁ λέγων, ὁ ἐρωτῶν ἢ ὁ ἀποκρινόμενος; E post ἐγώ pergit: τί δ', ἂν ἐγὼ μὲν ἐρωτῷ καὶ (Bekk. ἐρῶμαι) ποῖα γράμματα Σωκράτους; σὺ δὲ εἴποις, πότερος ὁ λέγων, ὁ ἐρωτῶν ἢ ὁ ἀποκρινόμενος; uterque liber (D et E) exhibet vera dialogi nostri verba (nisi quod in Edd. est εἴπῃς pro εἴποις); sed uterque aliquid omittit; eoque ut Cod. Leid. ordinem turbat. Vid. Edd. — φαίνομαι μὲν ὦ Σώκρατες] D ........ ἀπόκρισις. — ὅτι ἐγώ] D et E om. ὅτι, et ita Edd. quae et paulo ante; ὡμολογημένων.

Τῶν ἐρωτήσεων αἱ μέν εἰσι πλείονος λόγου δεόμεναι πρὸς τὴν ἀπόκρισιν τῆς συμβουλικῆς κατανεύσεως, αἱ δὲ ἀρκοῦνται τῷ ναὶ καὶ τῷ οὔ μόνον. Ἂν μὲν οὖν ἐρωτῶμεν, ποῦ ποτε Δίων οἰκεῖ, δεόμεθα τοῦ λέγοντος, ὅτι ἐν Λυκείῳ, καὶ τὸ ναὶ καὶ τὸ οὔ πρὸς τὴν τοιαύτην ἐρώτησιν ἄχρηστον. Ἐὰν δὲ ἐρώμεθα, πότερον ἡ ψυχὴ ἀθάνατος ἢ οὔ; οἰκεῖον καὶ τὸ ἐπινεῦσαι μόνον ἢ ἀνανεῦσαι πρὸς τὴν τοιαύτην ἐρώτησιν εἰς τὸ δηλωθῆναι τὴν τῆς ἀποκρίσεως διάνοιαν· Εἰ μὲν οὖν τὰς ἐρωτήσεις λαμβάνει τὰς πευστικὰς, ἐξ ἀναιρέσεως φαίνεται, ὡς ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων· ὁ γὰρ εἰπὼν, ὅτι ἐν Λυκείῳ Δίων οἰκεῖ, πάντως ὁ ἀποκρινόμενος, ἀλλ' οὐχ ὁ ἐρωτήσας ἐστίν. Ὁ μὲν ἤρετο ἀγνοῶν, ὁ δὲ ἀπεκρίνατο γινώσκων. Ὁ δὲ λόγος τοῦ γινώσκοντός ἐστι καὶ ἀποφαινομένου, ἀλλ' οὐχὶ τοῦ ἀγνοοῦντος. Διὸ καὶ ὁ Σωκράτης ἐπὶ τούτων πείθει τὸν νεανίσκον μάλιστα, ὅτι αὐτὸς ἦν ὁ λέγων. Τὸ γὰρ πόσῳ πλείω τὰ δύο τοῦ ἑνός; καὶ ποῖα γράμματα Σωκράτους; ἀποκρίσεων δεῖται τοιούτων οὐ συμβολικῶν, ἀλλὰ διὰ κυρουμένων. Ὁ δὲ τὰς ἐρωτήσεις ἐκείνας ἡμῖν προτείνει τὰς διαλεκτικὰς, πρὸς ἃς ἔστιν εἰπόντας τὸ ναὶ καὶ το οὔ, καὶ ἐπινεύσαντας δὲ καὶ ἀνανεύσαντας μόνον ἀπηλλάχθαι, χαλεπώτερον ἐπὶ τῶν τοιούτων καταμαθεῖν, ὡς ἔστιν ὁ ἀποκρινόμενος ὁ λέγων, ἀλλ' οὐχ ὁ ἐρωτῶν. Πάλιν ἐπειδὴ τῶν διαλεκτικῶν ἐρωτήσεων αἱ μέν εἰσι μαιευτικαὶ, αἱ δὲ ἀγωνιστικαὶ, αἱ δὲ ἀπορητικαί· (μαιεύεται μὲν γὰρ ὁ τελειότερος

— *κατανεύσεως αἱ*] inter haec vocabula D lacunae signum habet. In Codd. E A B et D est *συμβολικῆς καταν.* Bene. Ad rem cf. Zeno ap. Diog. Laert. VII, 66. Suidas in *ἀξίωμα* et Eustath. ad Odyss. III. p. 112. Basil. et ad Iliad. V. p. 460. Adde Ammonium p. 57 sqq. Valcken. Ex his veterum scriptorum explanationibus nullo negotio expleri potest lacuna, quae Procli textum foedat. Legendum enim: *Τῶν ἐρωτήσεων αἱ μέν εἰσι πευστικαὶ*, quae vocula deinceps apud Nostrum legitur. — *οἰκεῖον καὶ τὸ*] B *οἰκεῖον καὶ ὅτι τὸ.* D *οἰκεῖον καὶ τὸ.* — *ἐξ ἀναιρέσεως*] A et B *ἐξ ἀνάγκης.* D *ἐξ ἀνᾶ* (sic). Scribendum videtur aut *ἀνακρίσεως* aut *ἀποκρίσεως.* — *ὁ μὲν ἤρετο*] cett. bene *ὁ μὲν γὰρ ἤρετο*, excepto E. — *πείθει τὸν νεανίσκον μάλιστα*] cett. *μάλιστα πείθει τ. ν.* sed E ut noster. — *ὅτι αὐτὸς*] B *ὅτι ἐκτὸς.* — *καὶ ποῖα*] D *καὶ ὁποῖα.* — *οὐ συμβολικῶν*] B om. *οὐ.* — *ἀλλὰ διὰ*] D addit *λόγου.* bene. — *ὁ δὲ τὰς*] cett. *εἰ δὲ τὰς*, praeter Cod. E. — *ἡμῖν προτείνει*] cett. *προτείνει τις ἡμῖν.* sed E ut Leid. — *ἐπινεύσαντας*] B *ἐπινεύσοντος.* pro *δὲ* fort. *τε.*

**ἐρωτῶν τὸν ἀτελέστερον, ἀπορεῖ δὲ ὁ γνώσεως δεόμενος, τὸν ἐπιστημονικώτερον, ἀγωνίζεται δὲ ὁ πρὸς τὸν ὅμοιον αὐτῷ** κατὰ τὴν ἕξιν διὰ ἐρωτήσεων καὶ ἀποκρίσεων συγγινόμενος·) ἀνάγκη τοίνυν τῶν διαλεκτικῶν ἐρωτήσεων τριττῶν οὐσῶν καθ' ἕκαστον εἶδος αὐτῶν τὸν ἀποκρινόμενον εἶναι τὸν λέγοντα. Εἰ μὲν γὰρ πρὸς ἐπιστημονικώτερον ἡ ἐρώτησις γένοιτο, πάντως ὁ λέγων ἐστὶν ὁ τῆς ἐπιστήμης τῷ ἀτελεστέρῳ μεταδιδούς· ἐκείνου γάρ ἐστι καὶ ἀποφαινόμενος ὑπὲρ ἐκείνου τῶν προτεινομένων. Εἰ δὲ ὁ μαιευτικὸς ἐρωτῴη, πάλιν ὁ τὸν μαιείαν ὑπέχων δήπου προάγει τοὺς λόγους· ἡ γὰρ μαιεία, κατὰ τὰ ἐν Θεαιτήτῳ γεγραμμένα ὑπὲρ αὐτῆς, οὐχ αὕτη γεννᾷ τοὺς λόγους, ἀλλὰ τοὺς ἄλλους τόκους εἰς τὸ ἐμφανέστερον προάγει καὶ τὰ γεννώμενα ὅπως ἔχει φύσεως διακρίνει. Εἰ τοίνυν γεννᾷ μὲν ὁ ἀτελέστερος, ὁ δὲ γεννῶν ἐστιν ὁ προςφερόμενος τοὺς λόγους, οὗτος ἂν εἴη δήπου καὶ ὁ λέγων, ὥςτε κἀνταῦθα τῷ ἀποκρινομένῳ τὸ λέγειν ἀποδώσομεν. Τὸ δὲ τρίτον ἐν ταῖς ἐρωτήσεσι δεῖ γενέσθαι τὸν συλλογισμὸν, ἐξ ὧν ὁ ἀποκρινόμενος δίδωσι. Λόγος γὰρ ἦν ὁ συλλογισμὸς, ἐν ᾧ, τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει. Παντὶ οὖν δὴ καταφανὲς, ὅτι προτείνει μὲν ὁ ἐρωτῶν θάτερον μόριον τῆς ἀντιφάσεως, δίδωσι δὲ ἀποκρινόμενος, καὶ οὐ πάντως,

— ἐπιστημονικώτερον] D bene add. ἀνερωτῶν. Idem Cod. mox πρὸς τὸ ὅμοιον. — διὰ ἐρωτήσεων] A et D διά τε ἐρωτήσεων. B ὁ διά τε ἐρωτ. — εἰ μὲν γὰρ πρὸς] B ἡ μὲν γ. πρ. — ἡ ἐρώτησις] B om. ἡ. — ἐκείνου γὰρ] A et B ἐκεῖνο γάρ. D ἐκεῖνος γάρ. — ἄλλους τόκους] A et D ἄλλων τόκους. B ἀλλοτόκους. Significat locum Platonis in Theaet. p. 157. c. Bip. T. II. Bekk. II, 1. p. 207. Scrib. vid. οὐκ αὐτὴ pro οὐχ αὕτη. — τὰ γεννώμενα] B τὸ γεννώμενον. — ἀποδώσομεν] A et B ἀποδόσωμεν. — ἐν ταῖς ἐρωτήσεσι] cett. melius ἐν ταῖς ἀγωνιστικαῖς ἐρωτήσεσι. — δίδωσι δὲ ἀποκρινόμενος] A et D bene δίδωσι δὲ ὁ ἀποκρινόμενος. B δίδωσι δὲ ὁ κρινόμενος. — ὁ ἐρωτῶν] B om. ὁ. Ad sententiam: ἀντιφάσεως — καταφατικῶς — ἀποφατικῶς κτλ. adhibe Aristotelem; qui ita in Analyt. poster. I. 2. p. 200 Sylb.: Ἀρχὴ δ' ἐστὶν ἀποδείξεως πρότασις ἄμεσος. ἄμεσος δὲ, ἧς μή ἐστιν ἄλλη προτέρα· πρότασις δ' ἐστὶν, ἀποφάνσεως τὸ ἕτερον μόριον, ἓν καθ' ἑνός· διαλεκτικὴ μὲν ἡ ὁμοίως λαμβάνουσα ὁποτερονοῦν· ἀποδεικτικὴ δὲ, ἡ ὡρισμένως θάτερον, ὅτι ἀληθές. ἀπόφανσις δὲ, ἀντιφάσεως ὁποτερονοῦν μόριον. ἀντίφασις δὲ, ἀντίθεσις, ἧς οὐκ ἔστι μεταξὺ καθ' αὑτῆς, μόριον δ' ἀντιφάσεως, τὸ μέν τι κατά τινος, ἐστὶ κατάφασις· τὸ δέ τι ἀπό τινος, ἀπόφασις. ἀμέσου δ' ἀρχῆς συλλογιστικῆς, θέσιν μὲν λέγω, ἣν μή ἐστι δεῖξαι, μηδ' ἀνάγκη ἔχειν τὸν μαθησόμενόν τι. Confer ejusdem librum περὶ ἑρμηνείας cap. 7. p. 61.

ὅπερ ὁ ἐρωτῶν προύτεινεν, ἐκεῖνο δίδωσιν. Εἰ γὰρ καταφατικῶς σχηματίζει τὴν ἐρώτησιν, ἡ δὲ τίθεται ἀποφατικῶς, πάντως ὁ λόγος οὐκ ἐκ τῆς ἐρωτήσεώς ἐστιν, ἀλλ' ἐκ τῆς τούτων θέσεως, καὶ συμπεραίνεται ὁ λόγος διὰ τὰς ἀποκρίσεις, αὗται ὡμολόγηντο· ἀμφίβολοι γὰρ ἦσαν· ἀλλὰ διὰ τῆς ἀποκρίσεως αὗται ὡμολόγηντο. Πρόδηλον οὖν, ὅτι κἀνταῦθα ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων· ὁ γὰρ τιθέμενος καὶ ὁμολογῶν τά τε λήμματα καὶ τὰ ἐρωτώμενα πάντα ὁ ἀποκρινόμενός ἐστι. Καθ' ἕκαστον ἄρα τῶν ἐρωτήσεων εἶδος ὁ ἀποκρινόμενος ἀναπέφηνεν ὁ λέγων. Ἀλλὰ διάφορος τρόπος τοῦ λέγειν· οὗ μὲν γὰρ γεννητικῶς, οὗ δὲ θετικῶς προάγει τοὺς λόγους, πανταχοῦ δ' οὗτός ἐστιν ὁ λέγων, οὐχ ὁ ἐρωτῶν· καὶ γὰρ ὅλως, εἰ ὁ μὲν λέγων ἐστὶν ὁ ἀποφαινόμενος, οὐκ ἐνο αὐτὸ τῷ ἐρωτῶντι τὸν ἀποφαινόμενον· οὐδὲ γὰρ οἱ λόγοι αὐτοί εἰσιν ὅ τε τῆς ἐρωτήσεως καὶ τῆς ἀποφάσεως· λείπεται τὸν ἀποκρινόμενον εἶναι τὸν λέγοντα· λέγει γὰρ ὁ τιθέμενος, ὁ δὲ ἀποφανόμενος τίθεται, καὶ ὁ ἀποκρινόμενος ἀποφαίνεται. Τί οὖν ἐστι τὸ αἴτιον τοῦ φαντασίαν τισὶ παρέχειν, ὅτι ὁ ἐρωτῶν ἐστιν ὁ λέγων; ἐκεῖνο ἔγωγε εἴποιμ' ἄν, ὅτι τὰς ἀποκρίσεις πολλάκις ὁ ἐρωτῶν συνθεὶς ἕνα τὸν ὅλον λογισμὸν ἀποτελεῖ ἐκ τούτων. Ἀλλ' ὅτε μὲν ἠρώτα, τότε τοῦ ἀποκρινομένου διέφερεν, ὅτε δὲ συντίθησι, συμφθέγγεται τῷ ἀποκρινομένῳ, καὶ οὕτω δὴ δοκεῖ

— *ἡ δὲ τίθεται*] cett. *ὁ δὲ τίθ.*, excepto E. — *συμπεραίνεται*] A *συπερένεται*. D *συμπ...αι* (sic). — *αὗται ὡμολόγηντο*] pro his cett. habent: *οὐ διὰ τὰς ἐρωτήσεις*. Recte, aberravit enim librarii nostri oculus in lineam proxime subsequentem. — *ὡμολόγηντο. πρόδηλον*] B *ὡμολόγοιντο. προδ.* D *ὡμολόγοντο.* — *καὶ τὰ ἐρωτώμενα*] B addit: *τίς ἐστιν ὁ λέγων; ὁ γὰρ τιθέμενος καὶ ὁμολογῶν τάτε πάντα ὁ ἀποκρινόμενος.* Mox Cod. D *ἐναπέφηνεν* pro *ἀναπέφ.* Malim *ἀπεφαίνετο* vel *ἀπεφήνατο ὢν ὁ λέγων*. De harum formarum vel confusione vel corruptione vid. Lex. Xenophont. I. p. 222. et p. 375 et inprimis Bastii epist. crit. p. 89. p. 126 ed. lat. Lips. — *γὰρ γεννητικῶς*] inter haec vocabula cett. lacunae signum habent, praeter Cod. E. — *δ' οὗτος*] cett. *δ' οὖν οὗτος*, neque vero Cod. E. — *αὐτὸ τῷ ἐρωτῶντι*] cett. *αὐτὸν τῷ ἐρ.* sed E ut Leid. Si hariolari liceat, lacunam ita expleamus: *οὐκ ἐνοικίσομεν αὐτὸν τῷ ἐρωτῶντι τὸν ἀποφαινόμενον*, non collocabimus eum, qui demonstrat in eo, qui interrogat demonstrantem. — *οἱ λόγοι αὐτοὶ*] cett. melius *οἱ λόγοι οἱ αὐτοὶ* excepto Cod. E. — *καὶ τῆς ἀποφάσεως*] A E et D bene *καὶ ὁ τῆς ἀποφ.* — *ἀλλ' ὅτε μὲν ἠρώτα*] D *ἀλλ' ὅτε μὲν ἐρώτα* (sic). — *τῷ ἀποκρινομένῳ*] B *τῷ ἀποκριναμένῳ.* — *δοκεῖ λέγειν*] cett. bene

λέγειν, ἀλλ' εἰ αὐτὸς τῷ ἀποκρινομένῳ γινόμενος. Καὶ γὰρ ὡς ἀρέσκοντά πως ἐκείνῳ τὰ λήμματα τίθησι καὶ συνάγει τὸ συμπέρασμα κατὰ τὴν ἐκείνου δόξαν, ὅθεν καὶ ὑποφέρομεν πρὸς τὸν ἀποκρινόμενον· τὸ δὲ ἆρα ὁμολογήσας, ὡς ἂν ἐκείνῳ τό,τε εἰρηκέναι καὶ τὸ λέγειν ἀπονέμοντες, ἀλλ' οὐχ ἑαυτοῖς. Ἔργον γάρ ἐστιν ἐν ταῖς τοιαύταις διαλέξεσι τοῦ ἐρωτῶντος τὸ ποιῆσαι τὰ ἐρωτώμενα τὸν ἀποκρινόμενον εἰπεῖν, οὐ τὸ αὐτὸ εἰπεῖν. Ὥςπερ οὖν τὸ αἴτιον τοῦ τὸ σῶμα ζῆν οὐ ταύτην κινεῖται τὴν κίνησιν, ἣν τὸ σῶμα, οὕτως ὁ παρασκευάζων τὸν ἀποκρινόμενον λέγειν αὐτὸς οὐ λέγει μὲν, ἅπερ ὁ ἀποκρινόμενος, ὡς δὲ ἐρωτῶν λέγει. Γίνεται δὲ συλλογισμὸς οὐκ ἐκ τῶν ἐρωτήσεων, ἀλλ' ἐκ τῶν ἀποκρίσεων. Εἰκότως ἄρα καὶ ὁ Σωκράτης φησὶν, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων. Οὐ γὰρ τὸ κοινὸν τοῦ λέγειν σημαινόμενον ἐνταῦθα παραλαμβάνει, καὶ ὃ προςήκει πᾶσι τοῖς προφορικῶς λόγῳ χρωμένοις· οἷον τοῖς καλοῦσι, τοῖς εὐχομένοις, τοῖς πυνθανομένοις, ἀλλ' ὃ μόνον ἴδιόν ἐστι τῶν ἀποφαινομένων. Δύναται γὰρ νῦν ὁ λόγος τῷ ἀποφατικῷ λόγῳ· διὸ καὶ πάντων ἐστὶν ἀληθινότατον τὸ λέγειν τὸν ἀποκρινόμενον. Ἀποφαίνεται γὰρ ὁ ἀποκρινόμενος καὶ οὐχ ὁ ἐρωτῶν.

add. *οὐκ ἐρωτῶν*, sed E ut noster. Leid. In seqq. in ceteris omnibus recte legitur *ἀλλ' ὁ αὐτός*. — *γινόμενος*] A *διδόμενος*. – *ὑποφέρομεν*] cett. *ἐπιφέρομεν*, sed Cod. E *ἀποφέρομεν*. — *ὁμολογήσας*] cett. *ὡμολόγησας*, excepto solo E. Legendum autem videtur: *τόδε ἄρα ὡμολόγησας*. Loci enim sententia haec est: „Quapropter etiam „objicimus illi qui respondet: *At qui hoc quidem concessisti.*" Sunt haec nimirum ipsa verba objicientium. — *τοῦ ἐρωτῶντος τὸ*] cett. bene *τοῦ ἐρωτῶντος ὀρθῶς τὸ*, excepto Cod. E. — *οὐ τὸ αὐτὸ*] D *οὐ τὸ αὐτὸν*. Recte. — *τοῦ τὸ σῶμα*] B *τοῦτο σῶμα*. -- *τὴν κίνησιν*] B *τὸν κινούμενον*. — *ἣν τὸ σῶμα ..... τὸν ἀποκρινόμενον*] haec om. B. — *ἅπερ*] B *ὅπερ*. — *ἐρωτῶν λέγει*] B *ἐρ. λέγειν*. — *τοῖς προφορικῶς*] B *τοῖς προφορικῷ*. D *τοῖς τῷ προφορικῷ*. Bene. Quid veteres dixerint *λόγον προφορικὸν*, de eo vide disputantem Willetum ad Galeni Adhort. ad Artes p. 60. cf. Ast. ad Theologum Arithmet. p. 189. Hoc loco est, qui in enuntiatione sive pronuntiatione consistit, qui profertur loquelâ. Hinc *τῷ προφ. λόγῳ* adjungitur *φωνὴ ἔναρθρος*. Vid. scriptores quos laudavi in Meletemm. I. p. 44 not. 7. — *ἀλλ' ὁ μόνον*] B *ἀλλ' ὁ μέν*. — *δύναται*] cett. *ἴσον* (sic) *γὰρ δύναται*, sed E, uti assolet, cum nostro facit, quamquam duo illa vocabula necessario praemittuntur. — *διὸ καὶ πάντων*] D *δ. κ. ἀπάντων*. [scr. *ἀληθινώτ.*]

[ϛ α.] „Περὶ δικαίων καὶ ἀδίκων ὁ Ἀλκιβιάδης ὁ καλὸς ὁ „Κλεινίου οὐκ ἐπίστατο, οἴοιτο δὲ, καὶ μέλλει εἰς ἐκκλησίαν „συμβουλεύειν Ἀθηναίοις, περὶ ὧν οἶδεν οὐδέν· οὐ ταῦτ' „ἦν; — φαίνεται. — τὸ τοῦ Εὐριπίδου συμβαίνει, „ὦ Ἀλκιβιάδη· σοῦ τάδε κινδυνεύεις, οὐκ ἐμοῦ ἀκηκοέναι, „οὐδὲ ἐγώ εἰμι ὁ ταῦτα λέγων, ἐμὲ δ' αἰτιᾷ μάτην. — „καὶ μέντοι καὶ εὖ λέγεις. — μανικὸν γὰρ ἐν νῷ ἔχεις ἐπι- „χείρημα ἐπιχειρεῖν, ὦ βέλτιστε, διδάσκειν, ὃ οὐκ οἶσθα, „ἀμελήσας τοῦ μανθάνειν.“ (p. 113. b. Bekk. p. 321.)

Ὀρθῶς οἱ ἀπὸ τῆς Στοᾶς λέγειν εἰώθασιν, ὡς μὲν ἀπαίδευτος ἄλλους αἰτιᾶται καὶ οὐχ ἑαυτὸν τῆς ἑαυτοῦ κακοδαιμονίας, ὁ δὲ προκόπτων εἰς ἑαυτὸν ἀναφέρει τὴν αἰτίαν ὧν ποιεῖ πάντων ἢ λέγει καλῶς, ὁ δὲ πεπαιδευμένος οὔτε ἑαυτὸν οὔτε ἄλλους αἰτιᾶται τῶν οἰκείων παροραμάτων. Οὐδὲ γὰρ αὐτὸς παρορᾷ τῶν δεόντων οὐδὲν, ἀλλ' ἔστιν αὐτὸς τῆς τοῦ καθήκοντος εὑρέσεως ἀρχηγός. Ταῦτα γὰρ δὴ νῦν ἐπὶ τοῦ Ἀλκιβιάδου σαφῶς ἐνδείκνυται ἡμῖν· διπλῇ γὰρ ἀμαθαίνων οὐχ ἑαυτὸν, ἀλλὰ Σωκράτην ἐλέγχων ᾐτιᾶτο. Τὸ γὰρ ἐκ μὲν ὧν σὺ λέγεις οὐκ οἶδα, τοιοῦτον ἦν καὶ εἴρηται πρότερον· εἰς δὲ τὴν ἁπλῆν ἄγνοιαν μεθιστάμενος ἑαυτὸν αἰτιᾶται τῆς δια-

Initium loci in Edd. est: οὐκοῦν (Ast. οὔκουν) ἐλέχθη ὅτι περὶ κτλ. Ante Ἀλκ. deest ὁ. Tum pro ἐπίστατο ib. est ἐπίσταιτο (ut infra Procl.) et μέλλοι pro μέλλει, deinde συμβουλεύσειν (Ast. ξυμβ.) pro συμβουλεύειν, post Εὐριπίδου additur ἄρα (loc. est in Eurip. Hipp. 352). Denique in Edd. est καὶ μέντοι εὖ λέγεις et ἃ οὐκ οἶσθα. Bekk. vero καὶ post μέντοι addidit ut Proclus. — εἰς ἐκκλησίαν] D add. ἐλθὼν, ut Edd. [et infra p. 290.] — οἶδεν οὐδὲν] A et D οὐδὲν οἶδεν. B οὐδὲν οἶμαι — Deinceps A et B κτλ. habent omissis sqq. usque ad τοῦ μανθάνειν. — εἰμι ὁ ταῦτα λέγων] D add. ἀλλὰ σὺ, ut Edd. — ὡς μὲν ἀπαίδευτος] cett. ὡς ὁ μὲν ἀπαιδ. Bene. — τῆς ἑαυτοῦ] cett. τῆς αὐτοῦ, excepto Cod. E. — εἰς ἑαυτὸν] cett. εἰς αὐτὸν, hoc Cod. E, a prima manu scriptum, correctum exhibet in ἑαυτόν. — ἢ λέγει καλῶς] cett. ἢ λέγει κακῶς, sed E illud tuetur. Ὁ προκόπτων appellatio Stoicorum propria. Ita enim dicebant hominem *proficientem* vicinumque perfecto, uti Seneca scribit: Epist. 35 fin. Hinc προκοπή *progressio*, *profectus*. Vid. Ciceron. de Finib. V. 21 p. 606 Görenz. ibiq. laudata. His προκοπαῖς opponuntur apud eosdem philosophos αἱ ἀνακοπαί. Vid. Plutarch. in libro, qui et ipse inscribitur: πῶς ἄν τις αἴσθοιτο ἑαυτοῦ προκόπτοντος ἐπ' ἀρετῇ init. et p. 76 F. ibique Wyttenbachii animadvv. p. 552 sqq. p. 564. Adde Upton. et Schweigh. ad Epictet. Tom. III. p. 430 sq. — γὰρ δὴ νῦν] cett. bene γὰρ δὴ καὶ νῦν excepto E. — Σωκράτην] A Σωκράτη. B et D Σωκράτει, praeterea D add. τῶν. — μεθιστάμενος] B μεθίσταται et in marg. μεθιστάμενος.

φωνίας, ἀλλ' οὐ τὸν καθηγούμενον· εἰ δέ ποτε τέλειος γένοιτο καὶ ἐπιστήμων, οὔτε ἑαυτὸν οὔτε ἄλλον αἰτιάσεται. Οὐ γὰρ ἔσται τι διάφωνον ἐν αὐτῷ τε καὶ ἀνάρμοστον, ἀλλὰ πάντα φανὰ, πάντα ῥητὰ, πάντα νοερὰ τὰ κινήματα τῆς ψυχῆς. Συμβαίνει γὰρ εἰκότως ἐν μὲν τοῖς πολλοῖς ἡ πρὸς ἑαυτοὺς διαφωνία· διότι τὰ μὲν ἀπ' αἰσθήσεως εἰςδέχονται, τὰ δὲ ἀπὸ φαντασίας, τὰ δὲ ἀπὸ δόξης, καὶ τὰ μὲν ὑπὸ θυμοῦ, τὰ δὲ ἀπὸ ἐπιθυμίας. Οὐ γὰρ μόνον ἐκ τῶν δογμάτων τοιᾶδε κινεῖται πάθη τοῖς ἀνθρώποις, οἱ ἀπὸ τῆς Στοᾶς λέγουσιν, ἀλλὰ καὶ τοὐναντίον διὰ τὰ τοιᾶδε πάθη καὶ τὰς ὀρέξεις μεταβάλλουσι τὰς δόξας καὶ ἀντὶ χρηστῶν πονηρὰς συλλαμβάνουσιν. Οὗτοι μὲν οὖν τῶν πολλῶν ἀρχῶν καὶ δυνάμεων καὶ τούτων χειρόνων εἰςδεχόμενοι κινήματα πολυειδῆ, διστάζουσαν ἔχουσι καὶ ἀνάρμοστον τὴν ψυχὴν, οἱ δὲ ἐπιστήμονες ἀπὸ μιᾶς ἀρχῆς ἀποδέχονται τὴν γνῶσιν ὅλην τῆς πρὸ αὐτῶν. Νοῦς γὰρ αὐτοῖς δίδωσι τὰς ἀρχὰς καὶ νοῦ γεννήματα τὰ ἀληθῆ τῶν δογμάτων ἐστί. Μετὰ ἁπλότητος οὖν ὑφιστάμενα καὶ ἀπὸ τοιαύτης αἰτίας ἑνοειδῶς σύμφορα πάντα καὶ προςήγορά ἐστιν ἄλλοις. Κἀνταῦθα τοίνυν Ἀλκιβιάδης ἀναδείκνυται πρὸς ἑαυτὸν διαμαχόμενος καὶ οἰόμενος γινώσκειν, ἃ μὴ οἶδε καὶ ἄλλους αἰτιώμενος, τῶν ἐλέγχων ἐστὶν αἴτιος αὐτὸς ἑαυτῷ καὶ ὅλως ἀνάρμοστος ὢν πρὸς ἑαυτόν· διότι δὴ νοῦ μὲν ἀφίστατο, κακοῖς δὲ καὶ ἀνοήτοις ἀνθρώπων εἵπετο, καὶ φαντασίαις κοιναῖς καὶ οἰήσεσιν ἀλλοκότοις, καὶ ὅλως τῶν ἐκτὸς κειμένων ἀντεχο-

— *τέλειος γένοιτο*] A et B *τέλος γένοιτο*. D *τέλος γένηται*. Male. — *οὔτε ἑαυτὸν*] A *οὔτ' ἑαυτὸν*. — *πάντα φανὰ*] B *πάντα φανερὰ*. D *πάντα φαν....* (sic). — *ἀπ' αἰσθήσεως*] B *ἀπ' ἀνθήσεως*. D *ἀπαισθήσεως*. E *ἐπ' αἰσθήσεως*. — *ἀπὸ δόξης*] D *ἀπόδοξϊς*. — *τοιᾶδε*] A et D recte *τοιάδε*. — *οἱ ἀπὸ τῆς Στ.*] B et D bene *ὡς οἱ ἀπὸ τῆς Στοᾶς*. — *καὶ τοὐναντίον*] D om. *καὶ*. — *τοιᾶδε πάθη*] cett. *τοιάδε πάθη*, excepto E. — *ὀρέξεις*] D *ἐλέξεις*. — *ἀντὶ χρηστῶν*] B junctim. — *συλλαμβάνουσι*] cett. *ἀναλαμβάνουσι*, praeter unum Cod. E et ita etiam statim *οὖν τῶν πολλῶν*. — *οὖν τῶν πολλῶν*] cett. *οὖν ἀπὸ τῶν πολλῶν*. — *ἀποδέχονται*] B et D *ὑποδέχονται*. — *τῆς πρὸ αὐτῶν*] B *τῆς πρὸς αὐτῶν*. — *δίδωσι τὰς ἀρχὰς*] B *δίδεται τὰς ἀρχάς*. — *σύμφορα*] cett. *σύμφωνα*. Optime. — *ἐστὶν ἄλλοις*] cett. *ἐστὶν ἀλλήλοις*, bene; ita etiam Cod. E ex correctione. Fuit enim *ἀλλήλους*. — *φαντασίαις κοιναῖς*] D *φαντασίαις κακαῖς* (sic). Scr. vid. *κεναῖς*. — *ἐκτὸς*] B *εἰκός*. Deinde *ἀντεχομένοις* in cod. D. An voluit *ἀντεχόμενος*?

μένοις· καὶ γίνονται θαυμαστοὶ τοῦ Σωκράτους ἔλεγχοι μὴ παντελῶς ἀπηλλαγμένοι τοῦ προσηνοῦς καὶ πρὸς τὸ δραστικώτερον καὶ ἑτοιμότερον ἀποκλίνοντες. Εὔκαιρον γὰρ ἐν τοῖς παροῦσι τὸ τοιοῦτον· ὅ,τε γὰρ νεανίσκος δείκνυται παντελῶς ἑαυτὸν ἀγνοῶν, καὶ τρόπον τινὰ παρ' ἑαυτοῦ ταῦτα ἀκηκοώς, οὐ παρὰ Σωκράτους. Μετὰ γὰρ τὰ συμπεράσματα τὸ πληκτικὸν προσάγει τῶν ἐλέγχων, ἀλλ' οὐ πρὸς πάντων τῶν ἀποδείξεων, ὥςπερ δὴ καὶ ἐν Γοργίᾳ πεποίηκε· μετὰ γὰρ τὸ συλλογίζεσθαι καὶ ἐν ἐκείνοις ἐπιφέρει· καὶ πρόϊθί γε ἐς τοὔμπροςθεν, ὅτι ἔχων ληρεῖς. Ἓν μὲν τοῦτο τοιοῦτον ἔχουσιν οἱ παρόντες ἔλεγχοι τὸ μετὰ τὰς ἀποδείξεις προάγεσθαι καὶ τοῦ καιροῦ στοχάζεσθαι· δεύτερον δὲ τὸ οἰκειοῦν αὐτοὺς τῷ ἐλεγχομένῳ καὶ τὸ πικρὸν αὐτῶν κολάζειν διὰ τῆς οἰκειώσεως. Ὁ μὲν γὰρ ὑπ' ἄλλων ἐλεγχόμενος καὶ ἀλγύνεται μᾶλλον καὶ μεταμέλεται, ὁ δὲ ὑφ' αὑτοῦ καὶ ἧττον ἀγριαίνει πρὸς τὸν ἔλεγχον, καὶ πρόςεισιν εἰς ἀπαλλαγὴν τῆς πονηρίας ἐν ἑαυτῷ τὸν κατήγορον ἔχων τῶν παθῶν οὐδέποτε ἀφιστάμενον. Ταῦτα δὴ οὖν ἀμφότερα ἔχουσιν οἱ προκείμενοι λόγοι, καὶ ἐπὶ τοῖς δεδειγμένοις εὐκαίρως προάγονται καὶ ἐπ' αὐτὸν ἀναφέρονται τὸν Ἀλκιβιάδην, αὐτὸν ἑαυτοῦ κατήγορον ὑφιστάμενον. Πρὸς γὰρ τοὺς πληκτικωτέρους τῶν ἐλέγχων κοινή πως αὕτη

— *καὶ γίνονται*] cett. *καὶ γίγνονται*. Mox in cod. D: *τοῦ πρὸς ... νοῦς*, mediis deletis. — *ἑτοιμότερον*] A E et D *τομώτερον*. B *τομότερον*. Scribendum videtur *τομώτερον*, quod, ut rarius obvium, a librariis mutatum est in *ἑτοιμ*. Plutarchus Sympos. Quaest. VI. 8. p. 695. p. 857 de Spiritu qui a nive defertur: *ἔχει δέ τι τομὸν καὶ διαιρετικόν κτλ.* Idem ibid. VIII. 9. p. 734. p. 1027 de cibis: *λεπτὰ καὶ τομὰ καὶ ὀξέα προςφέροντες*. Inde ad sermonem transfertur designatque *acutum* in dicendo, neque tamen confundendum cum voce *τορός*. Vid. Ernestum ad Callimach. Del. vs. 94 et d'Orville ad Chariton. p. 483 Lips. Adde Photii Lex. gr. p. 436 et Etymol. Gud. p. 576. 13. — *ὅ,τε γὰρ*] A et B *ὅτε γάρ*. — *πρὸς πάντων τῶν ἀποδείξεων*] B *πρὸ πάντ. τ. ἀποδείξ.* D *πρὸ πάντ. ἀποδείξ.* omisso *τῶν*. — *συλλογίζεσθαι*] A et B *συλλογίσασθαι*. D *λογίσασθαι*. — *πρόϊθί γε*] B *προῖθι γε*. Locus est in Platonis Gorg. p. 497. a. Bip. T. IV. Bekk. II. 1. p. 109. — *ἓν μὲν τοῦτο*] D *ἓν μὲν οὖν τοῦτο*. bene. — *οἰκειοῦν αὐτοὺς*] A *οἰκ. αὐτὴν* et in marg. *γρ. αὐτούς*. — *κολάζειν*] D *κολακεύειν*. — *ὑφ' αὑτοῦ καὶ ἧττον*] B *ὑφ' αὐτοῦ καὶ ἥγηται*. D *ὑφ' ἑαυτοῦ καὶ ἧττον*. — *ἀγριαίνει ..... εἰς ἀπαλλαγὴν*] Haec omissa in B. D *ἀγριαίνεται* pro *ἀγριαίνει*. — *κοινή πως αὕτη*] A et D bene *κοινή τις αὕτη*. B *κοινή τις αὖθις*.

μέθοδος ὑπὸ τῶν πολλῶν παραδέδοται, προσώποις τισὶν ἄλλοις περιτίθεται τὰ πικρότερα τῶν ῥημάτων. Οὕτως Ὅμηρος μὲν εἰς Πηλέα τὴν μὲν ἐπιτίμησιν τοῦ Ἀχιλλέως ἀνήνεγκεν, Δημοσθένης δὲ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων τὴν κατὰ Ἀθηναίων ἐπίπληξιν, καὶ ὡς αὐτὸς ὁ Πλάτων εἰς τοὺς νόμους καὶ τὴν φιλοσοφίαν τὴν ἐπιτίμησιν τῶν ἀκουόντων. Ἐλαττοῦνται γὰρ οἱ ἔλεγχοι μετατιθέμεναί πως εἰς ἄλλους τοὺς ἀπόντας ἡμῶν, ὅταν δὲ μηδὲ ἄλλος τις ᾖ ὁ ἐλέγχων, ἀλλ' αὐτὸς ἑαυτὸν, πολλῷ μειζόνως ἀλυπότερος εἶναι ὁ ἔλεγχος δοκεῖ τοῖς ἐλεγχομένοις. Τοῦτο τοίνυν ὁ Σωκράτης ποιεῖ· τῷ γὰρ Ἀλκιβιάδῃ τὸν Ἀλκιβιάδου περιτίθησιν ἔλεγχον, τὸ μὲν σφοδρὸν τῆς ἐπιτιμήσεως διὰ τῆς μεθόδου ταύτης χαλῶν, τὸ δὲ ἀλλότριον τοῦ πλήττοντος οἰκεῖον ἀποφαίνων. Ταῦτα μὲν οὖν προειρήσθω κοινῇ περὶ τῶν προκειμένων λόγων· σκεψωμέθα δὲ καὶ τὰ καθ' ἕκαστον, ὅπως κεκραμένους ἔχει τοὺς ψόγους τοῖς ἐλέγχοις ἐπαίνοις, καὶ τοὺς ἐλέγχους ταῖς θεραπείαις θαυμαστόν τινα τρόπον. Τὸ μὲν οὖν ὁ καλὸς, ὁ Κλεινίου διὰ τῶν φυσικῶν αὐτῶν ἐπαινεῖ πλεονεκτημάτων, ἐφ' οἷς καὶ ἐκεῖνος μέγα ἐφρόνει, περιέχει δὲ ἔνδειξίν τινα καὶ τοῦ πάντα τὰ τοιαῦτα χωρὶς τῆς ἐπιστήμης ἀτελῆ καὶ ἄγονα εἶναι καὶ ἐνδεῆ τῶν ἀληθινῶν ἀγαθῶν. Τὸ δὲ οὐκ ἐπίσταιτο μεγάλου ἀγαθοῦ στέρησιν ἐμφαίνει, τῆς ἐπιστήμης· καὶ τὸ οἴητο προςτίθησιν αὐτὸ καὶ κακὸν, τὴν οἴησιν τὴν περιττὴν καὶ τὴν ἄγνοιαν τὴν διπλῆν, καὶ τὸ μέλλειν εἰς ἐκκλησίαν ἐλθόντα συμβουλεύσειν Ἀθηναίοις, περὶ ὧν οὐκ οἶδεν, ἤδη καὶ

— ὑπὸ τῶν πολλῶν] cett. ὑ. τ. παλαιῶν, sed E perperam ut Leid. — τὴν μὲν ἐπιτίμησιν] D om. μὲν. — κατὰ Ἀθηναίων] D bene κατὰ τῶν Ἀθ. Haec eadem exempla ex his Commentariis translata sunt in Scholia ad h. l. p. 71 Ruhnken. — καὶ ὡς αὐτὸς] D om. καί. — ἐλαττοῦνται] B ἐλαττοῦντο. — μετατιθέμεναί πως] A E et D recte μετατιθέμενοί πως. B μετατιθεμένοις πῶς (sic). — ἀπόντας ἡμῶν] B ἅπαντας ἡμῶν. Mox Cod. D exhibet χαλῶν et οἰκείων. — τοῖς ἐλέγχοις ἐπαίνοις] cett. om. ἐλέγχοις. Cod. E habet hanc vocem a prima manu, sed delevit eam altera. Merito. — ὁ καλὸς ὁ Κλ.] D ὁ παλὸς ὁ Κλ. Mendose idem mox ἄγονα (sic). — τὸ δὲ οὐκ ἐπίσταιτο] B τὸ δὲ οὐκ ἐπίσταιτο. — καὶ τὸ οἴητο] cett. ut Edd. καὶ τὸ οἴοιτο, sed E ut noster. Statim post haec in cett. est αὐτῷ, pro αὐτὸ, recte. — τὴν διπλῆν] B τὴν διπλὴν, ita cod. B plerumque pro διπλῆν habet et ἁπλήν.

τὸν ἔλεγχον αὐτὸν ἀποφαίνει. Προῆλθεν οὖν ὁ λόγος ἐν τάξει καὶ οὐκ ἀτάκτως, δηλονότι πρῶτον οὐκ ἀγαθὸς, εἶθ' ὅτι κακὸς, εἶθ' ὅτι κακοποιός. Καί μοι δοκεῖ τῇ μὲν ἀφαιρέσει τῆς ἐπιστήμης ψυχικῆς αὐτὸν γυμνὸν δεικνύει τελειότητος· ἡ γὰρ ἐπιστήμη ψυχῆς ἐστιν ἀγαθὸν, ὥς που καὶ ὁ Τίμαιος λέγει κη τῆς οἰήσεως νοερᾶς· νοῦς μὲν γὰρ δὴ καὶ ταῦτα γινώσκει καὶ ἑαυτὸν πάντως ἔγνωκεν· ὁ δὲ τὴν οἴησιν ἔχων καὶ ἀγνοεῖ, καὶ ὅτι ἀγνοῶν οὐκ οἶδε καὶ κατ' ἀμφότερα πρὸς τὸν νοῦν ὑπεναντίως διάκειται. Τῇ δὲ ἐπιστήμῃ τοῦ καὶ μέλλει συμβουλεύειν περὶ ὧν οὐκ οἶδε, τῆς θείας αὐτὸν ἀγαθότητος ἀποπεπτωκότα δείκνυσιν. Ἐκείνη μὲν γὰρ καὶ τοῖς ἄλλοις μεταδίδωσι τῶν ἀγαθῶν, κακοῦ δὲ οὐδενός ἐστιν αἰτία τοῖς οὖσιν. Ἀλκιβιάδης δὲ κακοποιός ἐστι καὶ τῶν συμβουλευμένων ὄλεθρος. Πασῶν ἄρα τῶν ὑπερτέρων αἰτιῶν αὐτὸν ἔρημον καὶ ἡμαρτηκότα διὰ τούτων λεληθότως ἀπέφηνε. Καὶ μὴν καὶ ἡ τοῦ Εὐριπίδου μνήμη τοὺς μὲν ἐλέγχους ἀνίησι, ποιεῖται δὲ τὸν λόγον χαριέστερον, ἅμα μὲν ἐπ' ἄλλον ἀναφέρουσα τὸ συμπέρασμα τῶν εἰρημένων, ἅμα δὲ καὶ τὴν διαλεκτικὴν ἀκριτολογίαν χαλάσας. Καὶ δέ-

— οὐκ ἀτάκτως] D οὐκ αὐτομάτως. — εἶθ' ὅτι κακὸς] D εἶθ' ὅτι κακοποιὸς sequente lacuna ... καὶ μοὶ δοκεῖ. Post ἀφαιρέσει Cod. E omittit τῆς. In seqq. scr. vid. δεικνύειν. — ὁ Τίμαιος] D ὁ Τίμος. Videtur autem h. l. Proclus tangere, quae posuit Plato in Timaeo p. 88. p. 133 Bekkeri. Similem sententiam reperies in Timaei Locri de animâ mundi libello prolatam p. 104 b. c. p. 28 Bip. — κη τῆς] B om. κη. — δὴ καὶ ταῦτα] A δὴ καὶ πάντα et in marg. ταῦτα. D om. δή. — ἀγνοῶν οὐκ οἶδε] B ἀγνοῶν οὐκ εἶδε. — τῇ δὲ ἐπιστήμῃ] cett. τῇ δὲ ἐπιθήκῃ. Bene. — τοῦ καὶ μέλλειν] B αὐτοῦ κ. μ. — Ἀλκιβιάδης δὲ] B om. δέ. Pro τοῖς οὖσιν, quod praecedit, requiritur ad sensum τοῖς αὐτῇ συνοῦσιν, vel simile quid. — συμβουλευμένων] cett. recte συμβουλευομένων. — ὄλεθρος] B ὄλεθρον deinde lacuna, quam continuo excipiunt τὰ διὰ τούτων λεληθότως. — ἔρημον] D ἐρόμενον. — ποιεῖται δὲ] cett. ποιεῖ δὲ. Melius. — χαλάσας] cett. bene χαλάσασα, sed E ut noster. Cum D etiam legendum ἀκριβολογίαν. Nam illud alterum nihili est. Hac voce saepiuscule utuntur Rhetores atque Philosophi ut plurimum in bonam partem. Vid. v. c. quae collegit Ernestus in Lex. technol. in voc. p. 11. Nec minus verbum usurpant Eccl. Patres, ut Damascius bis uno loco fol. 52 vers. cod. Monac. Sed Aristoteles Ethic. Nicomach. IV. 2. p. 63 Sylb. de nimis exactâ sumptuum ratione, quae ad sordes pertinet, ita: ἡ γὰρ ἀκριβολογία μικροπρεπής. Ubi consule Zellii nostri commentar. p. 128. Dio Cass. LXXIV. 5 p. 1246 Reimar. de Pertinace Imperatore: δίκαιος ἀκριβολογίας sine morositate. Similiter Noster neque inepte

δεικταί πως ἐν τούτοις τὰ μέτρα τῆς τῶν ποιημάτων χρήσεως· οὔτε γὰρ κατὰ κόρον αὐτοῖς χρηστέον (ἀπειρόκαλον γὰρ) οὔτε εἰς μῆκος αὐτὰ ἀποτείνειν προσήκει (τὸ γὰρ εἶδος τῆς προκειμένης ἑρμηνείας ἐκλύομεν·) ἀλλὰ παρῳδοῦντας καὶ μεταβαίνοντάς πως ἐπὶ τὸ πεζεφανέστερον, οὕτω δεῖ ποιεῖσθαι τὴν μνήμην αὐτῶν· δεῖ γὰρ εὐφραίνειν μὲν διὰ τῆς ποικιλίας, μὴ ἐκβαίνειν δὲ τὸ εἶδος τῶν προκειμένων λόγων. Ἔστι δὲ τοῦτο τὸ ἰαμβεῖον ἐξ Ἱππολύτου· τῆς γὰρ Φαίδρας ὑπαινιττομένης που τὸν ἑαυτῆς ἔρωτα πρὸς τὴν τροφὸν καὶ τὸν ἐρώμενον, ὅςτις ἦν, παραδηλούσης, ἐκείνη μέν φησιν Ἱππόλυτον αὐδᾷς, ὡς ἂν ἤδη συνῃσθημένη τοῦ πάθους· ἡ δέ γε Φαῖδρα σοὶ τάδε φησὶν οὐκ ἐμοὶ κλύεις, οὔτε ὁμολογεῖν αἱρουμένη τὰ καθ' ἑαυτὴν οὔτε ἔξαρνος εἶναι πρὸς τὸν ἔρωτα καρτεροῦσα, μηχανομένη δὲ ἅμα καὶ λέγειν καὶ σιωπᾶν τὸ πάθος. Ἔτι τοίνυν τὸ ἐμὲ δὲ αἰτιῶ μάτην ἀποστρέφει μὲν ἀπὸ τοῦ Σωκράτους τὴν τῶν ἐλέγχων βαρύτητα, δείκνυσι δὲ, ὅτι ἕκαστος τῶν ἀπαιδεύτων ἀκόπως καὶ ἀτελῶς καὶ ἀνοήτως ἐπ' ἄλλον μετατίθησι τὴν αἰτίαν τῆς ἑαυτοῦ κακοδαιμονίας, καὶ ὅπερ εἴρηκεν ἐν Πολιτείᾳ περὶ τοῦ τὸν τυραννικὸν αἱρουμένου βίον, αἰτιωμένου δαίμονα καὶ τύχην ἀνθ' ἑαυτὸν, τοῦτο καὶ ἐνταῦθα ἁρμόττει λέγειν· καὶ γὰρ ἐκεῖ προτεινομένης τῆς αἱρέσεως ἐκ τοῦ τῆς Λαχέσεως κλήρου, ᾑροῦντο μὲν αἱ ψυχαὶ, ἀπενέμετο δὲ τὰ ἀκόλουθα ἐκ τοῦ παντὸς, καὶ ἐνταῦθα

*dialecticam morositatem* dixit. Vocem ἀκριβολογία ex h. l. Procli etiam desumsit Scholiast. Platon. p. 71. Ruhnken. — κατὰ κόρον] cett. κατακόρως. Commode. — παρῳδοῦντας] A παραδοῦντας. B παραδοῦντας. D παραγοῦντας. — μεταβαίνοντάς πως] A et D bene μεταβάλλοντάς πως. B μεταβάλλοντας πῶς. — πεζεφανέστερον] B περιφανέστερον, ita etiam Cod. E in margine. D πεζοφανέστερον, quod praestat. Vid. Schol. in Plat. ed. Ruhnk. p. 71. ubi est: ἀλλὰ μετὰ τοῦ παρῳδεῖν αὐτὰ ἐπὶ τὸ πεζοφανέστερον. Hac voce augeri possunt Lexica. — ἐκείνη μὲν] B ἐκείνης μὲν. Locus est Euripidis Hippol. 352. ubi vid. Valckenarius p. 201. Scribendum vero σοῦ τάδ', οὐκ ἐμοῦ κλύεις. — αἱρουμένη] D ἐρουμένη. — ἅμα δὲ καὶ λέγειν … . ἐμὲ δὲ αἰτιῶ] haec omissa in B. Vocabulum praecedens scribendum μηχανωμένη, ut est in cett. — αἰτιῶ] D αἰτιᾷ, et ita Edd. — ὅτι ἕκαστος] B om. ὅτι. — τὸν τυραννικὸν] D om. τὸν. — αἰτιωμένου] cett. αἰτιωμένου. Bene. Locum Platonis jam supra laudavimus. In seqq. scr. ἑαυτοῦ pro ἑαυτόν. — ἁρμόττει λέγειν] A ἁρμόττεις λέγεις. B ἁρμόττει λέγεις. — ἀπενέμετο] D ἀπενέμοντο.

προτείνονται μὲν αἱ ἐρωτήσεις τοῦ Σωκράτους, αἱρεῖται δὲ ὁ Ἀλκιβιάδης, ἐπάγεται δὲ τὰ συμπεράσματα, ἐξ ὧν ἐκεῖνος ἀπεκρίνατο. Ὥσπερ οὖν ὁ τῆς τυραννικῆς ζωῆς ἐραστὴς ἀτόπως ᾐτιᾶτο δαίμονα καὶ τύχην τῶν ἑπομένων ἑαυτὸν ἀφιεὶς, οὕτω δὴ καὶ ὁ Ἀλκιβιάδης μάτην αἰτιᾶται τὸν Σωκράτην, δέον ἑαυτὸν αἰτιᾶσθαι τῶν συμπερασμάτων, ἀλλ' οὐκ ἐκεῖνον προσήκει· μένον δὲ τούτοις καὶ τὸ *εὖ λέγεις* μίγνυσι τὸν ἔπαινον ἐμμελῶς τῷ ψόγῳ καὶ τὸ μὲν ἐγκωμιαστικὸν ἑαυτῷ προσνέμει, τὸ δὲ ἐπιπληκτικὸν ἐκείνῳ. Καὶ ἅμα ἐπειδὴ τὰ ῥηθησόμενα σφοδρότερά ἐστιν, ἡγεῖταί πως αὐτῶν τὸ προσηνὲς σύγκρασιν θαυμαστὴν τῷ λόγῳ παρεχόμενον. Τὸ γὰρ *μανικὸν ἐπιχείρημα* καὶ τὸ *διδάσκειν, ἃ οὐκ οἶσθα*, καὶ τὸ *ἀμελήσας μανθάνειν* πολὺ τὸ ἐλεγκτικὸν ἔχει. Ταῦτα τοίνυν ὁ ἔπαινος ἐμμελέστερα πεποίηκεν, ὅτι δὲ καὶ ἡ ἀμαθία μανία πολυχρόνιός ἐστι, καὶ μάλιστα ἡ διπλῆ, παράδοξον μέν ἐστιν, ἀληθέστατον δὲ ὅμως· Ὥσπερ γὰρ ὁ μαινόμενος καὶ ἑαυτὸν ἀγνοεῖ καὶ τοὺς ἄλλους, οὕτω δὴ καὶ ὁ διπλῆ ἀμαθαίνων· καὶ ὥσπερ τοῖς μαινομένοις οὐδὲ ὁ παρὼν ἰατρὸς χρήσιμος, οὕτως οὐδὲ τοῖς τὴν διπλῆν ἔχουσιν ἄγνοιαν ὁ ἐπιστήμων, εἰ παραγένοιτο, λυσιτελὴς ἔσται. Καὶ γὰρ αὐτοὶ οἴονται οὐδὲν ἧττον ἐπιστήμονες εἶναι τῶν ὡς ἀληθῶς ἐπιστημόνων, καὶ ὅ φησιν ὁ Ἀθηναῖος ξένος, φλέγονται τὴν ψυχὴν μεθ' ὕβρεως, οἰόμενοι μηδενὸς ἐνδεεῖς εἶναι καὶ πάντα πράττειν ἀξιοῦντες, ἅπερ οἱ ἐπιστήμονες.

[ϛβ.] „Οἶμαι δέ σε, ὦ Σώκρατες, ὀλιγάκις Ἀθηναίους

— *τοῦ Σωκράτους*] cett. *ἀπὸ Σωκράτους.* — *τὰ συμπεράσματα*] D *συμ*πμτ. (sic). — *τῶν ἐπομένων*] B et D *τῶν ἐπομένων.* — *ἀφιεὶς*] cett. bene *ἀφεὶς*, sed E *ἀφιείς.* — *δέον*] B *δέοι.* — *ἐκεῖνον προσήκει· μένον*] D E et B *ἐκεῖνον· προσκείμενον*, quod etiam Werferus ex conjectura in cod. A ita emendavit. Sed in Cod. E a prima manu fuit, ut in Cod. Leid. — *τὸ εὖ λέγεις*] B om. *τὸ*. De hoc loco Criticorum veterum diversas sententias ex Olympiodori Commentariis excerptas supra in medium protulimus in Prooemio §. 2 p. XIV. not. 1. — *προσνέμει*] B *προσνέμειν.* — *δὲ ἐπιπληκτικὸν*] B *ἐπὶ πληκτικὸν*, omisso *δὲ*. — *σφοδρότερα*] A *σφοδρώτερα.* — *ἡγεῖταί πως*] B *ἡγεῖται πῶς.* — *σύγκρασιν*] B *σύγκρουσιν.* — *μανία*] B om. — *μεθ' ὕβρεως*] Locus Platonis est de Legg. L. IV. p. 716. a. Bip. T. VIII. Bekk. III. 2. p. 355.

*οἶμαι δέ σε*] cett. merito om. *σε*, in Cod. E videtur scriptum *γε*. In Edd. est *Οἶμαι μὲν, ὦ Σ., Ἀθ. ὀλιγ.*

„βουλεύεσθαι καὶ τοὺς ἄλλους Ἕλληνας, πότερα δικαιό-„τερα ἢ ἀδικώτερα· τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆλα „εἶναι· ἐάσαντες οὖν περὶ αὐτῶν, σκοποῦσιν, ὁπότερα „συνοίσει πράξασιν· οὐ γὰρ ταὐτά, οἶμαι, ἐστὶ τά τε „δίκαια καὶ συμφέροντα, ἀλλὰ πολλοῖς δὴ ἐλυσιτέλησεν „ἀδικήσασι μεγάλα ἀδικήματα, καὶ ἑτέροις γε, οἶμαι, δί-„καια ἐργασαμένοις οὐ ξυνήνεγκεν." (p. 113. c. d. Bekk. p. 321. sq.)

Οἴεται μὲν διαφεύγειν ὁ νεανίσκος τοὺς ἐπὶ τῶν δικαίων ἐλέγχους, μεθιστὰς τὰς βουλὰς ἀπὸ τούτων ἐπὶ τὰ συμφέροντα, ὡς τῶν βουλευομένων οὐ περὶ δικαίων τὰς γνώμας προτιθέντων, ἀλλὰ περὶ τῶν συμφερόντων, συμβουλιῶν τέλος ποιουμένων τὴν τοῦ συμφέροντος εὕρεσιν, ἀλλ' οὐχὶ τὴν τοῦ δικαίου γνῶσιν, μονονουχὶ τοῦτο λέγων σαφῶς, ὅτι τί γὰρ ἐμοὶ μέλλει τὸ δίκαιον εἰδέναι, μη περὶ τούτου μέλλοντι συμβουλεύειν; Ἔοικε δὲ πολλαπλασιάζειν ἑαυτῷ τὴν ἄγνοιαν καὶ τοὺς ἐλέγχους πλείους ἀποτελεῖν. Εἴτε γὰρ τὸ δίκαιον καὶ τὸ συμφέρον ταὐτόν ἐστιν· (ἀγνοεῖ δὲ τὸ δίκαιον, ἀγνοεῖ δήπου καὶ τὸ συμφέρον ὡσαύτως·) εἴτε μὴ ταὐτόν ἐστιν, ἑκάτερον δειχθήσεται διὰ τούτων, καὶ τὸ δίκαιον καὶ τὸ συμφέρον ἀγνοῶν, ὥςτε μείζων ἔσται περὶ αὐτῶν καὶ ἐν πλείοσιν ἡ ἄγνοια. Πόθεν ὁ νεανίσκος ὁρμώμενος διΐστησιν ἀπ' ἀλλήλων τό τε δίκαιον καὶ τὸ συμφέρον; Πρῶτον μὲν φαῖεν ἂν ἀπὸ τῶν ῥητορικῶν εἰδῶν, τοῦ δικανικοῦ τε καὶ συμβουλευτικοῦ

— Ἕλληνας] Deinceps A et B *κτλ.* habent omiss. sqq. usque ad *οὐ ξυνήνεγκεν.* — *οὐ γὰρ ταὐτὰ*] D *οὐ γὰρ ταῦτα.* Ante *συμφέροντα* Edd. addunt *τὰ.* — *τὰς βουλὰς*] cett. add. *καὶ τὰς συμβουλὰς.* Commode. — *ἀπὸ τούτων*] B *ἀπὸ τῶν.* — *ἐπὶ τὰ συμφ.*] B om. *τὰ.* — *προτιθέντων ..... τέλος*] haec om. B. — *ποιουμένων*] B *προποιουμένων.* — *δικαίου γνῶσιν*] B *βιαίου γνῶσιν.* Paulo post Codd. A B et E optime *ἐμοὶ μέλει.* — *μέλλοντι συμβ.*] B *μέλλουσι συμβ.* — *ἑαυτῷ τὴν ἄγν.*] A et D *αὐτῷ τὴν ἄγν.* B *αὐτῶν τὴν ἄγν.* — *πλείους*] B *πλείονας.* — *δειχθ. διὰ τούτων*] A et B *δειχθ. διὰ τῶν αὐτοῦ τούτων.* D *δειχθ. διὰ τῶν αὐτῶν τούτων.* Bene. — *πόθεν ὁ νεανίσκος*] cett. *πόθεν οὖν ὁ νεαν.* sed E non addit *οὖν*, quamquam eo aegre careremus. In seqq. cett. omnes recte *φαίην ἄν.* — *καὶ συμβουλευτικοῦ*] A et B *καὶ τοῦ συμβουλευτικοῦ.* D *τοῦ συμβ.* omisso *καί.* — Ad *ῥητορ. εἰδῶν* — *ἐπιδεικτικοῦ* adhibe Aristotelis Rhetor. ad Alexandr. II. p. 160 Sylb. ubi ita: *Τρία γένη τῶν πολιτικῶν εἰσι λόγων, τὸ μὲν δημηγορητικὸν, τὸ δὲ ἐπιδεικτικὸν, τὸ δὲ δικανικόν.* Easdem tamen formas pariter ac Proclus *εἴδη* nominat

καὶ ἐπιδεικτικοῦ, τοῦ μὲν τὸ δίκαιον τέλος προτιθεμένου, τοῦ δὲ τὸ συμφέρον, τοῦ δὲ τὸ καλόν. Εἰ τοίνυν ταῦτα εἴδη διάφορα καὶ τὰ τέλη τὰ τούτων, οὐκ ἂν εἴη ταὐτὸν τῷ δικαίῳ τὸ συμφέρον. Δεύτερον δὲ ἐκ τῶν εἰωθότων θρυλλεῖσθαι τελικῶν παρὰ τοῖς ῥήτορσι κεφαλαίων. Ἄλλο γάρ φασι τὸ δίκαιον, καὶ ἄλλο τὸ νόμιμον, καὶ ἄλλο τὸ συμφέρον. Καὶ ἀπὸ τούτων ἐπιχειροῦσιν ἢ τινῶν ἢ πάντων τῶν προκειμένων δεικνύναι, καὶ λέγουσι πολλάκις, τὸ μὲν δίκαιον ἐμπίπτειν, τὸ δὲ συμφέρον χώραν οὐκ ἔχει· καὶ ἀνάπαλιν ὡς τούτων διεστηκότων ἀπ' ἀλλήλων. Τρίτον τοίνυν ἀπὸ τῶν σοφιστικῶν οὐσιῶν τοὺς τοιούτους παραδέδεκτο λόγους. Καὶ γὰρ οἱ περὶ Θρασύμαχον καὶ περὶ Πῶλον καὶ Καλλικλέα συμφέρειν τὴν ἀδικίαν ἔλεγον τοῖς ἀδικοῦσι. Τὸ γὰρ ποιεῖν τὰ δοκοῦντα καὶ τὸ μέγα δύνασθαι καὶ τὸ τυραννεῖν ἀπεδέχοντο καὶ τὸν Ἀρχέλαον ἐμακάριζον, τὸν διὰ τῶν μεγίστων ἀδικημάτων ἀντὶ δούλου γενόμενον τύραννον. Ἀπὸ τούτων τοίνυν διατεθρύλλητο καὶ ὁ Ἀλκιβιάδης, ὅτι τὸ δίκαιον οὐκ ἔστι τῷ συμφέ-

Hermogenes *περὶ ἰδ.* I. p. 239 sqq. ed. Laurentii. Cf. Ejusdem Partitiones p. 9 ejusdem edit. Ad nostri autem loci argumentum adhibe quae idem ibid. p. 2 ponit, nimirum oratoriae quaestionis esse disputare, quid ex constitutis *legibus* aut moribus uniuscujusque populi justum, honestumve aut utile habeatur addens: *τὸ γὰρ ὡς ἀληθῶς τε καὶ καθόλον καλὸν ἢ συμφέρον ἢ τὰ τοιαῦτα ζητεῖν οὐ ῥητορικῆς.* — *προτιθεμένου*] B *προςτιθεμένου.* — *εἰωθότων*] A et D *εἰοθότων.* — *φασι τὸ δίκαιον*] D *φησι τὸ δίκ.* — *καὶ ἄλλο τὸ νόμιμον καὶ*] D utrobique om. *καὶ*. A et B *καὶ ἄλλο τὸ νόμιμον.* Mox Cod. E *ἢ τίνων* pro *ἢ τινῶν* (sic). — *τῶν προκειμένων*] D *τὰ προκείμενα.* — *οὐκ ἔχει*] cett. bene *ἔχειν*, excepto E. — *ἀπ' ἀλλήλων*] B junctim. — *σοφιστ. οὐσιῶν*] cett. bene *σοφιστ. συνουσιῶν.* Illud Cod. E in contextu habet, in margine est *ἴσ. συνουσιῶν.* — *Θρασύμαχον*] In primis de Rep. Libris et in Gorgia Plato hos homines in hunc sensum loquentes facit. De *Archelao* vid. Plat. Gorg. p. 470. d. et 471. Bip. T. IV. et quos laudat ib. Heindf. p 80 sq. Bekk. II. 1. p. 52. conf. Cic. Tusc. V, 12. ib. Davis.; de *Callicle* et *Polo* locus primarius, quem haud dubie Proclus ante oculos habuit, est in Platon. Gorg. p. 482. b. c. p. 117 sqq. Heindf. De Thrasymacho Cf. Ciceronis Orator. 12. de Orator. III. 16 et 32 et de tribus his Sophistis consule Cresollii Theatrum vett. rhetorum in Gronov. Thes. A. Gr. Vol. X. Ad argumentum nostri loci pertinent inprimis hi loci Platonis: Theaet. p. 172 b. c. p. 384 Heindf. et de Legg. X. 4. p. 890. a. b. p. 381 sqq. Ast. — *ἀπεδέχοντο*] B *ἀποδέχοντι.* A *ἀποδέχοντο.* — *γενόμενον*] A et B *γενώμενον.* — *διατεθρύλλητο*] A E et D bene *διετεθρύλλητο.* B *τεθρύλλητο.*

ροντι ταυτόν. Οὗτοι μὲν οὖν διΐστασαν ταῦτα ἀπ' ἀλλήλων, ὁ δέ γε Σωκράτης ἐπειρᾶτο τοῖς πρώτως τὸ δίκαιον ἀπὸ τοῦ συμφέροντος διαστήσασι· τὸ δὲ αἴτιον, ὅτι πᾶσαν τὸ δόγμα τοῦτο συγχέει τὴν ἠθικὴν φιλοσοφίαν. Τοῖς μὲν γὰρ οἰκτεῖσιν ἕτερα ταῦτ' εἶναι, καὶ τὴν εὐδαιμονίαν ἀνάγκη συμπληροῦν ἀπὸ τῶν ἐκτός· (ἐν ἐκείνοις γὰρ τὸ συμφέρον δοκεῖ πολλάκις τοῦ δικαίου χωρίζεσθαι·) τοῖς δὲ ἐν ταὐτῷ θεμένοις ἀμφότερα καὶ τὸ ἀληθινὸν ἀγαθὸν ἐν ψυχῇ συνομολογεῖν ἀναγκαῖον εἶναι, καὶ τὸν ἕκαστον ἡμῶν εἰς ψυχὴν ἀναφέρειν. Διὸ δὴ καὶ ὁ Σωκράτης ἀρχὴν εἶναι ἐνόμιζε καὶ τῆς ὅλης περὶ τέλους φιλοσοφίας καὶ τῆς ἑκάστου γνώσεως· οἱ δὲ Ἐπικούρειοι οἱ τὸ κατὰ φύσιν ζῆν, ὥςπερ οἱ ἀπὸ τῆς Στοᾶς, καὶ οἱ συμπληροῦντες ἡμῶν τὸ ἀγαθὸν ἀπὸ τῶν ἀναγκαίων, ὡς οἱ ἐκ τοῦ Περιπάτου, τὸ ταὐτὸν τοῦ δικαίου σώζειν καὶ τοῦ συμφέροντος εἰλικρινῶς ἀδυνατοῦσι. Καὶ ὅσοι δὲ αὖ τὸν ἄνθρωπον σῶμα ἔμψυχον ποιοῦσιν ἢ τὸ ἐκ ψυχῆς καὶ σώματος, οὐχ ἕξουσι δεικνύναι ἁπλῶς τὸ συμφέρον τῷ δικαίῳ πάντῃ ταὐτόν. Τραύματα γὰρ καὶ θανάτους φεύγει τις ἀδίκως, ἵνα σωθῇ τὸ ζῶον, κατὰ τὸ σώζεσθαι καὶ τὸ κατὰ φύσιν ἔχειν τοῦ ζώου πάντως ἀγαθόν· ὥςτε τοῦ δικαίου τὸ συμφέρον ἐνταῦθα διέστηκεν. Ὅσοι δὲ τὸ τέλος ἐν ψυχῇ τίθενται τῶν σωματικῶν ἀπροςδεὼς ὑπάρχειν, καὶ τὸν ἄνθρωπον ψυχὴν εἶναί φασι σώματι χρωμένην, οὗτοι γὰρ τὸ δίκαιον τῷ συμφέ-

— διΐστασαν] A διήστασαν. B διΐσταντο. — ἀπ' ἀλλήλων] B junctim. — συγχέει] cett. συνέχει. Cod. E hoc in contextu habet; in margine ἴσ. συγχέει. In proxime antecedentibus Cod. D: ἐπορᾶτο (sic) τοῖς πρώτοις. — οἰκτεῖσιν] cett. οἰηθεῖσιν. Recte. In libris MSS. et primis impressis literae η et κ sibi invicem sunt simillimae et ab imperitis facile confunduntur. In seqq. pro ἀνάγκη cett. exhibent ἀνάγκη. Bene. — ταῦτ' εἶναι] B et D ταῦτα εἶναι. — ἐν ταὐτῷ θεμένοις] D ἐνταῦθα τιθεμένοις. — εἶναι ἐνόμιζε] cett. εἶναι τοῦτο ἐνόμιζε. — Ἐπικούρειοι] A Ἐπικούριοι. — Ad argumentum hujus loci adhibe Ciceronem de Finib. II. 11. §. 34 sqq. p. 174 sqq. Goerenz. ib. §. 38 p. 80. III. 6. §. 21 sq. p. 336 sq. IV. 8. §. 19. p. 444 sq. — οὐχ ἕξουσι] A οὐκ ἀξιοῦσι. et in marg. γρ. οὐχ ἕξουσι. D οὐχ ...ξ...υσι (sic). — τις ἀδίκως] D ἀνίκως (sic). Mox in Cod. E ad vocem κατὰ (post ζῶον) in margine adscriptum est: legendum εἰ, quod non displicet. — διέστηκεν] D διέστησεν. — ἀπροςδεὼς] cett. ἀπροςδεὲς. Malim ἀπροςδεεῖς. — ὑπάρχειν] A et D ὑπάρχον. Non male. Si ὑπάρχειν verum esset, legerem ἀπροςδεῆ. B ὑπάρχοντες. — οὗτοι γὰρ τὸ] cett. οὗτοι καὶ τὸ, praeter unum Cod. E. — τῷ συμφέροντι ταὐτὸν] B et

ροντι ταὐτὸν εἶναι συγχωροῦσιν, (ἑκάτερον γὰρ ἐν ψυχῇ τίθεται) τὰ τῶν ὀργάνων πάθει τῷ χρωμένῳ διϊστάντες. Τοῦτο δὴ καὶ μικρὸν ὕστερον ἔσται γνωριμώτερον, τὰ δὲ τοῦ Ἀλκιβιάδου νῦν σκεπτέον. *Τὰ μὲν γὰρ δίκαια, φησὶν, ἡγοῦνται δῆλα εἶναι,* καίτοι στασιάζουσι περὶ αὐτῶν. Καὶ οἱ πόλεμοι καὶ αἱ μάχαι καὶ αἱ τῶν πόλεων ἀνατροπαὶ καὶ τῶν ἰδίων οἴκων διὰ ταῦτα γεγόνασί τε καὶ ἔσονται, τὰ δὲ συμφέροντα προκεῖσθαι τοῖς συμβούλοις εἰς ζήτησιν· καὶ ὅτι μὲν οἱ σύμβουλοι περὶ τὸ συμφέρον διατρίβουσι παντὶ καταφανὲς, ἀλλ' ὁ μὲν ἐπιστήμων σύμβουλος τὸ τῆς ψυχῆς συμφέρον ἐπισκοπούμενος ταὐτὸν οἴεται καὶ δίκαιον εἶναι, καὶ οὐ διίστησιν αὐτὰ ἀπ' ἀλλήλων· ὁ δὲ διάστροφος ἐν τοῖς ἔξωθεν κειμένοις τὸ συμφέρον ἐπιζητῶν καὶ τούτου καὶ τοῦ δικαίου πολλάκις ἁμαρτάνει. Πλανᾷ γὰρ αὐτὸν ὡς αἱρετὰ καὶ ἀναγκαῖα καὶ ὡς ὄντως ἀγαθὰ τὰ εἴδωλα τῶν ἀγαθῶν. Τούτων οὖν ἀντεχόμενος καὶ τῶν δικαίων ἀποπίπτει, καὶ τῶν ὡς ἀληθῶς συμφερόντων σκιαῖς καὶ εἰδώλοις καὶ ἀμυδροῖς ἀντὶ τῶν πρώτων ἀγαθῶν συνών.

[ϛγ.] „Τί οὖν, εἰ ὅτι μάλιστα ἕτερα μὲν τὰ δίκαια τυγ-
„χάνει ὄντα, ἕτερα δὲ τὰ συμφέροντα, οὔτι που αὖ σὺ
„οἴει ταῦτ' εἰδέναι, ἃ συμφέρει τοῖς ἀνθρώποις καὶ διό-
„τι; — τί γὰρ κωλύει, ὦ Σώκρατες; εἰ μὴ μὲν αὖ ἐρή-
„σῃ, παρ' ὅτου ἔμαθον, ἢ ὅπως αὐτὸ εὗρον. — οἷον
„τοῦτο ποιεῖς· εἴτι μὴ ὀρθῶς λέγεις, τυγχάνει δὲ δυνατὸν
„ἀποδεῖξαι, δι' οὗπερ καὶ τὸ πρότερον λόγου, οἴει δὴ καὶ

D *τὸ συμφέροντι ταὐτόν.* — *ἐν ψυχῇ τίθεται*] B et D *ἐν ψυχῇ τίθενται.* — *ὀργάνων πάθει*] cett. *ὀργάνων πάθη.* Bene. — *τῷ χρωμένῳ*] B et D *τῶν χρωμένων.* — *τοῦτο δὴ καὶ*] cett. *τοῦτο μὲν δὴ καὶ*, excepto E. — *γνωριμώτερον*] B *γνωριμότερον.* Paulo inferius pro *προκεῖσθαι* Cod. E *προςκεῖσθαι.* — *τὸ τῆς ψυχῆς συμφέρον*] B om. *ψυχῆς.* — *ἀπ' ἀλλήλων*] B junctim. — *ἀντεχόμενος*] B *ἀντεχομένως* (sic). — *καὶ ἀμυδροῖς*] cett. bene om. *καὶ*, neque vero E.

*ἕτερα δὲ τὰ συμφέροντα*] quae nunc sequuntur, A et B omittunt usque ad *οὐθ' ὡς μαθών.* — *οὔτι που*] D *οὔτοι που.* E *ὄντι* sed litera ν tribus punctis notata est. Tum Edd. *σὺ αὖ* pro *αὖ σύ.* Post haec in Edd. est [ut Procl. infr.]: *εἰ μή με αὖ ἐρήσῃ* (Ast. - *σει*). Paulo inferius Buttm. et Bekkerus ediderunt *πρότερον λόγου*, cum vulgo legatur *τὸν προτ. λόγον.* Post haec pro *καὶ ἄττα* in Edd. *καινὰ ἄττα.* Bekkerus edidit *καίν' ἄττα.*

„ἅττα δεῖν ἀκούειν ἀποδείξεις τε ἑτέρας, ὡς τῶν προτέ-„ρων οἷον σκευαρίων κατατετριμμένων, καὶ οὐκέτ᾽ ἂν σὺ „αὐτὰ ἀμπέσχοιο, εἰ μή τίς σοι τεκμήριον καθαρὸν καὶ ἄχραν-„τον οἴσει· ἐγὼ δὲ χαίρειν ἐάσας τὰς σὰς προδρομὰς τοῦ „λόγου, οὐδὲν ἧττον ἐρήσομαι, πόθεν μαθὼν αὖ τὰ συμ-„φέροντα ἐπίστασαι, καὶ ὅςτις αὐτῶν ὁ διδάσκαλος· καὶ „πάντα ἐκεῖνα τὰ πρότερον ἐρωτῶ μιᾷ ἐρωτήσει. Ἀλλὰ „γὰρ δῆλον, ὡς εἰς ταὐτὸν ἥξεις, καὶ οὐχ ἕξεις ἀποδεῖ-„ξαι, οὔθ᾽ ὡς ἐξευρὼν οἶσθα τὰ συμφέροντα οὔθ᾽ ὡς „μαθών.“ (p. 113. d. e. p. 114. a. Bckk. p. 322.)

Μετέστησε μὲν ἀπὸ τῶν δικαίων τὸ πρόβλημα ὁ νέος ἐπὶ τὰ συμφέροντα, δείκνυσι δὲ ὁ Σωκράτης, ὡς οὐδὲν μᾶλλον ταῦτα τῷ νεανίσκῳ διέγνωσται τῶν δικαίων, ταῖς αὐταῖς ἐρωτήσεσι χρώμενος. Δεῖ γὰρ μὴ ἀφίστασθαι τῶν καθολικῶν τύπων καὶ τῶν κοινῶν ἐννοιῶν ἐν τοῖς διαφόροις ζητήμασιν. Ὡς γὰρ αἱ ἀποδείξεις αἱ ἀπὸ τῶν καθολικωτέρων μειζόνως εἰς ἐπιστήμην ἡμᾶς προάγουσιν, οὕτω δὴ καὶ οἱ ἀπὸ τῶν κοινῶν ἐπιβολῶν ἔλεγχοι πρὸς τὴν κάθαρσιν ἀνύσιμοι γίνονται. Τὸ γὰρ διὰ μονὰς μεθόδου καὶ γνωριμωτάτης πολλῶν ἀποκαθαίρεσθαι ψευδῶν δοξασμάτων ῥᾷόν ἐστιν, ἢ τὸ ποικιλωτέρων δεῖσθαι τῆς ἰάσεως τρόπων, ἐπεὶ κἂν ταῖς τοῦ σώματος ἰατρείαις τὰ ἁπλούστερα καὶ καθολικώτερα τῶν βοηθημάτων αἱρούμεθα μᾶλλον τῶν πολυτρόπων καὶ μερικῶν· ἀπὸ τῶν ὁμοίων τοίνυν ὁ Σωκράτης ἐπιχειρῶν δείκνυσιν ὡςαύτως ἀγνοοῦντα τὰ συμφέροντα τὸν νεανίσκον· ὁ δὲ πρὸ τῶν τοῦ Σωκράτους ἐλέγχων αὐτὸν φθάνει καὶ τὰς μεθόδους προλέγει τῶν ἐπιχειρήσεων, ἅμα μὲν τὴν ἑαυτοῦ δεικνὺς εὐφυΐαν, ὡς τὸ κοινὸν τῶν λόγων οὐκ ἀγνοήσαντος καὶ διατεῖνον ἐπὶ πάντα

— ἀμπέσχοιο] D ἀμπίσχοιο, ut Edd. [et infr. p. 301.] — οὐδὲν ἧττον ἐρήσομαι] D οὐδὲ ἧττον. — οὐχ ἕξεις] D οὐχ ἥξεις. ἐρήσ. Paulo post in scriptione πόθεν Bekkerus cum Proclo facit; ceteri ediderunt ὁπόθεν. — μετέστησε] A ἐπέστησε. — οὐδὲν μᾶλλον] D οὐδὲ μᾶλλον. — διέγνωσται] D ἔγνωσται. — ταῖς αὐταῖς] B ταύτας. — μειζόνως] B μειζόνων. — ἐπιβολῶν ἔλεγχοι] B ἐβούλων ἐλέγχοι (sic.) — διὰ μονὰς] cett. recte διὰ μιᾶς, excepto E. — γνωριμωτάτης] B γνώσεως. — συμφέροντα τὸν νεανίσκον] B συμφ. τοῦ νεανίσκου. — αὐτὸν φθάνει] cett. αὐτὸς φθάνει, sed E ut noster. — δικνὺς] B δείκνυσιν.

τὰ πράγματα, ἃ περὶ τὴν διπλῆν ἄγνοιαν ἔχομεν, ἅμα δὲ σφοδροτέραν ἄλλην παρὰ τοῦ Σωκράτους βοήθειαν ἀπαιτῶν, ὡς ταύτης ἤδη πως διὰ τὴν συνήθειαν καταφρονουμένης. Πολλάκις γὰρ καὶ τὰ σωματικὰ πάθη δὶς ἢ τρὶς ὑπό τινων ὠφεληθέντα βοηθημάτων, οὐδὲν αὖθις ὑπ' αὐτῶν ὀνίναται καὶ δεῖται μείζονος ἄλλης τινὸς δυνάμεως. Ταὐτὸ τοίνυν καὶ ὁ νεανίσκος παθὲν ὑπερορᾷ πως ἤδη τῶν προειρημένων λόγων καὶ κινεῖ τὸν καθηγούμενον ἐπ' ἄλλους καθαρτικοὺς τῆς ἀγνοίας τρόπους προσεχέστερον αὐτὸν θεραπεύσοντας. Κοινῇ μὲν οὖν ταῦτα προειλήφθω τῶν προκειμένων ῥημάτων, ἰδίᾳ δὲ τὸ μὲν εἰ ὅτι μάλιστα ἕτερα μὲν τὰ δίκαια, ἕτερα δὲ τὰ συμφέροντα κατὰ συγχώρησιν προῆκται, περιάγων αὐτὸν ὡς οὐ παντελῆ τῆς ἀγνοίας ἔλεγχον. Εἴτε γὰρ ἕτερα τὰ δίκαια τῶν συμφερόντων, οὐκ ὠφεληθήσῃ σύ· οὐδὲ γὰρ τὰ συμφέροντα γινώσκεις, ἃ μήτε ἔμαθες μήτε εὗρες· εἴτε τὰ αὐτὰ κατὰ μίαν ἄγνοιαν ἀγνοεῖς ἀμφότερα, οὐ τοίνυν καὶ τοῖς περὶ τῶν συμφερόντων βουλευομένοις ἔσῃ λυσιτελῶν, ὥςπερ τοῖς περὶ τῶν δικαίων. Οὐδεὶς γὰρ περὶ ὧν ἀγνοεῖ συμβουλεύειν ἐπιχειρεῖ· οὐδὲ γὰρ λυσιτελές ἐστι τοῖς χρωμένοις· τὸ δὲ εἰ μή με αὖ ἐρήσῃ, παρ' ὅτου ἔμαθον ἢ αὐτὸς εὗρον καὶ τὸ εὐφυὲς καὶ τὸ ἀτελὲς παρίστησι τοῦ νεανίσκου. Εὐφυὴς μὲν γάρ ἐστιν, ὃς τὴν τῆς μεθόδου δύναμιν καθολικωτάτην οὖσαν συνιείς, ἀτελὴς δὲ, ὃς διαπαίζων τὸ κοινὸν καὶ ὅμοιον τῶν λόγων. Τὸ δὲ οἷον τοῦτο ποιεῖς ἀφί-

— ἃ περὶ] B om. ἃ. — ἤδη πως] B ἤδη πῶς. — διὰ τὴν συνήθειαν] D διὰ συνηθείας. — καὶ δεῖται] A καὶ δεῖ τά. — ἄλλης τινὸς] D om. τινός. — παθὲν] cett. παθὼν, et ita legendum. — ὑπερορᾷ πως] B ὑπερ. πῶς. — αὐτὸν θεραπεύσοντας] D αὐτὴν θεραπεύοντας. — τὸ μὲν εἰ ὅτι] D τὸ δὲ εἰ ὅτι. — ὡς οὐ παντελῆ] A ὡς παντελῆ. B et D εἰς παντελῆ. — ὠφεληθήσῃ σύ] B om. σύ. — ἀγνοεῖς ἀμφότερα] cett. melius ἀμφότερα ἀγνοεῖς. — τοίνυν καὶ τοῖς] B om. καὶ τοῖς. — βουλευομένοις] B βουλευόμενον. — λυσιτελῶν] B λυσιτελῶς. D λυσιτελής. Non male. — οὐδεὶς γὰρ] D om. γὰρ. — ἐπιχειρεῖ] D ἐπιχειρήσειεν. — οὐδὲ γὰρ] D om. γὰρ. — λυσιτελές] D λυσιτελής. — αὖ ἐρήσῃ] B ἂν ἐρήσῃ. — παρ' ὅτου] B παρ' ὅπου. — παρίστησι τοῦ νεανίσκου] cett. τοῦ νεανίσκου παρίστησι, excepto E. — εὐφυὴς μὲν γάρ ἐστιν, ὃς] D ὡς εὐφυὴς μὲν γὰρ, ὡς. Primum ὡς non recipiendum, sed alterum; itemque ante διαπαίζων corrigendum ὡς. — καθολικωτάτην] B καθολικώτατον. — τὸ κοινὸν καὶ ὅμοιον] B κοινὸν καὶ τὸ ὅμοιον. D τὸ κοινὸν καὶ τὸ ὅμοιον.

στησιν αὐτὸν τῆς νεαροπρεποῦς ζωῆς, καὶ τῆς ὑπερφρονούσης μὲν τῶν ἑστώτων λόγων, τὰ δὲ καινὰ καὶ νέα ζητούσης δόγματα. Ταῦτα δὴ πάντα πεποίθασιν, ὅσοι τῆς γενέσεώς εἰσιν ἀναπεπλησμένοι τῆς ἄλλως καὶ ἄλλως ἐχούσης, καὶ ὅσοι χαίρουσι ταῖς μεταβολαῖς, τῆς ἑστώσης φύσεως οὐδαμῶς ἀντιλαμβανόμενοι. Καθάπαξ γὰρ καὶ αἱ ψυχαὶ καὶ τὰ εἴδη τούτων ἀναμάττονται, οἷς συνάπτουσιν ἑαυτὰς, καὶ πρὸς τὸν νοῦν ὁμοιούμεναι τοῦ ταὐτοῦ καὶ ἀμεταβλήτου καὶ κατὰ τὰ δόγματα καὶ κατὰ τὴν ζωὴν ἀντέχοντα, πρὸς δὲ τὴν γένεσιν προσκολλώμεναι τὸ καινὸν ἀεὶ καὶ νεαροπρεπὲς ἐπιδιώκουσι, καὶ ἄλλοτε ἐπ' ἄλλα φέρονται δοξάσματα, καὶ τῶν αἰσθητῶν εἰς λόγων τῆς ψυχῆς ἀνεπαίσθητοι τυγχάνουσιν ὄντες. Καὶ μὴν τὰ σκευάρια τὰ κατατετρημμένα τοῖς ἀψύχοις καὶ τοῖς ἑτεροκινήτοις ἀποφαίνει τὴν προσήκουσαν μεταβολὴν, ἀλλ' οὐ τοῖς αὐτοκινήτοις καὶ

— *νεαροπρεποῦς*] B *ἀρεοπρεποῦς*. — *ταῦτα δὴ πάντα*] cett. *ταῦτα πάντα δὴ* — *πεποίθασιν*] cett. *πεπόνθασιν*. Bene. — *καὶ αἱ ψυχαὶ*] cett. om. *καί*. Mox *ἀναμάττονται*, *exprimunt*. Nolo repetere quae de hoc vocabulorum genere universo posui ad Plotin. de pulcrit.: p. 257 sqq. Alia breviter subjiciam: Verbum *ἀναμάττειν* Homerica vi usurpat Herodotus. Vid. Odyss. XIX. 92. et Wesseling ad Herodot. I. 155. Medii vim haud ita continuo expeditam habet locus Plutarchi in Anton. cap. 77. p. 120 ed. Coraj. Luculenter Maximus Tyrius de literarum characteribus ita diss. VIII. 2. p. 131 Reisk. *ἀλλ' ἡ ἀνθρωπίνη ἀσθένεια ἐξεῦρε σημεῖα ταῦτα, ἐν οἷς ἀποτιθεμένη τὴν αὐτῆς ἀμβλύτητα ἐξ αὐτῶν ἀναμάττεται* (Reisk. mavult *ἀναμάξεται*) *τὴν αὖθις μνήμην*. Sicut autem libro comparat animam humanam Plato in Philebo p. 38. p. 115 ed. Stallbaum (quem confer): ita speculo et vero etiam materiae (*cerae*), *quae formas in se recipit*, Plutarchus Sympos. V. Prooem. p. 672 E. p. 752 Wytt. quam similitudinem deinde sectati sunt Julianus, Themistius alii. — *πρὸς τὸν νοῦν*] D *πρὸς μὲν νοῦν*. — *καὶ ἀμεταβλήτου*] cett. *καὶ τοῦ ἀμετ*. Leg. vid. *τοῦ τ' αὐτοῦ καὶ τοῦ ἀμεταβλ*. — *ἀντέχοντα*] cett. *ἀντέχονται*, bene. — *πρὸς δὲ τὴν γένεσιν*] B *πρὸς δέ γε τ. γ.* — *προσκολλώμεναι*] A E et D *συγκολλώμεναι*. B *συγκολλύμεναι*. — *τὸ καινὸν*] B *τὸ κοινόν*. — *αἰσθητῶν εἰς*] cett. *ἑστώτων ἀεὶ*, bene, ut paulo superius et infra. — [*ὄντες*. vid. Fisch. ad Well. 3, a. p. 306 sq. 317 sq.] — *καὶ μὴν τὰ*] cett. *καὶ μὴν καὶ τὰ*. Bene. — *κατατετρημμένα*] D *κατατετριμμένα*. Hoc probum est. Vid. Schol. in Plat. p. 72. ed. Ruhnk. Certe *κατατετρημμένα* nihili est; *κατατετρημένα* esset *perforata*. Illud Scholion etiam ad universum locum intelligendum confer. De voce *σκευή* sufficiat nunc unum laudasse Valckenarium in Scholiis ad N. T. p. 451 sq. De veste citharoedi eodem vocabulo bis utitur Herodotus I. 24, ubi Lexicon. S. German. p. 237 ad calc. ed. Wesseling. explicat *στολή*. Tu confer Pierson. ad Moer. p. 22 et, quem nuper admodum loco Photii L. gr. p. 439 Hermannus adhibuit, Ruhnken. ad Tim. Lex. Platon. p. 259. not. 23. — *τοῖς ἑτεροκινήτοις*] B om. *τοῖς*

αὐτοενεργήτοις λόγοις τῆς ψυχῆς, λέγοι δ' ἂν τὰ σκευάρια ἤτοι τὰς τραγικὰς σκευάς, ἢ πάντα ἁπλῶς, ἃ καλοῦμεν σκεύη· καὶ τὸ οὐκέτ' ἂν αὐτὰ ἀμπίσχοι διαβολὴν ἔχει, ὡς περὶ τὴν ἐσθῆτα πολυτελοῦς τοῦ νεανίσκου καὶ, ὥς φησιν Ὅμηρος, εἵματά τε ἐξαμοιβὰ καὶ τ'ἄλλα πάντα διὰ τρυφὴν ἐξαλλάττοντος. Ἔτι δὴ οὖν τὸ καθαρὸν καὶ ἄχραντον τεκμήριον ἔχει μὲν τὴν ἀπὸ τῶν ἱματίων μεταφοράν, ἐνδείκνυται δὲ, ὅτι αἱ εὐφυέστεραι τῶν ψυχῶν, ἔννοιαν ἔχουσαι τῆς ἀχράντου καθαρότητος τῶν θεῶν καὶ ταύτην ἐν εἰδώλοις περιφέρουσαι, τῆς φαινομένης ἀντέχονται καθαρότητος, ἐπεὶ καὶ περιβλημάτων ἐστὶ θείων ἄχραντος οὐσία καὶ ἄϋλος καθαρότης, ἣν δεῖ τὰς ψυχὰς ἐνδιδύσκεσθαι τὰ συμφυῆ περιβλήματα αὐτῶν ἐκκαθαιρούσας, καὶ τοὺς χιτῶνας αὐτῶν ἀχράντους ἀπὸ τῆς γενέσεως διασωζούσας, ἀλλ' οὐκ ἐν τῇ τῶν φαινομένων ἱματίων καθαρότητι τὸ ὅλον ἀποτίθεσθαι· πρὸς δὴ τούτοις καὶ αἱ προδρομαὶ τοῦ λόγου σημαίνουσι τὰς ἀτάκτους ὁρμὰς

πρὸς τὰς δυνάμεις τῆς προνοίας καὶ τῆς δίκης αὐτῆς καὶ τῆς καθάρσεως. Πολλὰ γὰρ καὶ

τι τοιαῦτα δρῶσιν αἱ ψυχαὶ τὰς καθάρσεις ἐκκλίνουσαι τὰς ἀληθινὰς καὶ ἡ ἐρώτησις ἡ πάντα τὰ πρότερα ἐπιχειρήματα περιλαμβάνουσα δηλοῖ τὴν ἐπιστημονικὴν καὶ νοερὰν τοῦ Σωκράτους μέθοδον. Οἱ γὰρ ἑστῶτες λόγοι καὶ τὰ φερόμενα συλλαμβάνουσι καὶ τὰ πολυμετάβολα πάντα καθ' ἕνωσιν περιέχουσι. Καὶ δὴ καὶ τὸ εἰς ταὐτὸν ἥξειν τὸν Ἀλκιβιάδην, ὡς ἅπασαν αὐτοῦ τὴν ἕξιν προειληφὼς λέγει, καὶ ὡς μη-

— *λόγοις τῆς ψυχῆς*] B *λόγοις ταῖς ψυχαῖς*. — *ἀμπίσχοι*] A et D *ἀπίσχοιο*. B *ἀμπίσχοιε*. E *ἀμπίσχοιο*, et ita Edd. — *ὡς περὶ*] A junctim. — *ἐξαμοιβὰ*] D *ἐξημοιβὰ*, ut est apud Homerum Odyss. ϑ,249. — *τ' ἄλλα*] B et D *τὰ ἄλλα*. — *ἔτι δὴ οὖν*] D *εἴ τι δὴ οὖν*. — *καθαρότης*] B *καθαρότητος*. — *ἐνδιδύσκεσθαι*] A *ἐνδιδάσκεσθαι*. — *διασωζούσας*] B *διασωζούσαις*. — *προδρομαὶ*] Ad rem cf. Schol. Plat. p. 72. ed. Ruhnk. — *τῆς δίκης αὐτῆς*] D om. *αὐτῆς*. — *πολλὰ γὰρ καὶ*] B om. *καὶ*. — *δηλοῖ τὴν*] A *δηλεῖ τὴν*. B *δῆλον τὴν*. — *ἑστῶτες λόγοι*] B *ἑστῶτες λόγοις*. Quod mox subsequitur vocabulum *πολυμετάβολος* non est in Lexicis. — *τὸν Ἀλκιβιάδην*] D *τὸν Ἀλκιβιάδη*. — *ὡς ἅπασαν*] B *εἰς ἅπασαν*. — *προειληφὼς*] D *προει φὼς* (sic). Mox Codd. E. A B et D *ἀλλ' ἀρχάς*.

δὲν ἀγνοῶν τῶν περὶ αὐτὸν, ἀλλὰ ἀρχὰς καὶ μέσα καὶ τέλη τῆς ζωῆς αὐτοῦ πάντῃ περιέχων.

[ϛδ.] „Ἐπειδὴ δὲ τρυφᾷς καὶ οὐκέτ' ἂν ἡδέως τοῦ αὐτοῦ „γεύσαιο λόγου, τοῦτο μὲν ἐῶ χαίρειν, εἴτε οἶσθα εἴτε μὴ „τὰ Ἀθηναίοις συμφέροντα· πότερον δὲ τὰ αὐτά ἐστι δίκαιά „τε καὶ συμφέροντα, τί οὐκ ἀπέδειξας; εἰ μὲν οὖν βούλει, „ἐρωτῶν με, ὥςπερ ἐγὼ σὲ, εἰ δὲ, καὶ αὐτὸς ἐπὶ σαυτοῦ „λόγῳ διέξελθε. — ἀλλ' οὐκ οἶδα, οἷοςτ' ἂν εἴην, ὦ Σώκρα-„τες, πρὸς σὲ διελθεῖν." (p. 114. a. Bekk. p. 322. sq.)

Ὁ μὲν προειρημένος τρόπος τῶν ἐλέγχων διὰ τῆς κοινῆς μεθόδου τῆς καθαρτικῆς πάντων τῶν διπλῆν ἄγνοιαν ἐχόντων περὶ ἕκαστον τῶν πραγμάτων ἐδείκνυ καὶ τὰ συμφέροντα τὸν νεανίσκον ὥςπερ τὰ δίκαια ἀγνοοῦντα, κἄν τε ἕτερα ᾖ τῶν δικαίων, κἄν τε τὰ αὐτά. Νυνὶ δὲ καὶ ταύτην αὐτοῦ διελέγχει τὴν δόξαν τὴν διορίζουσαν ἐπὶ τῶν συμφερόντων τὰ δίκαια, καὶ δείκνυσιν, ὅτι τὰ αὐτά ἐστι, καὶ οὐ διέστηκεν ἀπ' ἀλλήλων. Καθαίρει τοίνυν αὐτὸν ἀπὸ τῆς δημώδους ὑπολήψεως καὶ φθαρτικῆς καὶ συνάπτει τῷ συμφέροντι τὸ δίκαιον, ἵν' ὁ τὸ ἕτερον ἀγνοῶν καὶ τὸ λοιπὸν ὡςαύτως ἀγνοῶν ἀποφαίνεται. Καὶ τοῦτο μὲν αὖθις διὰ πλειόνων δειχθήσεται. Ἐν δὲ τοῖς προκειμένοις ῥήμασι τρυφὴν μὲν ἐκάλεσε τῷ νεανίσκῳ διὰ τὴν τεθρυλλημένην αὐτοῦ καὶ πολυτελῆ δίαιταν, περὶ ἧς καὶ γεγράφασιν ἤδη τινὲς, πραγματείαν ποιησάμενοι τὴν τοῦ Ἀλκιβιάδου τρυφήν. Ἐν δὲ τῷ τί οὐκ ἐπέδειξας, εἰ μὲν

— καὶ τέλη τῆς] B καὶ λη̃τῆς (sic).
ἐῶ χαίρειν] quae sequuntur A et B omittunt usque ad διελθεῖν. — πότερον δὲ τὰ αὐτὰ] D π. δ. ταὐτά, ut Edd. — καὶ συμφέροντα] D et E add. ἢ ἕτερα, ut Edd. — διέξελθε] D διέξε ελθε (sic). Quae praecessit vox οὖν ante βούλει, non est in Edd. — οὐκ οἶδα οἷος] D οὐκ οἶδ' εἰ οἷος. Et εἰ est etiam in Edd., sed ibidem scribitur οἶδα, neque vero οἶδ'. — ἐδείκνυ] B ἐδείκνυε. — διορίζουσαν ἐπὶ] cett. διορίζουσαν ἀπὸ, et ita scribendum. Paulo inferius legendum est ἀποφαίνηται, ut est in Cod. D. Post haec in scriptione τρυφὴν μὲν ἐκάλεσε τῷ νεανίσκῳ libri omnes consentiunt, nisi quod in Cod. D scriptum reperio ἐΓκάλεσε, unde fidenter rescribendum ἐνεκάλεσε, quod etiam absque hac obscura significatione, invitis libris, faciendum fuit. Proxime illud τρυφᾷς ap. Platonem explicat Scholiast. Ruhnken. p. 72. — τεθρυλλημένην] B τεθρηλλυμένην. — ἐν δὲ τῷ τί] D ἐὰν δὲ τὸ τί. — οὐκ ἐπέδειξας] A et D bene οὐκ ἀπέδειξας. B οὐκ ἀπέδειξα.

*βούλει* καὶ τὰ ἑξῆς δείκνυσιν, ὅτι καὶ ὁ ἐρωτῶν ἀποδείκνυσιν, ὥςπερ καὶ λέγομεν, τὸν ἀποκρινόμενόν ἐστι, καὶ ἔστιν ἀμφότερα ἀληθῆ, τάτε πρότερον εἰρημένα καὶ τὰ νῦν. Τὰς μὲν γὰρ προτάσεις ὁ ἀποκρινόμενος λέγει, τὸ δὲ συμπέρασμα ὁ ἐρωτῶν συνάγει, ὥςτε ἀποφαίνεται μὲν ἐκεῖνος, δείκνυσι δὲ οὗτος, καὶ τὸ μὲν ἡγούμενον ἐκεῖνος λέγει, τὸ δὲ ἑπόμενον οὗτος, καὶ τὴν μὲν ὅλην ἐκεῖνος δίδωσι, τὸ δὲ εἶδος οὗτος ἐπιφέρει. Ὅταν δὲ ἁπασῶν τῶν προτάσεων δεδομένων μηδὲν συνάγηται πλέον ἢ καταγέλαστός ἐστιν ὁ ἐρωτῶν, ὡς μὴ δυνηθεὶς ὕλην λαβεῖν χρησίμην, ἢ τῇ δεδομένῃ χρήσασθαι. Εἰ δὲ ἐκ προτάσεων ψευδῶν ἄτοπόν τι συνάγεται, ὁ ἀποκρινόμενός ἐστιν αἴτιος, διότι τοιαύταις συνεχώρησε προτάσεσι. Καί μοι δεκεῖ καὶ πρότερον, ὅτε τὸν ἀποκρινόμενον ἔφατο εἶναι τὸν λέγοντα ὁ Σωκράτης, διὰ τοῦτο προςθεῖναι, ὡς ὅταν ἐρώτησις γίνεται καὶ ἀπόκρισις, τότε ὁ ἀποκρινόμενος λέγει. Τοῦτο γὰρ ἐπὶ τῶν προτάσεων συμβαίνει μόνον καὶ οὐκ ἐπὶ τοῦ συμπεράσματος, ἀλλ' ἐκείνοις πάλιν ἐπιστήσωμεν, δι' ἣν αἰτίαν ὁ Σωκράτης τοῦ Ἀλκιβιάδου τὰ δίκαια τῶν συμφερόντων διαστήσαντος οὐχὶ τῇ ἐνστάσει πρότερον ἐχρήσατο εἰπών, ὅτι ταὐτά ἐστιν ἑκάτερα τούτων, ἀλλὰ τῇ ἀντιπαραστάσᾳ, συγχωρήσας μὲν ἕτερα αὐτὰ εἶναι, ζητῶν δὲ ὁπόθεν ἔμαθεν ὁ Ἀλκιβιάδης τὸ συμφέρον, ἤδη καὶ παρὰ τοῖς ῥήτορσι τοῦτο ζητήσεως ἔτυχε,

*ἀποκρινόμενον*] cett. bene add. *καὶ ἀποδεικτικὸς*, excepto Cod. E. — *ὁ ἐρωτῶν*] A *ὁ ἐρωτώμενος* et in marg. *γρ. ὁ ἐρωτῶν*. — *τὴν μὲν ὅλην*] cett. *τὴν μὲν ὕλην*, uti legendum est. — *τὸ δὲ εἶδος*] B om. *δὲ*. — *τῶν προτάσεων*] B *τάσεων*. — *δεδομένων*] A *δεδομένην*. — *ἢ καταγέλαστος*] D om. *ἤ*. — *τῇ δεδομένῃ*] D *τῇ δεχομένῃ*. — *συνεχώρησε*] B *συνεχείρησε*. — *καί μοι δεκεῖ*] cett. *κ. μ. δοκεῖ*, uti rescribendum. — *προςθεῖναι*] B *προςθῆναι*. — *γίνεται*] A *γίνηται*. [recte.] — *ἀντιπαραστάσᾳ*] cett. recte *ἀντιπαραστάσει*. Nam designatur h. l. *depulsio secundaria*, quae fit post *ἔνστασιν* h. e. *depulsionem primam*. Vid. Ernesti Lex. technol. p. 28 sq. ibiq. laudd. Hermogen. *περὶ εὑρ.* III. 106 sq. et Apsin. Rhetor. p. 698. Sed Socrates rationem convertit praemittens *τὴν ἀντιπαράστασιν*. — *ζητῶν δὲ*] D *ζητοῦν δὲ*. Voluisse videtur *Ζητοῦντες*. Sed *ζητῶν δὲ* recte habet referendumque ad antecedens: *συγχωρήσας μὲν*. Proinde colon ponendum post *τὸ συμφέρον* (B *τί συμφ.*) et legendum *ἤδη γὰρ καὶ π. τ. ῥ.* ut cett. *ἤδη γὰρ κ. π.* excepto E. — *ζητήσεως ἔτυχε*] B et D addunt: *πότερον δεῖ τῇ* (B *τὴν*) *ἐνστάσει χρῆσθαι ἢ τῇ ἀντιπαραστάσει*. A et E addunt: *πότερον δεῖ τῇ ἐνστάσει πρότερον ἐχρήσατο εἰπὼν ὅτι ταὐτά ἐστιν ἑκάτερα τούτων· ἀλλὰ τῇ ἀντιπαραστάσει*. Prior lectio magis arridet. Alteram si eligas,

καὶ φαίνονται ποιοῦντες ἀμφοτέρως, ὅσον ἂν αὐτοῖς λυσιτελῇ πρὸς τὴν πιθανότητα τῶν ἐπιχειρημάτων. Λέγομεν τοίνυν κἀν τούτοις, ὡς ὁ Σωκράτης συνοῖδεν, ὅτι πρότερον ἀπαλλάξαι δεῖ τῆς διπλῆς ἀγνοίας τὸν νεανίσκον, εἶθ' οὕτως αὐτῷ μεταδοῦναι τῆς τῶν πραγμάτων ἐπιστήμης. Ἀπαλλάττει μὲν οὖν αὐτὸν τῆς κοινῆς οἰήσεως ἐρωτῶν, πῶς ἔμαθε τὰ συμφέροντα καὶ πόθεν. Μιᾷ γὰρ μεθόδῳ καὶ τῶν δικαίων αὐτὸν καὶ τῶν συμφερόντων ἄγνοιαν ἔχοντα διήλεγξεν. Πόθησιν δὲ αὐτῷ τὴν ἐπιστήμην τούτων, ἐπιδεικνὺς, ὅτι τὸ δίκαιον τῷ συμφέροντι ταὐτόν ἐστιν. Ὥςπερ οὖν οἱ ἰατροὶ καθαίρουσι πρότερον καὶ τὸν ἐνοχλοῦντα θυμὸν καθαίρουσι φαρμακείαις, ἔπειθ' οὕτως ἀνακτῶνται τὰς δυνάμεις διαίταις· οὕτω δὴ καὶ ὁ Σωκράτης ἀπαλλάττει μὲν τῆς διπλῆς ἀμαθίας διὰ τῆς ἀντιπαραστάσεως, τρέφει δὲ καὶ τελειοῖ διὰ τῆς ἐνστάσεως. Ὁ γὰρ ἐκ τούτων λόγος ἐξ ἀμφοῖν συγκείμενος τοιοῦτός ἐστι. Μάλιστα μὲν ταὐτὸν ὑπάρχει τὸ δίκαιον καὶ τὸ συμφέρον, ὃ δείκνυσιν. Εἰ δ' οὖν καὶ ἕτερον ζητεῖ, πῶς ἔγνω τὸ συμφέρον αὐτὸ καὶ ποῦ ποτε, τοῦτο δέ ἐστι τὸ πρότερον ἐρωτηθέν. Ἔχει δὲ ἡ τάξις αὕτη καὶ τὸ ἄρχεσθαι μὲν ἀπὸ τῶν γνωρίμων ἐπιβολῶν, τελευτᾷν δὲ εἰς τὰς ἀγνωστοτέρας. Ἤδη γὰρ τῇ αὐτῇ μεθόδῳ καὶ ἐπὶ ἄλλων τυγχάνομεν χρησάμενοι. Τὸ οὖν σαφὲς τῆς ἐπιχειρήσεως προςτίθησι τοῦ μὴ καταφανοῦς καὶ τὸ κοινὸν τοῦ ἰδίου. Κατὰ δὴ ταύτην τὴν αἰτίαν χώραν ἔσχεν ὁ τῆς ἀγνοίας ἔλεγχος τῶν συμφερόντων πρὸ τῆς γνώσεως τοῦ ταῦτα εἰσὶ τάτε συμφέροντα καὶ τὰ δίκαια ἀλλήλοις. Καὶ ἐπειδὴ προςκορὴς ὁ λόγος ἐγίγνετα διὰ τῶν αὐ-

certe *δεῖ* mutandum in *δή*. — *ὅσον ἂν αὐτοῖς*] cett. *ὅπως ἂν αὐτοῖς*. Sed E ut noster. — *κἀν τούτοις*] B *καὶ τούτοις*. — *κοινῆς οἰήσεως*] A et B *κενῆς οἰήσ*. D *καινῆς οἰήσ*. E suprascriptum habet *κενῆς*. Bene. — *πόθησιν*] B *πόθησις*. D *τίθησι*. Conjiciat inde aliquis a Proclo scriptum fuisse *προτίθησι*. — *θυμὸν καθαίρουσι*] cett. recte *χυμὸν ἐκβάλλοντες*, sed E cum nostro facit. Male. — *φαρμακείαις*] B *φαρμακίαις*. — *διαίταις*] B *διαίτας*. — *καὶ τὸ συμφέρον*] cett. om. *τὸ*. — *ὃ δείκνυσιν*] cett. *ὃ δεύτερον δείκνυσιν*. — *τὸ συμφέρον αὐτὸ*] A *τὰ συμφέρον αὐτὸς*. B et D *συμφέρον αὐτός*. — *τελευτᾷν*] B *τελευταῖον*. — *ἀγνωστοτέρας*] B *ἀγνωστέρας*. — *τῇ αὐτῇ μεθόδῳ*] B *τῇ τοιαύτῃ μεθόδῳ*. — *προςτίθησι*] D *προτίθησι*, quod placet. — *τοῦ μὴ καταφ.*] cett. bene *τοῦ μήπω κατ*. Post haec pro *τοῦ ταῦτα εἰσὶ* in Cod. D est *τοῦ ταὐτά εἰσι*. Recte.

τῶν ὁδεῦον ἐπιχωρημάτων, συντόμως αὐτὰ περιλαβὼν, καὶ αὐτὰ τὰ ἀναγκαιότατα θεὶς ἔφυγε τὸ προςκορὲς, ὡς μὲν ἐπιστήμων, τὸ δὶς καλὰ λέγειν οὐ παραιτούμενος. Πρόςεστι γὰρ ἐνταῦθα τὸ καὶ περὶ τῶν αὐτῶν, ὅπερ ἐν Γοργίᾳ Σωκράτης παραδέδωκεν, ὡς τοῖς ἐπιστήμοσι πρέπον τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγειν, ὡς δὲ πρὸς τρυφῶντα καὶ οὐκ ἀμαθῆ σοφιστὴν ἔχων τὸ προςκορὲς φυλαξάμενος· τί οὖν φαίης ἂν τὸ αἴτιον εἶναι τοῦ τον Σωκράτην αὐτὸν μὲν δι' ἐρωτήσεως μόνον οἴεσθαι δεῖν ποιεῖσθαι τὸν λόγον, τὸν δὲ νεανίσκον καὶ τοῦτο καὶ τὸ λόγῳ διεξιέναι συγχωρεῖν. Ἓν μὲν οὖν αἴτιον εἴποις ἂν τὸ θαῤῥεῖν αὐτῶν τῇ ἐπιστήμῃ τῶν πραγμάτων καὶ ἑαυτῷ μὲν συγγινώσκειν ἀνεξαπατήτῳ τυγχάνοντι, τῷ δὲ νεανίσκῳ, τῆς διαλεκτικῆς ἀκριβείας ἐνδεῶς ἔχοντι, τὰς διὰ τῶν ἐρωτήσεων προςάγει βασάνους· ἕτερον δὲ, ὅτι προθυμότερον αὐτὸν περὶ τὴν συνουσίαν ποιῶν ἑκάτερον προτίθησι τῶν λόγων τρέπων εἰς αἵρεσιν, τὸν μὲν ὡς οἰκειότερον, τὸν δὲ ὡς ἐπιστημονικώτερον. Καὶ γὰρ οἱ δεινοὶ τῶν ἰατρῶν πολλάκις ἐκλέγονται τὸ ἴδιον ἀντὶ τοῦ συμφέρειν δοκοῦντος, προςαγόμενοι τὴν φύσιν. Τρίτον τοίνυν, ὅτι καὶ ταύτης αὐτὸν ἀπαλλάξαι βουλόμενος τῆς οἰήσεως, ἣν ἔχει περὶ τοῦ δύνασθαι λέγειν. Ὡς γὰρ ἐπιστήμης αὐτὸν ἔρημον ἀπέφηνεν, οὕτω δὴ καὶ δυνάμεως αὐτὸν ἐνδεᾶ δείκνυσι διαλεκτικῆς, ἵνα δ' ἀμφοῖν ἀπαράσκευος δειχθῇ πρὸς τὴν συμβουλὴν καὶ τὴν δημαμωγίαν·

— *ὁδεῦον*] cett. *ὁδεύων*, et ita legendum. — *ἀναγκαιότατα θεὶς*] B *ἀναγκαῖα τιθεὶς*. Proxime Cod. D: *τὸ δὶς τὰ καλά*. Recte. Loci enim sententia haec est: Socrates utpote sciens atque peritus noluit uti illâ deprecandi formulâ: *Bis (et ter) quod pulcrum est*. Tangit autem graecorum adagium. *Δὶς καὶ τρὶς τὸ καλόν*. De quo vid. Suid. I. p. 609. Zenob. Cent. III. §. 33. Diogen. IV. 20. — *τὰ αὐτὰ περὶ*] cett. *τὸ αὐτὰ περί*. Fortasse *τὸ τὰ αὐτὰ κτλ*. Significat locum Platon. in Gorg. p. 482. a. Bip. T. IV. Bekk. II, 1. p. 78. — *ὡς δὲ πρὸς τρυφῶντα*] A *ὡς δὲ προςτρυφῶντα*. B *ὡς προςτρυφῶντα*, omisso sequente *καὶ*. — *οὐκ ἀμαθῆ*] cett. *οὐκ α.....* sq. lac. sed E ut Leid. — *τὸ αἴτιον*] B *τί αἴτιον*. — *Σωκράτην*] A et D *Σωκράτη*. — *δεῖν ποιεῖσθαι*] A *δεῖν ποιῆσθαι*. — *τὸ λόγῳ*] B *τῷ λόγῳ*. — *αὐτῶν τῇ ἐπιστ.*] cett. *αὐτὸν τῇ ἐπ*. Praeter unum Cod. E. Idem mox *ξυγγινώσκειν*. — *προςάγει βασάνους*] D *προςάγειν βασ*. — *τὸ ἴδιον*] D et E *τὸ ἥδιον*, bene, sed alter ex correctione. — *βουλόμενος*] cett. melius *βούλεται*, sed E ut noster. — *διαλεκτικῆς*] A *λεκτικῆς*. Ita fuit etiam in Cod. E, sed alia manus correxit *διαλ*. — *δ' ἀμφοῖν*] cett. *δι' ἀμφοῖν*. Recte.

οὔτε γὰρ λέγειν οὔτε φρονεῖν οἷός τε ἦν. Ἵν' οὖν μὴ ἐπιταττόμενος ἐρωτᾶν τοῦτο ἐκεῖνο φῇ τὸ οὐχ οὕτως οἱ σύμβουλοι λέγουσιν, ἀγνοῶν τοὺς τῶν ἐρωτήσεων τρόπους, ὥςπερ δὴ περὶ τοῦ διδασκάλου κρινόμενος εἴρηκεν, ἀμφοτέρας αὐτῷ προτείνει τὰς διαλεκτικὰς ἀτραποὺς, ἵν' ἀμφοτέρας ἀγνοῶν ἀποφανθῇ, κἀνταῦθα πάλιν ἀναφανῇ τὸ ἐν τῷ Φαίδρῳ λεχθὲν, ὅτι οὐδὲ λέγειν ἱκανός ἐστιν ὁ μὴ διὰ φιλοσοφίας ἀχθεὶς, μηδὲ ἐπιστήμων γενόμενος τῆς τῶν πραγμάτων φύσεως. Ἐπὶ τούτοις δὴ οὖν προτείνει καὶ ἀφίησι φωνὴν ὁ νεανίσκος συνησθημένος τῆς τοῦ Σωκράτους δυνάμεως, ἔτι δὲ ὅμως τῆς φιλονείκου ζωῆς ἀποπνέουσαν· τὸ γὰρ πρὸς σὲ διελθεῖν ὡς πρὸς ἀνταγωνιστὴν ἀποτείνεται τὸν Σωκράτην, δεόντως ὡς πρὸς πατέρα καὶ κηδεμόνα ποιούμενον τοὺς λόγους διανοεῖσθαι. Τοιοῦτον δὲ πᾶν ἐστι τὸ φιλότιμον ἦθος καὶ πέρα τοῦ δέοντος ταῖς ἁμίλλαις ἐγκείμενον, ὅτι καὶ περὶ ὧν μὴ δεῖ καὶ ὁπότε μὴ προςήκει, καὶ ἐν οἷς οὐκ ἔστιν ἀναγκαῖον, τοῖς αὐτοῖς χρῆται λόγοις καὶ τῇ ὁμοίᾳ προαιρέσει τῆς συνουσίας.

[ϛε.] „Ἀλλ', ὦ ἀγαθὲ, ἐμὲ ἐκκλησίαν νόμισον καὶ δῆμον·
„καὶ ἐκεῖ τί σε δεήσει ἓν καθ' ἕκαστον πείθειν· ἦ γάρ;
„ — ὡς ναί. — οὐκοῦν τοῦ αὐτοῦ ἕνα τε οἷόν τε εἶναι
„κατὰ μόνας πείθειν καὶ ξυμπόλλους, περὶ ὧν ἂν ἐνδῇ;
„ὥςπερ ὁ γραμματιστὴς ἕνα τέ που πείθει περὶ γραμμά-

— ἐκεῖνο φῇ] B ἐκεῖνο φησὶν — διδασκάλου] cett. δικαίου, excepto E, sed praestat δικαίου. — ἐπιστήμων] B ἐπιστημῶν. Locus Platonis est in Phaedro p. 261. a. Bip. T. X. Bekk. I, 1. p. 69. Proxime locutio τὰς διαλεκτικὰς ἀτραποὺς Platonis imitatorem arguit. Ita enim philosophus in Politico p. 258 b. p. 247 Bekker. *Τὴν οὖν πολιτικὴν ἀτραπὸν πῇ τις ἀνευρήσει*; Similes tralationes de sermone ac disserendo, a viae nominibus ductas, docte congessit Heusdius in Specim. crit. in Platon. p. 130 sq. Quibus exemplis hic Procli locus adjiciendus est. Aristoph. in ea forma ludit Ran. 123. Alia dedit Wyttenbach. ad Platon. Phaedon. p. 155. — ὡς πρὸς ἀνταγων.] B καὶ πρὸς ἀνταγ. — Σωκράτην] A Σωκράτη. — δεόντως] A et D δέοντος.

ὦ ἀγαθέ] Edd. ὦ 'γαθὲ et ita Codd. A B et D. — τί σε] A et D τι σὲ. Edd. τοί σε. — δεήσει ἓν καθ' ἕκαστον] B δεήσοιε ἕνεκα ἕκαστον et in marg. ἴσως· ἕνα. D δεήσει ἕνα ἕκαστον, ut Edd. — ὡς ναί] cett. om. ὡς, neque vero Cod. E. Sed abesse debet et abest ab Edd. — In seqq. hoc quoque loco Astius edidit οὔκουν. — κατὰ μόνας] D junctim. — ξυμπόλλους] B ξυμπολλοὺς. — ἐνδῇ] B ut Edd. εἰδῇ. D ... δῇ (sic). Sequentia A et B omittunt usque ad κινδυνεύει. — που πείθει] D πείθει που, ut Edd., nisi quod Astius edidit ποῦ.

„των καὶ πολλούς. — ναί. — οὗτος δὲ ἔσται ὁ εἰδὼς ὁ „ἀριθμητικός; — οὐκοῦν καὶ σὺ, ἅπερ καὶ πολλοὺς πεί„θειν εἶ, ταῦτα καὶ ἕνα; — εἰκός γε. — ἔστι δὲ ταῦτα „δηλονότι, ἃ οἶσθα; — ναί· — ἄλλο τι οὖν τοσοῦτον „μόνον διαφέρει τοῦ ἐν τῷ δήμῳ ῥήτορος ὁ ἐν τῇ τοιᾷδε „ξυνουσίᾳ, ὅτι ὁ μὲν ἀθρόους πείθει ταῦτα, ὁ δὲ καθ' „ἕνα; — κινδυνεύει·“ (p. 114. b. c. Bekk. p. 323. sq.) Ἐνέργειαν μὲν ὁ λόγος εἰςενήνοχε πολλὴν, τὴν ἐκκλησίαν καὶ τὸν δῆμον εἰς μέσον ἀγαγὼν καὶ τὸ βῆμα καὶ τὴν συμβουλὴν, καὶ οὕτω δὴ τὸν νεανίσκον προτρέπων ἐπὶ τὸν λόγον μονονουχὶ λέγων, τοῦτον μὲν εἶναι τὸν δῆμον ἡγοῦ, αὕτη δὲ ἡ πνὺξ ὑποκείσθω, τὸ δὲ 'βῆμα προκείσθω σοι τουτὶ, σὺ δ' ἀναβὰς πεῖθε περὶ τῶν δικαίων καὶ συμφερόντων, ὡς οὐκ ἔστι τὰ αὐτὰ ἀλλήλοις ἱκανὰ δήπου κινῆσαι καὶ πλῆξαι ταῦτα πάντα τὸν ὡς ἀληθῶς δημεραστήν. Ποικιλίαν δὲ συνειςφέρει διαλεκτικὴν πρὸ τῶν ζητουμένων ἀποδείξεων ἄλλοις συλλογισμοῖς χρώμενος ἐξηλλαγμένοις κατὰ τὰ συμπεράσματα, καὶ διὰ ταῦτα προηγουμένως δοκεῖ τισιν ἔνια τῶν κεφαλαίων μὴ δεικνύναι. Καίτοι γε, ὥςπερ εἴπομεν, ἕκαστος τῶν λόγων συντελεῖ τῇ πάσῃ προθέσει καὶ τὸ αὐτὸ τῷ διαλόγῳ παντὶ τέλος ἐνίσταται· καὶ δὴ καὶ οὗτος ὁ νυνὶ προκείμενος δεικνὺς, ὅτι τῆς αὐτῆς ἐπιστήμης ἐστὶν ἕνα τε καὶ πολλοὺς πείθειν, οἷον ὕμνος τίς ἐστι τῆς ἐπιστήμης καὶ ἐγκώμιον ἐρετῆς καθ' ἕκαστον τὴν δύναμιν αὐτῆς ἐκφαίνων, ὅση καὶ ἡλίκη τίς ἐστι καὶ ὅτι κατὰ τὴν νοῦ μίμησιν ἡ αὐτὴ, καὶ ἕκαστον πληροῖ γνώσεως καὶ πάντας ὁμοῦ, καὶ ὡς ἀμέριστός ἐστι, καὶ ἐν αὐτῇ ἱδρυμένη πάντα τὰ μετέχοντα αὐτῆς τελειοῖ, καὶ ὅτι νοῦς

— ναί] D addit ἆρ' οὖν καὶ περὶ ἀριθμοῦ ὁ αὐτὸς ἕνα τε καὶ πολλοὺς πείσει; — ναί. Et haec item sunt in Edd. Exciderunt in Codd. Leid. et E propter repetitum ναί. Post ἀριθμητικὸς in Cod. D est lacuna, in Edd. πάνυ γε. — πείθειν εἶ] D et E οἷός τε πείθειν εἶ, ut Edd. et ipse Proclus infra. — τοσοῦτον μόνον] Edd. ἢ τοσούτῳ μόνῳ. Sed Bekk. edidit, ut est apud Proclum. — Ἐνέργειαν] cett. ἐνάργειαν. Bene. — μονονουχὶ λέγων] cett. μόνον γὰρ οὐχὶ λέγει, excepto uno Cod. E. Pro αὕτη in Cod. E est αὐτή. Proxime in Cod. D πεῖθε. — τὸν ὡς ἀληθῶς] D om. τὸν. Paulo superius Codd. A B D et E πάντα ταῦτα pro ταῦτα πάντα. — ποικιλίαν δὲ] cett. add. αὖ. — ζητουμένων] B ζητημάτων in marg. γρ. ζητουμένων. — τῆς ἐπιστήμης καὶ ἐγκώμιον] D καὶ ἐγκ. τῆς ἐπιστ. — ἐρετῆς] cett. ἀ... seq. lacuna. E bene ἀρετῆς. — κατὰ τὴν νοῦ] B et D κατὰ τὴν τοῦ νοῦ. — ἡ αὐτὴ] D ἑαυτῇ.

ἐστιν ἑαυτοῦ πᾶσι μεταδιδοὺς καὶ ἑκάστῳ χωρίς. Ταῦτα δὲ ἐμφαίνει τὴν οὐσίαν ἡμῶν χωριστὴν οὖσαν σώματος καὶ ἐν αὐτῇ ἑστῶσαν, ὅπουγε καὶ ἡ ἐπιστήμη τελειότης ἡμῶν ὑπάρχουσα τοιαύτην ἔλαχε δύναμιν. Αἱ μὲν γὰρ σωματοειδεῖς δυνάμεις ἐν ταῖς μεταδόσεσιν ἑαυτὰς ἐλαττοῦσιν, ἡ δὲ ἐπιστήμη, μία μένουσα καὶ ἡ αὐτὴ, αὐτάρκης καὶ ἀνελάττωτος ἑνὶ καὶ πολλοῖς ὡςαύτως ἑαυτῆς μεταδίδωσιν. Οὕτω δὴ οὖν καὶ ἡ ψυχὴ παντὶ σώματι πάρεστι καὶ πᾶσι τοῖς μορίοις, καὶ οὐ τὸ μὲν ἄλλως αὐτῆς μετέχει, τὸ δὲ ἄλλως. Συντελεῖ μὲν οὖν, ὡς ἔφαμεν, ὁ λόγος καὶ πρὸς πᾶσαν τὴν εὕρεσιν τῆς οὐσίας ἡμῶν, ἐπαγγέλλεται δὲ δεικνύναι, ὅτι τριῶν ὄντων τούτων, ἑνὸς μὲν τοῦ τὸν ἕνα πείθοντα καὶ πολλοὺς, ἑτέρου δὲ τοῦ τὸν πολλοὺς πείθοντα καὶ ἕνα πείθειν, τρίτου δὲ τοῦ τὸν αὐτὸν ὁμοίως ἑκάτερον ποιεῖν ἀντιστρέφοντα ταῦτα ἀλλήλοις. Τριῶν δ' οὖν ὄντων ταύτων δείκνυσιν, ὡς ὁ πολλοὺς πείθων καὶ ἕνα δυνατός ἐστι πείθειν, ἂν ἐπιστήμων ᾖ, καὶ ὁ ἕνα πείθων καὶ πολλοὺς, ἀλλ' οὐ τὸ ἕτερον μόνον. Ἔστι δὲ τοῦτο πάντων ἀληθέστατον, εἰ πρῶτον μὲν τῷ πείθοντι τὴν ἐπιστήμην τούτων, ἃ πείθειν ἐπαγγέλλεται, παραδοίημεν. Καὶ γὰρ ὁ Σωκράτης διὰ τοῦτο προςτίθησι καὶ ὁμοῦ πολλοὺς οὐχ ἁπλῶς, ἀλλὰ περὶ ὧν εἰδῇ· καὶ πάλιν ἐν τοῖς ἑξῆς, ὅτι περὶ ἀριθμῶν ἕνα πείσει καὶ πολλοὺς ὁ αὐτός. Οὗτος δὲ

— *αὐτῆς τελειοῖ*] B *αὐτοῖς τελειοῖ.* — *ἐμφαίνει*] B *ἐμαίνει.* Mox Cod. E *ἐν ἑαυτῇ* pro *ἐν αὐτῇ.* — *αὐτάρκης*] cett. *καὶ αὐτάρκης.* — Proxime *ἀνελάττωτος* cf. supra cap. 7. p. 16. Ceterum similes sententias de *ψυχῇ γυμνῇ* i. e. secretâ a corporearum rerum illecebris animâ offendas in Clement. Alex. libro: Quis dives salvetur cap. 16. p. 41 Segaar, quem confer in annott. p. 209 seq. — *ὡςαύτως*] A et B om. — *ἑαυτῆς*] D *ἑαυτοῖς.* — *μορίοις*] A *μωρίοις.* B *μετρίοις.* — *καὶ οὐ τὸ*] cett. male *καὶ εἰ τὸ*, excepto Cod. E. Nisi fortasse legendum *κἂν εἰ etiamsi forte*, de qua locutione supra me monere memini. — *ἐπαγγέλλεται*] A *ἐπαγγέλεται.* B *ἐπαγγέλληται.* — *τοῦ τὸν ἕνα*] D om. *τὸν.* — *καὶ πολλοὺς*] B et D add. *πείθειν.* — *τρίτου δὲ*] D om. *δὲ.* B habet *τρίτον δὲ.* Deinde D: *ταῦτ' ἀλλήλοις.* — *ἃ πείθειν*] cett. perperam *ἀπείθειν*, excepto solo Cod. E. — *περὶ ὧν εἰδῇ*] A et B *περὶ ὧν ἂν εἰδῇ.* Recte; ut Edd. — *ἕνα πείσει*] B *ἕνα πείσῃς.* — Proxime *ὁ εἰδὼς* tanquam genus, quod continuo forma *ὁ ἀριθμητικὸς* sequitur. Saepiuscule ita veteres scriptores *τοὺς εἰδότας* universe usurpant. Dio Chrysost. Orat. X. p. 148 A. p. 302. Reisk. *ἢ δηλονότι ἀνάγκη τοὺς μὲν ἀπείρους ζημιοῦσθαι, τοὺς δὲ εἰδότας ὀνίνασθαι.* Plura ejus usus exempla collegit Segaar ad Clement.

ἔσται ὁ εἰδὼς ὁ ἀριθμητικὸς καὶ πρὸς τῷ τέλει τῶν λόγων· οὐκοῦν καὶ σὺ, ὥςπερ πολλοὺς οἷός τ' εἶ πείθειν ταῦτα καὶ ἕνα; ἔστι δὲ ταῦτα δηλονότι, ἃ οἶσθα. Τῆς ἐπιστήμης ἄρα πανταχοῦ τὸν τρόπον τοῦτον ἐξάπτει τῆς πειθοῦς· καὶ τοῦτο εἰκότως. Ὁ μὲν γὰρ ἀνεπιστήμων ἕνα γέ τινα ἐξαπατήσειεν ἂν, τὸ δὲ μιᾷ δυνάμει καὶ πολλοὺς πείθειν καὶ ἕνα τοῦ ἐπιστήμονος ἔργον ἐστίν. Δεύτερον δὲ ἐπιστάσεως ἄξιον λάβωμεν, ὅτι δεῖ τὸν ἕνα τὸν πειθόμενον ἐκ τῶν πολλῶν ἐκείνων εἶναι πεπισμένον. Διὰ γὰρ τοῦτό φησι καὶ ὁ Σωκράτης, ὅτι πολλοὺς καὶ αὐτὸς ἀθρόους τε πείθει καὶ καθ' ἕνα τοὺς ἀθρόους· οὕτως γὰρ καὶ εὐθὺς ἐν ἀρχῇ τῶν λόγων καὶ ἐκεῖ τοι δεήσει ἕνα ἕκαστον πείθειν τῶν πολλῶν. Οὐκ ἄρα δεῖ λέγειν τοὺς ἐνισταμένους, πῶς οὖν ὁ Θεόφραστος οὐχ οἷός τε ἐγένετο πείθειν τοὺς Ἀρεοπαγίτας, ὁ ἐν ταῖς ἰδίαις συνουσίαις πιθανώτατος; Οὐ γὰρ ἰδίᾳ πειθόμενοι τῶν πολλῶν ἦσαν, τῶν μὴ πεπεισμένων, οὐδὲ ἐν οἷς ἐπιστήμων ἦν ὁ Θεόφραστος, ἐν τούτοις οὐκ ἐπείσθησαν, ἐν οἷς ἀπείρως εἶχεν, οὐδὲ ἀντεπιφέρειν. Πῶς δὲ ὁ Σωκράτης οὐκ ἔπεισεν ἀπολογούμενος; αὐτὸς γὰρ λέγει σαφῶς, δι' ἔνδειαν ἀναισχυντίας ἡττῶμαι, καὶ ὅτι, εἰ ἐν πλείω χρόνον ὑμῖν συνεγενόμην, ἔπεισα ἂν ὑμᾶς περὶ ὧν λέγω. Πῇ τοίνυν μηδὲ ἐκεῖνα λέγει-

Alex. librum laud. p. 202. — Ceterum cum universa hac Nostri laudatione scientiae haud abs re erit comparare Platonis Philebum p. 55. p. 177 sqq. Stallbaumii hujusque annott. Ad *ἐπιστήμης* rectam notionem adhibe Wyttenbach. ad Julian. Orat. I. p. 14. p 174 Lips. — *σὺ, ὥςπερ*] B *σὺ, ἅπερ*. D *ἅπερ*, omisso *σύ*. — *τοῦ ἐπιστήμονος*] B inserit *δὲ*. Mox ad vocem *ἐπιστάσεως*, *considerationis, attentionis*, adhibe Thom. Magistr. in *ἐπέχω* p. 341 Bernard. ibiq. laudd. cf. Schweighaeus. Lex. Polyb. p. 264 sq. Ejusdemq. Ind. graec. Epictet. p. 332. Adde de discrimine vocc. *ἐπίστασις* et *ἐπιστασία* Lobeck. Parerg. I. §. XII. ad Phrynich. p. 527 sq. — *πεπισμένον*] A et B *πεπεισμένων*. D *τῶν ἅμα πεπεισμένων*. Bene. — *ἐκεῖ τοι*] D add. *σε*. Quae sequuntur de Theophrasto non magnopere congruunt iis, quae Diogenes Laët. V. 37. attigit. Similis tamen Gellii narratio periit, ut intelligitur ex argumento libri VIII. cap. 9. p. 323. Gronov. — *ἰδίᾳ πειθόμενοι*] A et B *ἰδίᾳ πειθόμενος*. D *οἱ ἰδίᾳ πειθόμενοι*. — *οὐδὲ ἐν οἷς*] B *οὐδὲ ἑνὸς* (sic). — *ἐν οἷς ἀπείρως*] cett. *ἀλλ' ἐν οἷς ἀπείρως*, et ita legendum. Ceterum tene usum rarioris verbi *ἀντεπιφέρειν*. Mox Codd. A B D et E *εἰ πλείω χρόνον*. Bene. Locus est in Platonis Apol. Socr. p. 38. d. et 37. a. Bip. I. Bekk. I. 2. p. 132. 130. — *δι' ἔνδειαν*] cett. *ὅτι δι' ἔνδειαν*, excepto E. — *λέγοιτό τις*]

τό τις, ὅτι διττὸς ὁ τρόπος τῆς πειθοῦς, καὶ ὁ μὲν πευστικὸς ὁ τοῖς ὀρθοδοξαστικοῖς προςήκων, ὁ δὲ τοῖς ἐπιστήμοσιν ὁ διδασκαλικός, καὶ ὡς τοῖς πολλοῖς οὐ δυνατὸν προςάγειν τὴν ἐπιστημονικὴν πειθώ. Λέγεται μὲν γὰρ ταῦτα ἐν Γοργίᾳ καὶ ὀρθῶς λέγεται. Πῶς δὲ οὐ μέλλει, τοῦ Σωκράτους οὑτωσὶ διαιρουμένου πρὸς τὴν παροῦσαν ἀπόδειξιν, οὐδὲ ὑπεναντίον ἔχειν; Τοῖς γὰρ ἐπιστήμοσιν αὐτὸ τοῦτο πρῶτον ἔργον ἀποδίδοται τὸ διελέσθαι τοὺς καιροὺς καὶ τὰ πρόςωπα καὶ τὰ πράγματα, καὶ τὰ προςήκοντα τῶν λόγων εἴδη πᾶσιν ἀποδιδόναι· καὶ τοῖς μὲν τὰ ἐπιστημονικά, τοῖς δὲ τὰ δοξαστικά. Πείθεται γὰρ ὑπ' ἄλλων ἄλλος, καὶ ὁ μὲν ἀδύνατός ἐστιν εἰς ἐπιστήμην ἑαυτὸν ἀνάγειν, ἀλλ' οὐ ταῖς ὀρθαῖς ἀρκεῖται δόξαις, ὁ δὲ καὶ τῶν ἀκριβεστέρων τρόπων τῆς γνώσεως ἀντιλαμβάνεται. Πείθει μὲν οὖν ὁ αὐτὸς ἕνα καὶ πολλούς, πείθει δὲ καὶ ἄλλους ἄλλως. Καὶ οἱ μὲν τρόποι τῆς πειθοῦς διοίσουσιν, ἡ δὲ πείθουσα δύναμις ἡ αὐτή, δημιουργὸς δὲ ἡ ἐπιστήμη τῆς συναμφοτέρας· χρῆται γὰρ αὐταῖς εἰς δέον. Εἰκότως ἄρα καὶ οἱ τὰ θεῖα σοφοὶ τῷ τῆς ἐπιστήμης χορηγῷ τῶν θεῶν τὴν Πειθὼ συνοικίζουσι, δι' ἧς τὰ πάντα πειθή-

cett. *λεγέτω τις*, praeter Cod. E. In initio periodi pro *Πῆ τοίνυν* lege cum cod. D. *Μὴ τ.* — *τῆς πειθοῦς*] cett. *ἐστὶ τῆς πειθοῦς*, excepto Cod. E. — *πευστικὸς*] B et D *πιστευτικός*. Recte. Nam Proclus continuo Platonis Gorgiam laudat, ubi haec leguntur p. 454 sq. p. 29 Heindf. p. 20 Bekker. *Ἡ ῥητορικὴ ἄρα, ὡς ἔοικε, πειθοῦς δημιουργός ἐστι πιστευτικῆς, ἀλλ οὐ διδασκαλικῆς περὶ τὸ δίκαιόν τε καὶ ἄδικον quae credulitatem potius quam doctrinam circa justum vel injustum praestat.* Sed ibidem tamen, quod Heindorfium fugit, Sextus Empiricus legisse videri possit *πειστικῆς*. Ita enim ille adv. Math. II. 2. p. 288: *Ῥητορική ἐστι — πειστικὴ — οὐ διδασκαλική*. Cf. Fabric. ad eum locum. Ceterum ex illo Platonis fonte quaedam hauserat etiam Origenes in libro *περὶ ἀρχῶν*. Vid. Eusebium contra Marcell. I. 4 et cf. Origen. operr. T. I. p. 45. 47 Ruaei. — *οὐ μέλλει*] A et B *οὐ μέλει*. — *οὐδὲ ὑπεναντίον*] D *οὐδὲν ὑπενάντ... ἔχειν*. — *τὰ πρόςωπα*] B om. *τά*. — *ἀλλ' οὐ ταῖς*] D *ἀλλὰ ταῖς*. Quod placet. — *καὶ ἄλλους ἄλλως*] D om. *καὶ*. B *καὶ ἄλλος ἄλλους*. — Ad sequentia de Suadâ et Mercurio adhibe Cornutum de N. D cap. 24. p. 297 Gal. — *πάντα πειθήνια*] B *πάντως πιθήνια*. De hac voce vid. Irmisch. ad Herodian. II. 10. 4. p. 305 sq. ibiq. laudd. Ego Heraclidis verba subjiciam huc potissimum facientia ex Allegorr. Homerr. p. 483. p. 181 Sehow.: *Ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος καὶ σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα Πριάμῳ δεδήλωκεν, ἀλληγορήσας. οὐδὲν γὰρ οὕτω πειθήνιον ἀνδράσιν ὀργιζομένοις κτλ.* Adhibe insuper ad verba et sententias nostri loci Wyttenb. ad Julian. p. 36 sq.

νιά καὶ κατήκοα ποιεῖ τῷ δημιουργῷ τῶν ὅλων, καὶ ἀνατείνει πρὸς τὸν ἕνα πατέρα, καὶ αὐτὸς δὲ ὁ δημιουργὸς νοῦς, ἐν ᾧ ὑπάρχει τὸ πείθειν αὐτὴν καὶ πάντα πρὸς τὸ βέλτιστον ἄγειν. Εἰ τοίνυν ἡ πειθὼ καὶ ἡ ἐπιστήμη γέννημα νοῦ, προςήκει μὲν ἀμφοτέροις τοῖς εἰκότως δὲ καὶ πειθοῦς προεστάναι λέγεται καὶ ἑνός πο ἐπεὶ καὶ οἱ νέοι θεοὶ πείθεσθαι λέγονται τῷ πατρὶ καὶ ἕκαστος αὐτῶν ἰδίᾳ καὶ κοινῇ πάντες. Καὶ οὕτω δὴ προνοεῖν τῶν θνητῶν νοη . . φησὶ τὴν τοῦ πατρὸς τάξιν ἐπείθοντο αὐτῇ, διττῆς δὲ οὔσης αὐτῆς καθ' ἑκατέραν ὁ ἐπιστήμων πείθων οὐκ ἐκβήσεται τὰ μέτρα τῆς ἐπιστημονικῆς γνώσεως.

[ϛς.] „Ἴθι τοίνυν, ἐπειδὴ τοῦ αὐτοῦ φαίνεται πολλούς „τε καὶ ἕνα πείθειν, ἐν ἐμοὶ ἐμμελέτησον καὶ ἐπιχείρησον „ἐπιδεῖξαι, ὡς τὸ δίκαιον ἐνίοτε οὐ συμφέρει. — ὑβρι„στὴς εἶ, ὦ Σώκρατες. — ἤπου νῦν ἐφ' ὕβρεως μέλλω „σε πείθειν τἀναντία οἷς σύ με οὐκ ἐθέλοις. — λέγε „δή. — ἀποκρίνου μόνον τὰ ἐρωτώμενα. — μή· ἀλλὰ σὺ „αὐτὸς λέγε. — τί δέ; οὐχ ὅτι μάλιστα βούλει πεισθῆ„ναι; — πάντως δήπου. — οὐκοῦν εἰ λέγοις, ὅτι ταῦτα „οὕτως ἔχει, μάλιστα ἂν εἴης πεπεισμένος; — ἔμοιγε „δοκεῖ. — ἀποκρίνου δή, καὶ ἐὰν μὴ αὐτὸς σὺ σαυτοῦ

p. 134 et Valckenar. Scholl. in N. T. Vol. II. p. 118 sq. — *ποιεῖ τῷ δημιουργῷ τῶν ὅλων*] D *τῷ θεῷ ποιεῖ.* — *ὁ δημιουργὸς*] A E et D *δημιουργικός.* B *δημιουργὸς* et in marg. *γρ. δημιουργικὸς.* Bene. — *ἐν ᾧ ὑπάρχει*] cett. om. *ἐν ᾧ* cum lacuna, neque vero Cod. E. — *καὶ πάντα πρὸς*] cett. om. *καὶ*, sed E illud exhibet cum nostro. — *ἡ πειθὼ καὶ*] om. cett. cum lacuna. Sed B etiam seqq. omittit usque ad. *καθ' ἑκατέραν.* Cod. D: *καὶ γέννημα νοῦ.* — *προςήκει*] D *προςέχει* (sic). — *ἀμφοτέροις*] A et D add. *τοῖς.* — *καὶ οὕτω δὴ προνοιεῖν*] Cod. D: *καὶ οὕτω δη προνοεῖ τῶν θνητῶν νοὶ.* — *οὔσης αὐτῆς*] A et D *οὐ......* sq. lac.

*πολλούς τε*] om. B. Incipit locus Platonicus in Edd. *Ἴθι δὴ νῦν* (Ast. *δή νυν*, Bekkerus *Ἴθι νῦν.*) In seqq. pro *ἤπου νῦν* in Edd. est *Νῦν γοῦν.* Paulo inferius pro *τί δέ* in Edd. est *τί δαί*; Tum Astius rursus *οὔκουν.* In hoc quoque loco Astius bis perperam edidit *εἰ* pro *εἶ.* — *ἐπιδεῖξαι*] A et D *ἐπιδεῖξαι.* B *δεῖξαι.* Sequentia omittunt A et B usque ad *μαντικὸς γὰρ εἶ.* — *συμφέρει*] D et E *ξυμφέρει*, ut est in Edd. — *ἐθέλοις*] D *ἐθέλεις*, ut Edd. — *εἰ λέγοις*] D *εἰ λέγεις*, et ita Edd.

„ἀκούῃς, ὅτι τὰ δίκαια συμφέροντα, ἄλλῳ λέγοντι μὴ „πιστεύσῃς. — οὔτοι, ἀλλ' ἀποκριτέον· οὐ γὰρ οὐδὲν οἴ„ομαι βλαβήσεσθαι. — μαντικὸς γὰρ εἶ.“ (p. 114. d. e. Bekk. p. 324. sq.)

Συνῆκται καὶ ὁ τέταρτος συλλογισμὸς δεικνὺς, ὅτι ὁ αὐτὸς ἕνα τε πείθειν δύναται καὶ πολλοὺς, ἄν περ ἐπιστήμων ᾖ. Ἕπεται δὴ οὖν καὶ τὸν Ἀλκιβιάδην, εἴπερ ἐπιστήμων ἐστι τῶν δικαίων καὶ τῶν συμφερόντων, πείθειν περὶ αὐτῶν τὸν Σωκράτην. Οὐ γὰρ δήπου μετὰ μὲν τῶν ἄλλων δύναται αὐτὸν πείθειν, αὐτὸν δὲ καθ' ἑαυτὸν ἀδυνατεῖ. Πάρεστι δὲ ἐν τούτοις τὴν μὲν φιλανθρωπίαν κατιδεῖν τοῦ Σωκράτους, διότι προτίθησιν ἑαυτὸν εἰς γυμνάσιον τῷ νεανίσκῳ· τὴν δὲ ἀτυφίαν, ἐν οἷς οὐ προςποιεῖται τὸ τῆς ὕβρεως ὄνομα καὶ τὴν μεγαλοφροσύνην ἐν τῷ αὐτῷ· τὴν δὲ ἐπιστήμην τὴν διαλεκτικὴν, ἐξ ὧν οὐ προσίεται τοὺς μακροὺς λόγους, ἀλλὰ τὰς δι' ἐρωτήσεων ἐξετάσεις τῶν ζητουμένων ἐν τῷ παρόντι προςτίθησι· τὴν δὲ δύναμιν, ἐν οἷς ἐπαγγέλλεται ποιήσειν τὸν νεανίσκον αὐτὸν ἀκοῦσαι παρ' ἑαυτοῦ λέγοντος, ὅτι τὰ δίκαια συμφέροντά ἐστι, παρ' οὗ τελεσθεὶς οὕτως ἂν δυνηθείη καταγωνίσασθαι τὴν τοῦ τελουμένου ψυχὴν, ἥτις τῶν θαυματοποιῶν οὕτω παράδοξα ἐπαγγελλόμενος τοῦ τέλους ἔτυχεν. Ἀλλὰ Σωκράτης, καὶ εἴτις ἄλλος ἐν διαλεκτικῇ δεινὸς, αὐτοὺς δὲ τοὺς προςδιαλεγομένους μάρτυρας προΐσταται τῶν οἰκείων λόγων. Ταῦτα μὲν οὖν κοινῇ τεθεωρείσθω περὶ τῶν ἐγκειμένων ῥημάτων· τῶν δὲ καθ' ἕκαστα τὸ μὲν προτρέπειν τὸν νεανίσκον εἰς τὴν ἀπόδειξιν τῆς τῶν δικαίων καὶ συμφερόντων ἑτερότητος, γυμνάζειν πως αὐτὸν προτίθεται περὶ τοὺς διαλεκτικοὺς ἀγῶνας καὶ περὶ ἅπασαν τὴν τῶν λόγων τέχνην. Δεῖ γὰρ καὶ ταύτης, ὡς ὑπουργοῦ, τοῖς μέλλουσιν ἔσεσθαι

— *συμφέροντα ἄλλῳ*] D ut Edd. *συμφέροντά ἐστιν, ἄλλῳ γε*. — *τέταρτος*] D *δεύτερος* (sic). Nimirum falsam lectionem castigavit doctior librarius. Et vero in Scholiis codicis Clarkiani ad proxime sequentia dialogi nostri verba adjecta est *quinti* syllogismi notatio. — *καὶ τῶν συμφερόντων*] B om. *τῶν*. Proxime cod. D: *τὸν σωκράτην*. — *τὴν δὲ ἐπιστήμην*] B om. *δέ*. — *προςτίθησι*] D *τίθησι*. — *ψυχὴν, ἥτις*] D *ψυχήν. ἥ́τις* ex quo corrigas: *ψυχήν. Ἤ τις κτλ.* Mox post *αὐτοὺς* del. vid. *δὲ*. — *τεθεωρείσθω*] cett. *τεθεωρήσθω*, bene; sed E ut noster. — *γυμνάζειν πως*] B *γυμνάζει πῶς*.

συμβούλοις ἀγαθοῖς. Τὸ δὲ ὑβριστὴν τὸν Σωκράτην καλεῖν εἴρηται διὰ τὸ φάναι ἐκεῖνον ἐν ἐμοὶ ἐμμελέτησον. Τὴν γὰρ παῤῥησίαν εἰς τὴν ὕβριν μετέβαλε, καὶ τὸ ἐλεγκτικὸν δὲ καὶ τὸ πληκτικὸν ὕβρεως ποιεῖται σημεῖον. Καὶ ἐν Συμποσίῳ δὲ Σατύρου τινὸς αὐτὸν ὑβριστοῦ φησι δορὰν περιβεβλημένον, ἔνδοθεν ἀνοιχθέντα ἀγάλματα δεικνύναι θαυμαστά. Τότε γὰρ ἤδη συνησθημένος ἦν τῆς Σωκράτους ἐπιστήμης. Τὸ δὲ καὶ τὸν Σωκράτην μὴ ἀποπέμπεσθαι τὸ ὄνομα τῆς ὕβρεως τὸ ἀμυδρὸν αὐτοῦ δείκνυσι καὶ τὸ ὑψηλὸν καὶ τὸ περιφρονεῖν ἁπάντων τῶν χειρόνων, καὶ ἡ ἐπαγγελία τοῦ τὰ ἀντικείμενα τοῖς ἐκείνου δόγμασιν ἀποδείξειν οὐχ ὑβριστὴν αὐτὸν ἀποφαίνει περὶ τοὺς ἄλλους, ἀλλὰ ἀγωνιστὴν ὑπὲρ τῆς ἀληθείας. Τὸν γὰρ δικαιοσύνης κατηγορημένης καὶ διασπωμένης ἀπὸ τοῦ συμφέροντος καὶ τοῦ ἀγαθοῦ μὴ ὑπερδοκεῖν ὄντως οὐ δικαίων ἐστὶν, ὥςπερ που λέγει καὶ αὐτὸς ἐν Πολιτείᾳ. Πρὸς δὴ τούτοις τὸ τὰς ἀποκρίσεις διαφεύγειν αἰτίαν

— τὸ δὲ ὑβριστὴν] B τὸν δὲ ὑβρ. — διὰ τὸ φάναι] B διὰ τὸ φαίνει (sic). in marg. γρ. φάναι. Ad proxima verba in marg. codicis D adposita sunt haec Σημ. μετάληψιν. Nimirum vult intelligi librarius, Alcibiadem uti h. l. illo genere *declinationis* sive *translationis* quam in caussis forensibus Rhetores τὴν μετάληψιν dicant. De qua vid. Ernest. Lex. technol. p. 212 sq. — Σατύρου τινὸς] B Σατύρου τιτθός. — φησι δορὰν] B inverso ordine. Est locus Platonis in Sympos. p. 215. a. b. — Bekk. II, 2. p. 452. — Bip. T. X. — Wolf. c. 32. p. 101. ibid. not. — τῆς Σωκρ.] D τῆς τοῦ Σωκρ. — Ceterum his verbis declarat Proclus ea, quae in Convivio suo Plato facta memorat, ad maturiorem Alcibiadis aetatem pertinere, quam quae idem scriptor in hoc dialogo. — Σωκράτην] A Σωκράτη. D Σωκράτ... (sic). — τῶν χειρόνων] B om. τῶν. In prioribus sententiae parum convenit τὸ ἀμυδρὸν, legendum videtur τὸ ἀμύμον vel τὸ ἄμυγνον (quod explicat Hesych. ἄμεμπτον) vel simile quid. Haec Moserus. Tu vid. Interprr. ad Hesych. I. p. 288 Albert. adde Etymol. Gud. p. 46 lin. 40—50. et Orionis Theb. Etymolog. p. 28. lin. 11 sqq. — κατηγορημένης] cett. κατηγορουμένης excepto Cod. D, qui: κακηγορουμένης. Quod propterea placet, quia Noster tangere videtur disputationem Socratis in fine libri primi et in exordio libri secundi de Republica. Idem codex D exhibet Τὸ γὰρ δικαιοσύνης κακηγ. pro Τὸν γ. δ. κ. Recte Restat tertia corruptela. Etenim verbo insolentiori ὑπερδοκεῖν substituendum est ὑπερδικεῖν. Pollux IV. 30 p. 364 ὑπεραπολογήσασθαι, ὑπερδικῆσαι, βοηθῆσαι cf. Biel. Thes. III. p. 496 et Phrynich. in Bekkeri Anecdott. grr. I. p. 68. Unde haec loci sententia existit: „Namque justitiae calumniis laesae et ab eo, quod utile et bonum est, segregatae non patrocinari „revera non est justorum hominum."

ἔχει τὸν τρίτον συλλογισμὸν τὸν ἀποδείξαντα, ὅτι ὁ ἀποκρινόμενός ἐστιν ὁ λέγων. Ἤδη γὰρ καὶ τούτου δειχθέντος οὐ βούλεται τοῖς ἐλέγχοις ἑαυτὸν ὑπεύθυνον ποιεῖν· ὅθεν δὴ καὶ ὁ Σωκράτης τῆς ὠφελείας αὐτοῦ στοχαζόμενος ἄγει πάλιν αὐτὸν εἰς τὴν διαλεκτικὴν κοινωνίαν τῶν λόγων, ἵνα θεατὴς αὐτῆς γένηται τῆς οἰκείας ἀγνοίας καὶ μάρτυς τῆς Σωκράτους ἐπιστήμης. Καὶ μὴν καὶ ἡ μετάληψις τοῦ προβλήματος πάμπολυν ἔχει λόγον. Ἐκείνου γὰρ ἕτερα τὰ δίκαια καὶ τὰ συμφέροντα εἰπόντος, αὐτὸς οὐ τοῦτο μόνον δείκνυσιν, ὅτι οὐχ ἑτέρῳ, ἀλλ' ὅτι καὶ ταὐτά. Πᾶν γὰρ πρὸς πᾶν τῷδε ἔχον, ἢ ἕτερόν ἐστιν ἢ ταὐτὸν, ἢ ὅλον ἢ μέρος· τὸ δὲ δίκαιον καὶ τὸ συμφέρον οὔτε ἕτερα εἶναι βούλεται (συνάπτει γὰρ αὐτὰ ἀλλήλοις) οὔτε ὅλον θατέρου θάτερον, ἢ μέρος· ἀντιστρέφει γὰρ, καὶ τὸ συμφέρον τίθεται δίκαιον εἶναι· τῷ δὲ ὅλῳ τὸ μέρος ἀντιστρέφειν ἀδύνατον. Ἵν' οὖν μὴ διὰ τῆς ἀποφάσεως τοῦ ἑτέρου τὸ ὅλον ἢ τὸ μέρος ἑνώσωμεν, αὐτόθεν δείκνυσι τὴν ταυτότητα τοῦ δικαίου καὶ τοῦ συμφέροντος. Ἔτι τοίνυν τὸ μαντικὸς γὰρ εἶ λέγεται μὲν, διότι καὶ ἐκεῖνος κατὰ δόξαν, ἀλλ' οὐ κατ' ἐπιστήμην, προείρηκε τὸ οὐδὲν βλαβήσεσθαι. Καὶ γὰρ οἱ μαντικοὶ δοξαστικοί τινές εἰσιν, ἀλλ' οὐκ ἐπιστήμονες. Οἱ δὲ μὴ μαντικοὶ μόνον, ἀλλὰ καὶ μάντεις ἤδη καὶ ἐπιστήμονες καὶ κρεῖττόν τι τῆς ἀνθρωπίνης ἐπιστήμης ἔχοντες. Ἐνδείκνυται δὲ καὶ, ὅτι τῶν εὐφυεστέρων ψυχῶν αἱ ὁρμαὶ καὶ αἱ κινήσεις ἀναγείρονταί πως ὑπὸ τῶν κρειττόνων, διότι καὶ παρ' ἐλπίδας πολλὰ πράττουσιν ἀγαθὰ, καίτοι χωρὶς ἐπιστήμης ἐνεργοῦσαι.

— *αὐτοῦ στοχαζόμενος*] D *ἑαυτοῦ στοχ.* — *αὐτῆς*] A B D et E *αὐτός.* Recte. Proxime de voce *μετάληψις* vid. not. in antecedentibus. — *οὐχ ἑτέρῳ*] B et D *οὐχ ἕτερα*, quod est etiam in Cod. E ex correctione. Bene. — *πρὸς πᾶν*] B *πρό* .... (lacun.) — *τῷδε ἔχον*] A et E *τῷδε ἔχει.* B *τῷδε ἔχειν.* D *ὧδε ἔχει.* Quod placet. — *ὅτι τοίνυν τὸ*] cett. non male *ἔτι τοίνυν τὸ μαντ.* excepto E. — *βλαβήσεσθαι*] D *οἶμαι βλαβήσεσθαι*, et ita Edd. — *καὶ μάντεις*] A et E om. *καί.* Bene. — *εὐφυεστέρων*] B et D *ἀφυεστέρων*, haud incommode. — *διότι καὶ*] cett. *διὸ καί*, praeter unum E. — *παρ' ἐλπίδας*] B junctim.

[ϛζ.] „Καί μοι λέγε· δικαίων φης ἔνια συμφέρειν, ἔνια „δ' οὔ; — ναί. — τί δὲ, τὰ μὲν καλὰ εἶναι αὐτῶν, τὰ „δ' οὔ; — πῶς τοῦτ' ἐρωτᾷς; — εἴ τις ἤδη σοι ἔδοξεν „αἰσχρὰ μὲν, δίκαια δὲ πράττειν. — οὐκ ἔμοιγε. — ἀλλὰ „πάντα δίκαια καὶ καλά; — ναί.“ (p. 115. a. Bekk. p. 325.)

Ἡ προκειμένη ζήτησις περὶ τῶν δικαίων καὶ τῶν συμφερόντων, εἴτε τὰ αὐτά ἐστιν εἴτε διῄρηται ἀπ' ἀλλήλων καθ' ἑτερότητα τῶν ὑποκειμένων, εἰς ἅπασαν ἡμῖν συντελεῖ φιλοσοφίαν καὶ τῆς ὅλης ἀντέχεσθαι τῶν πραγμάτων ἀληθείας. Ἥτε γὰρ ἠθικὴ πᾶσα πραγματεία καὶ ἡ τοῦ ἀνθρωπείου τέλους εὕρεσις ἐκ τοῦ δόγματος εἴρηται τούτου, καὶ ἡ τῆς οὐσίας ἡμῶν θεωρία διὰ τούτου μάλιστα γίνεται καταφανής. Εἰ γάρ ἐστι τὸ δίκαιον ὡς ἀληθῶς τῷ συμφέροντι ταὐτὸν, καὶ μὴ διώρισται ταῦτα ἀπ' ἀλλήλων, ἐν ἀρετῇ μόνῃ τὸ ἀγαθὸν ὑφέστηκε, καὶ οὔτε τὰ περὶ τὸ σῶμα θεωρούμενα ὡς ἀγαθὰ συντελεῖ τι πρὸς τὴν ἀνθρωπίνην εὐδαιμονίαν, οὔτε τὰ ἔξω τοῦ σώματος πολλῷ μᾶλλον πληρώματα τοῦ ἀγαθοῦ καθέστηκεν, ἀλλ' ἓν μόνον τὸ ἀγαθὸν ἐν αὐταῖς ἵδρυται ταῖς ψυχαῖς ἄμικτον καὶ καθαρὸν καὶ ἄϋλον, καὶ μήτε τῶν σωματικῶν μήτε τῶν ἐκτὸς ἀναπιμπλάμενον ἀγαθῶν ἢ κακῶν. Εἰ δέ ἐστί τι δίκαιον μὲν, ὡς ὁ Ἀλκιβιάδου λόγος, ἀσύμφορον δὲ, καὶ αὖ πάλιν συμφέρον μὲν ἡμῖν, ἄδικον δὲ, καὶ τὰ φαινόμενα ἀγαθὰ συμπληροῦν ἀνάγκη τὴν εὐδαίμονα ζωὴν, οἷον δὴ καὶ τὴν ὑγείαν καὶ τὸν πλοῦτον· πολλὰ ἕνεκα τούτων πράτ-

φης] Cum nostro φης scripsit Astius contra grammaticorum sanctiones, quibus obtemperat cod. noster D, qui exhibet φῄς v. Buttm. ausf. gr. Sprachl. §. 109. p. 564. Fisch. ad Well. T. II. p. 493. Ceterae editiones, quae ad manum sunt, exhibent φῂς. Atque hoc usus firmaverat. — ἔνια συμφέρειν] D inserit μὲν, ut est in Edd. — πῶς τοῦτ'] B et D πῶς τοῦτο, ut Edd. — καὶ καλά] D τὰ καλά. In Edd. recte scribitur πάντα τὰ δίκαια καὶ καλά. Ad verba εἴ τις ἤδη κτλ. adscriptum est Scholion. in cod. Clark. p. 81. ed. Gaisf. ἀρχὴ τοῦ ε̄ συλλογισμοῦ. — συντελεῖ] D add. τὴν. B habet συντελῆ. — ἀντέχεσθαι] cett. ἀντέχεται. Bene. — τοῦ ἀνθρωπείου] D τῆς ἀνθρ. — εἴρηται] D ἤρτηται. Recte. — ἀλλ' ἓν μόνον] B ἀλλ' ἐν κινήσει μόνον. Ad argumentum hujus disputationis adhibe Platonem de Republica p. 335 sq. p. 19 sqq. Bekkeri. — Εἰ δέ ἐστί τι] D εἰ δὲ ἔστι τι. — ὡς ὁ Ἀλκ.] A et B om. ὁ. — πολλὰ ἕνεκα] cett. bene πολλὰ γὰρ ἕνεκα, sed E cum nostro omittit γάρ. Paulo superius malim ἀνάγκη.

τοῦσιν ἄνθρωποι, καὶ θηρῶντες τὸ ἐν τούτοις ἀγαθὸν τῆς περὶ τὸ δίκαιον ἐξίστανται φιλίας, οἷς καὶ δοκοῦσιν οἱ τῶν δικαίων ἕνεκα καὶ σωμάτων εὐεξίας καὶ χρηματισμοῦ καταφρονοῦντες δίκαια μὲν καὶ τοῖς πολλοῖς ἐπαινετὰ πράττειν, οὐ μέντοι συμφέροντα, διότι τὸ συμφέρον οὐχ ὁρῶσιν ἔνδον ἐν αὐτῇ τῇ ψυχῇ μονίμως ἑστηκὸς, ἀλλ' ἐν τοῖς ἔξω κείμενον ἐσπαρμένοις πράγμασιν, καὶ ἀναγκαίοις μᾶλλον ἢ ἀγαθοῖς, αὐτοὶ δὲ ἅτε φαντασίαν καὶ αἴσθησιν νοῦ καὶ ἐπιστήμης προστησάμενοι. Καὶ μὲν εἰ ἐστὶ τὸ δίκαιον τῷ συμφέροντι ταὐτὸν, ὡς ὁ Σωκράτους λόγος, καὶ ἡ οὐσία τοῦ ἀνθρώπου κατ' αὐτὴν ἀφώρισται τὴν ψυχὴν, τὸ δὲ σῶμα οὔτε μόριόν ἐστιν, οὔτε συμπληρωτικὸν ἡμῶν. Εἰ γὰρ δὴ καὶ τὸ σῶμα συμπληροῖ τὸν ἄνθρωπον, καὶ τὸ ἀγαθὸν τοῦ σώματος ἔσται τῶν ἀνθρωπίνων ἀγαθῶν, καὶ τὸ καλὸν ἀλυσιτελὲς οὐ τῷ σώματι μόνον, ἀλλὰ τῷ ἀνθρώπῳ. Τὰ μὲν δὴ τῶν μυρίων πλεονεκτήματα καὶ ὅσα ἐναντία, διαβαίνει καὶ εἰς τὴν τοῦ ὅλου φύσιν, ἐπειδὴ τὸ ὅλον ἐν τοῖς μέρεσιν ἔλαχε τὸ εἶναι, τὰ δὲ τῶν ὀργάνων παθήματα τὰς τῶν χρωμένων ἕξεις, καὶ εἰ πρὸς τὰς ἐνεργείας αὐτῶν εἴη πολλάκις ἐμπόδια. Ὥςτε εἴπερ ἐστὶ τὸ δίκαιον τῷ συμφέροντι ταὐτὸν, ὅπου τὸ δίκαιον, ἐκεῖ καὶ τὸ συμφέρον. Ἀλλὰ μὴν, ὅπου τὸ ἀγαθὸν ἡμῶν ὑπάρχει διαφερόντως, ἐκεῖ καὶ τὸ εἶναι ἔχομεν. Οὐ γὰρ ἐν ἄλλῳ μὲν ἡμῶν ἡ οὐσία, κατ' ἄλλο δὲ τελειούμεθα, ἀλλ' ὅπου τὸ τοῦ ἀνθρώπου εἶδος, ἐκεῖ καὶ ἡ τοῦ ἀνθρώπου τελειότης. Ἐν ψυχῇ ἄρα καὶ ὁ ἄνθρωπος· ἕκαστον γὰρ τῶν ὄντων ἐν αὐτῷ σύζυγον ἔχει καὶ τὸ ἀγαθόν· καὶ γὰρ τὸ πρώτιστον ὂν τοῦ ἀγαθοῦ ἔνε-

— ἐξίστανται] B ἐξίσταται. — καὶ τοῖς πολλοῖς] B καὶ ἐν τ. π. Mox D: ἐσπαρμένοις. Deinde idem: προσιστάμενοι. Nec minus idem: εἰ ἔστι. recte. — ὁ Σωκράτους] B ὁ Σωκράτης (ους superscr.). Mox D: κατ' αὐτὸν τὴν ψυχὴν. Idem deinde: τῶν ἀνθρωπίνον ἀγαθὸν καὶ τὸ καλὸν. — ἀλλὰ τῷ ἀνθρώπῳ] B et D ἀλλὰ καὶ τ. ἀνθρ. In marg. cod. D περὶ μορίου καὶ ὀργάνου. — ἐναντία διαβαίνει] B ἀντιδιαβαίνει. — ἕξεις] cett. add. οὐ μεταβάλλει, sed E nonnisi in margine. Et necessario adduntur. Sed in D non legitur καὶ ante εἰ. — Ὥςτε εἴπερ ἐστὶ] D ὥςτ' εἴπερ ἐστι. — ἐκεῖ καὶ τὸ συμφέρον] cett. commode add. ἐν ψυχῇ δὲ τὸ δίκαιον· ὥςτε ἐν ψυχῇ καὶ τὸ συμφέρον, sed E cum nostro haec omittit. — ἀλλ' ὅπου τὸ] B om. τὸ. — ἀγαθὸν καὶ γὰρ ..... περὶ τὸ ἀγαθὸν] om. B.

κα καὶ περὶ τὸ ἀγαθὸν ὑφέστηκεν. Ὅπου τοίνυν τὸ εἶναι πᾶσιν, ἐκεῖ καὶ τὸ εὖ εἶναι. Καὶ ἀδύνατον σῶμα μὲν εἶναι τὸν ἄνθρωπον, ἐν ἄλλῳ δὲ τὴν τελειότητα ἔξω σώματος, καὶ τὸ μὲν συναμφότερον εἶναι, κατὰ δὲ ψυχὴν μόνην ἀφώρισται τὸ ἀνθρώπειον ἀγαθόν. Ἔτι τοίνυν ἡ τοῦ ἀγαθοῦ ἔφεσις σωστικὴ τῶν ἐφιεμένων ἐστίν. Ὡς γὰρ καὶ ὁ ἐν Πολιτείᾳ Σωκράτης διώρισε, τὸ μὲν ἑκάστου σωστικόν ἐστι τὸ ἀγαθὸν, τὸ δὲ ἑκάστου φθαρτικὸν τὸ κακόν. Εἰ μὲν οὖν ἐν ψυχῇ τὸ ἀγαθὸν ἔχοντες ἐν ἐκείνῃ καὶ τὸ εἶναι ἔχομεν, κατὰ φύσιν ἂν καὶ τοῦ ἀγαθοῦ τυγχάνομεν τῆς ἐφέσεως. Εἰ δὲ τὸ μὲν κατὰ τὴν ψυχὴν, τὸ δὲ κατὰ τὸ συναμφότερον ἡμῶν εἴη, τῆς ἑαυτῶν ἐφίεσθαι συμβαίνειν ἀνάγκη φθορᾶς, εἴπερ ἄϋλον μὲν τὸ ἀγαθὸν καὶ ἔξω σώματος. Οὐδὲν δὲ δίκαιον ὀρέγεται τῆς οἰκείας φθορᾶς, ὥςτε οὐδὲ ὁ ἀπορῶν, εἰ ἄρα τὸ δίκαιον καὶ τὸ συμφέρον, ἐν ψυχῇ λέγει τὸ ἀγαθὸν ἡμῶν. Εἰ δὲ καὶ τὸ εἶναι τοῦ ἀνθρώπου ψυχικόν ἐστι καὶ οὔτε μικτὸν ἐκ ψυχῆς καὶ σώματος οὔτε σωματικὸν μόνον. Διὰ μὲν οὖν τῶν τοιούτων, ὅτι καὶ πρὸς τὴν ἠθικὴν φιλοσοφίαν καὶ πρὸς τὴν εὕρεσιν τῆς ἀνθρώπου φύσεως ἡ προκειμένη συμβάλλεται ζήτησις, οἶμαι γεγονέναι καταφανές· ὅτι δὲ καὶ πρὸς θεολογίαν ἀφορμὰς παρέχεται θαυμαστὰς, μάθοιμεν ἂν μνημονεύσαντες, ὡς τὸ μὲν δίκαιον τὴν ὅλην οὐσίαν συνέχει τῶν ψυχῶν. Κατὰ γὰρ τὰς ἀναλογίας ὑποστᾶσαι πάσας κατὰ δίκην δηλονότι τὴν τούτου οὐσίαν διῃρέθησαν καὶ τὰς δυνάμεις. Τὸ δὲ αὖ καλὸν τὴν νοερὰν ὑπόστασιν ἀφωρίζει· διὸ καὶ ἐραστόν ἐστιν ὁ

— *τὴν τελειότητα*] cett. bene add. *ἔχειν*. Mox cod. E in margine *ἀφωρῖσθαι*, quod placet, nisi quod scribendum *ἀφωρίσθαι*, ut est in Cod. D. — Proxime ad verba *ὁ ἐν Πολιτείᾳ Σωκρ.* adhibe locos laudd. et insuper libr. X. p. 608 sq. p. 491 sqq. Bekkeri. — *τυγχάνομεν*] D *τυγχάνοιμεν*. Quod non displicet. — *κατὰ τὴν ψυχὴν*] D om. *τὴν*. — *δίκαιον ὀρέγεται*] D *τῶν ὄντων ὀρέγεται*. — *καὶ τὸ συμφέρον*] D om. *καὶ τὸ*. — *εἰ δὲ*] Post haec ceteri lacunae signum habent, quam excipiunt *καὶ τὸ εἶναι*, sed E plane ut noster. — *οὖν τῶν τοιούτων*] A et B cum lacuna om. *τῶν τοιούτων*. D habet *οὖν τούτων*. — *ὡς τὸ μὲν δίκαιον*] B om. *μέν*. — *ἀναλογίας ὑποστᾶσαι πάσας*] B *ἀναλογίαν ὑποστ. πάσης*. D *ἀναλογίας ὑποστᾶσαι πασ....* (lacun.) Legendum videtur *ὑποστάσεις πᾶσαι*. — *τὴν τούτου οὐσίαν*] cett. bene *τήν τε οὐσίαν*, excepto E. — *ἀφωρίζει*] cett. *ἀφορίζει*. Bene. — Proxime inspice Aristotelis libr. III. de animâ cap. 10. p. 64 sq. Sylb.

νοῦς καὶ ὀρεκτὸν, ὥς φησιν Ἀριστοτέλης. Καὶ γὰρ νοῦ μετασχόντα καλὰ πάντα, καὶ ἡ ὕλη καθ' ἑαυτὴν ἀκαλλὴς οὖσα, διότι καὶ ἀνείδεος ἅμα τε μεταλαμβάνει μορφῆς καὶ εἴδους, καὶ τῆς τοῦ κάλλους δυνάμεως ἐμφάσεις ὑποδέχεται. Τὸ δὲ ἀγαθὸν ἅπασαν τὴν θείαν οὐσίαν ἀφορίζει· πᾶν γὰρ τὸ θεῖον κατ' αὐτὴν τὴν θείαν ὕπαρξιν ἀγαθόν ἐστιν. Οἱ γὰρ οἱ θεοὶ τῶν ὄντων εἰσὶν αἴτιοι καὶ οἱ πρεσβύτεροι τῶν ὅλων, καὶ τὰ ὄντα περὶ ἑαυτοὺς ὑπέστησαν, ἀγαθοὶ κατ' οὐσίαν εἰσὶ, καὶ πᾶσι τοῖς οὖσιν ἐπιλάμπουσι τὸ ἀγαθόν. Εἰ τοίνυν τὸ δίκαιον διὰ τοῦ καλοῦ τῷ ἀγαθῷ συνδέδεται, καὶ πᾶς ὁ ψυχικὸς διάκοσμος διὰ μέσων τῶν νοερῶν ὑποστάσεων ἥνωται τοῖς θεοῖς, ὥςτε μία ἐστὶν ἡ ἀσώματος φύσις καὶ ἑνοειδὴς καὶ συννεύει πᾶσα πρὸς τὸ ἀγαθόν· ὁ δὲ μερισμὸς ἐν τοῖς εἰδώλοις ἐστὶν, οὐ δυναμένης τὰς πρωτουργοὺς αἰτίας κατὰ τὴν ἐκείνων ἀποτυπώσασθαι. Φανερὸν ἄρα ἐκ τούτων, ὅτι καὶ πρὸς θεολογίαν ἡμῖν ἡ παροῦσα ἀπόδειξις οὐ σμικρὰ συντελεῖ, καὶ πρὸς πᾶσαν, ὡς εἰπεῖν. Ἄνωθεν οὖν τὸν ὅλον ἐκθέμενοι συλλογισμὸν ἑκάστην τῶν προτάσεων αὐτὴν ἀφ' ἑαυτῆς ἀνασκεψώμεθα καὶ διωρίσωμεν, τίνες μέν εἰσι περὶ αὐτῶν ἀληθεῖς δόξαι, τίνες δὲ ἡμάρτηνται, καὶ παρὰ ποίας αἰτίας οἵαν ἑτέραν ὁδὸν ἐξετράπησαν τῆς περὶ τούτων ἐπιστήμης οἱ τἀναντία τῷ Πλάτωνι δοξάζοντες. Ὁ μὲν δὴ συλλογισμὸς ὅλος ὁ κατασκευάζων, ὅτι τὸ δίκαιον συμφέρον, οὑτωσὶ πρόεισι· πᾶν δίκαιον καλὸν, πᾶν καλὸν ἀγαθόν· πᾶν ἄρα δίκαιον ἀγαθόν· ἀλλὰ μὴν καὶ τὸ ἀγαθὸν τῷ συμφέροντι ταὐτόν· πᾶν ἄρα δίκαιον συμφέρον. Καὶ εἴ ἐστι πρώτως ἐν πρώτῳ σχήματι, τοῖς μὲν μείζοσιν ὅροις τοὺς ἐλάττονας περιλαμβάνων, τοῖς δὲ ἐλάτ-

— μεταλαμβάνει] D μεταβάλλει. — ὕλη ἀνείδεος] Stoici itemque Platonici materiam ἄποιον dicunt i. e. qualitatis expertem vid. Lennep. ad Phalarid. p. 149 et cf. cum his Procli sententiis Plotinum p. 166 seq. — οἱ γὰρ οἱ θεοὶ] cett. εἰ γὰρ οἱ θεοὶ, sed E ex correctione. Bene. — καὶ τὰ ὄντα περὶ] D καὶ εἰ τ. ο. π. — ἥνωται] D ἔνωται. Idem mox συνεύει — οὐ δυναμένης] cett. οὐ δυναμένοις. Recte. Sed fortasse post κατὰ τὴν ἐκείνων excidit ἰδέαν. — ὡς εἰπεῖν] cett. add. φιλοσοφίαν, quod necessarium est. In seqq. scribendum διορίσωμεν. — συλλογισμὸς ὅλος] in marg. Cod. D iterum a librario adscriptum est: ὁ συλλογισμὸς. — καὶ εἴ ἐστι (sic) πρώτως] cett. καὶ ἔστι πρῶτος, sed E ut Leid. At ceterorum lectio proba.

τοσι τοὺς μείζονας ἀντιστρόφους ἀποφαίνων. Πάλιν γὰρ αὖ καὶ ἀπὸ τοῦ ἀγαθοῦ ἀρξάμενος τὸ αὐτὸ δυνήσῃ συναγαγεῖν· πᾶν ἀγαθὸν καλόν· πᾶν καλὸν δίκαιον· πᾶν ἄρα ἀγαθὸν δίκαιον. Ἔστι δὲ τῷ συμφέρον τῷ ἀγαθῷ ταὐτον· ὥρα συμφέρον δίκαιόν ἐστιν· ταὐτὸν ἄρα ἐστὶ τῷ συμφέροντι τὸ δίκαιον. Οὔτε γὰρ τὸ ἀγαθὸν τῆς ψυχῆς ἐν ἄλλῳ τινὶ ἢ ἐν τῇ ἀρετῇ ὑφέστηκεν, οὔτε τὸ καλὸν, ἀλλὰ πᾶν τὸ ἀγαθὸν κατ' ἀρετὴν ἀφώρισται καὶ τὸ αὐτὸ καλόν ἐστιν, ὅπερ ἀγαθὸν, καὶ ταῦτα ἀμφότερα δίκαιά ἐστι. Κἂν γὰρ σῶφρον ᾖ καὶ ἀνδρεῖον, δίκαιόν ἐστι διὰ τὴν τῶν ἀρετῶν ἀντακολούθησιν· οὐ γάρ ἐστι σωφρονεῖν μὲν, ἀδίκως δὲ ζῆν, οὐδὲ ἀνδρίζεσθαι μὲν, στέρεσθαι δέ ποτε δικαιοσύνης, ἀλλὰ τὸ αὐτὸ τῆς ζωῆς εἶδος ἐκ πασῶν ὑφέστηκε τῶν ἀρετῶν.

[ϛη.] Ἐν μὲν οὖν ταῖς ἀρχαῖς τῶν πραγμάτων τὸ ἀγαθὸν ἐξήρηται τοῦ καλοῦ, καὶ τὸ καλὸν ὑπέρκειται τῆς δικαιοσύνης· τὸ μὲν γάρ ἐστι πρὸ τῶν νοητῶν ἐν ἀβάτοις περιδρυμένον, τὸ δὲ κρυφίως μὲν ἐν τοῖς πρώτοις τῶν νοητῶν, ἐκφανέστερον δὲ ἐν τῷ πέρατι τῆς διακοσμήσεως ἐκείνης· τὸ δὲ ἑνοειδεῖς μὲν ἐν τῇ πρωτίστῃ τάξει τῶν νοερῶν, δευτέρως δὲ

— *πάλιν γὰρ αὖ*] D om. *γὰρ*. — *ἔστι δὲ τῷ*] cett. *ἔστι δὲ τὸ*. Sed E perperam cum Leid. facit. — *τῷ ἀγαθῷ ταὐτον*] A et D *τῷ ἀγαθῷ ταὐτόν*. Bene. B *τὸ ἀγαθὸν ταὐτὸν*. — *ἄρα συμφ.*] B *τὸ ἄρα συμφ.* D *πᾶν ἄρα συμφ.* Bene. Idem mox: *τὸ ἀγαθὸν ἐξ ἀρχῆς* (sic) pro *τῆς ψυχῆς*. — *ὅπερ ἀγαθόν*] D *ὅπερ καὶ ἀγαθὸν*. — *σῶφρον ᾖ*] B *σωφρονῇ*. Mox D: *ᾖ ἢ κἂν ἀνδρεῖον*. Proxime ad verba *τὴν τῶν ἀρετῶν ἀντακολούθησιν* i. e. *mutuam consecutionem*. Nam *ἀντακολουθεῖν* dicuntur, quorum vicissim unum ex altero sequitur vid. Schweigh. ad Epictet. Tom. III. p. 243. Atque Stoici dixerunt *τὰς ἀρετὰς ἀντακολουθεῖν ἀλλήλαις*. Synesius in Dione p. 49. d. Petav. *εἰςιέναι τε καὶ συναιρεῖσθαι τὰς ἀρετὰς διὰ τὴν τῶν ἀναγκαίων ἀντακολούθησιν*. — *σωφρονεῖν μὲν*] B *σωφρονεῖ μέν*. E *σωφρονοῦν μὲν* ex correctione. — *στέρεσθαι*] B *στέργεσθαι*.

*ἐν μὲν οὖν ταῖς ἀρχαῖς*] his pergit Fragm. Procli e cod. Vossiano editum p. 107. ad calcem Plotini De Pulcritudine. Eodem loco continuatur etiam Ficini versio l. c. p. 261. — *τοῦ καλοῦ*] A et B *τοῦ κάλλους*. Ficinus: „Bonum supereminet pulcritudinem." — *περιδρυμένον*] B melius *περιϊδρυμένον*. frg. Prcl. *περὶ δρυμενὸν*. Cod. E in margine: Leg. *προϊδρυμένον*. D *ὑπεριδρυμένον*. recte. Fic. vertens *in loco inaccessibili situm*, dubium relinquit nobis, quid legerit. Vel *προϊδρ.* in libris suis habuit vel simplex *ἱδρυμένον*, ut Plotinus de pulcrit. p. 52. B. — *ἑνοειδεῖς*] A E et B *ἑνοειδῶς*, ut Fic. vertit *Justitia unite quidem*; inde legendum *τὸ δὲ δίκαιον ἑνοειδῶς μέν*.

ἐν τῷ τέλει τῆς νοερᾶς προόδου τῶν θεῶν. Καὶ αὖ πάλιν τὸ μὲν ἀγαθὸν ἐν τοῖς θεοῖς, τὸ δὲ καλὸν ἐν τοῖς νοῖς, τὸ δὲ δίκαιον ἐν ταῖς ψυχαῖς· ὅθεν δὴ καὶ τὸ μὲν δίκαιον καλόν ἐστιν, οὐ πᾶν δὲ τὸ καλὸν δίκαιον, ἀλλ' ἡ τοῦ καλοῦ αἰτία τοῦ ἀγαθοῦ ὑφέστηκε, καὶ πᾶν μὲν τὸ καλὸν ἀγαθόν, ἡ δὲ πληγὴ τῶν ὅλων ἀγαθῶν ὑπερήπλωται παντὸς τοῦ καλοῦ, καὶ τὸ μὲν δίκαιον, ἀγαθόν, διὰ μέσου τοῦ καλοῦ [τῷ ὑπερήπλωται παντὸς τοῦ καλοῦ, καὶ τὸ μὲν δίκαιον ἀγαθὸν διὰ μέσου τοῦ καλοῦ] τῷ ἀγαθῷ συναπτόμενον, τὸ δὲ ἀγαθὸν ἐπέκεινα ἀμφοῖν. Οὕτω δ' ἂν εὕροις καὶ εἰς τὰ ἔσχατα τῶν ὄντων ἀποβλέπων, τὸ μὲν ὑλικὸν αἴτιον, εἰ καὶ ἀγαθόν ἐστιν, αἰσχρὸν ὑπάρχει καὶ ἀκαλλές· τοῦ γὰρ ἑνὸς μὲν μετέχον, ἄμοιρόν ἐστιν εἴδους, τὸ δὲ αἰσθητὸν καλοῦ μὲν ἔμφασιν ἔχει, δικαιοσύνης δὲ οὔ. Καὶ γὰρ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης δικαιοσύνης φησὶ καὶ σωφροσύνης οὐδέν ἐστι φέγγος ἐν τοῖς τῇδε ὁμοιώμασι. Νῦν δὲ κάλλος μόνον ταύτην ἔχει μοῖραν, ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον· ὅπου μὲν ἄρα τὸ δίκαιον, ἐκεῖ καὶ τὸ καλόν, καὶ ὅπου τὸ καλόν, ἐκεῖ καὶ τὸ ἀγαθόν, εἴτε εἰς τὰς πρωτίστας ἀρχὰς ἀπιδεῖν ἐθέλῃς, εἴτε εἰς τὰς ἐκείνων μέχρι τῶν ἐσχάτων ἐλλάμψεις· τοῦ μὲν γὰρ ἀγαθοῦ πάντα ἀπολαύει· πάντων γάρ ἐστιν ἀρχή· τοῦ δὲ καλοῦ τὰ εἴδους μετέχοντα μόνα, τοῦ δὲ δικαίου τὰ ψυχῆς· ἐν δὲ τῷ μέσῳ κέντρῳ τῶν ὄντων ἁπάντων, οἷον δή ἐστιν ἡ ψυχή, πάντα συνήνωται ταῦτα ἀλλήλοιν, τὸ ἀγαθόν, τὸ καλόν, τὸ δίκαιον, καὶ τό,τε

— *ἐν τῷ τέλει*] frg. Procl. *ἐν τὸ τέλος*. Ad rem v. Fragm. Orph. p. 508. Herm. ex Proclo nostro. — *ἐν τοῖς νοῖς*] B *ἐν τοῖς νόεροῖς*. — *ἡ τοῦ καλοῦ*] D A et B *ἡ τοῦ κάλλους*. E *κάλλους* in marg. *ἴσ. καλοῦ*. — *τοῦ ἀγαθοῦ ὑφέστ.*] B pro *τοῦ ἀγαθοῦ* habet *αὐτοῦ*. A om. *ἀγαθοῦ*. Fic. *justitiam antecedit*, unde conjicias Proclum reliquisse: *τοῦ δικαίου προϋφέστηκε*. — *πληγὴ*] A *πηγὴ* etiam B et E. Bene. — *τῷ ὑπερήπλωται .... διὰ μέσου*] cett. om. neque vero Cod. E. Nimirum perperam repetita sunt verba: *τῷ ὑπερηπλ. καλοῦ*. — *τὸ μὲν ὑλικὸν αἴτιον*] Cf. Plotin. de Pulcrit. p. 52. A. ib. Annot. — *ἑνὸς μὲν*] B *ἑνὸς μὴ*. — *καλοῦ μὲν ἔμφ.*] A et B *κάλλους μὲν ἔμφ.* D *κάλλει*. E ut supra *κάλλους* et in marg. *ἴσ. καλοῦ*. Locus Platonis est in Phaedro p. 250. b. Bip. T. X. Bekk. I, 1. p. 47. Heindf. p. 262. Ast. p. 26. et Hermias ad eum p. 157. — *ἔσχε μοῖραν*] B *ἔχει μοῖραν*. — *ἀπιδεῖν ἐθέλῃς*] A *ἐπιδεῖν ἐθέλεις*. B *ἐπιδεῖν ἐθέλει*. Leg. *ἀπιδεῖν ἐθέλεις*, ut est in Cod. D. — *ἀλλήλοιν*] A et B *ἀλλήλοις*. Post *καλόν ἐστιν* in seqq. Fic. addit *et justum*, unde colligas *τὸ δίκαιον*

ἀγαθὸν αὐτῆς καλόν ἐστιν, καὶ τὸ δίκαιον ἅμα καλὸν καὶ ἀγαθόν. Καὶ οὐκ ἐπὶ ταύτης μόνον τῆς τριάδος ἀληθὴς ὁ λόγος, ἀλλὰ καὶ ἐπ' ἄλλων πολλῶν· οἷον τὸ ὂν ἐπέκεινα ζωῆς ἐστι, καὶ ζωὴ τοῦ νοῦ ἐπέκεινα ἐν ταῖς ἀρχαῖς· καὶ αὖ ἐν τοῖς ἀποτελέσμασιν οὐ πᾶν τὸ τοῦ ὄντος μετέχον καὶ ζωῆς ἐστι μετέχον, οὐδὲ πᾶν τὸ ζῶον καὶ νοῦ μετείληφεν, ἀλλ' ἔμπαλιν τὰ μὲν νοοῦντα πάντα καὶ ζῇ καὶ ἔστι, τὰ δὲ ζῶντα τοῦ εἶναι μετέχει, καὶ ὅμως τοιαύτης οὔσης ἐν τοῖς ὅροις, κατὰ δὲ τὴν τριάδα ταύτην διαφορὰν ἐν τῇ ψυχῇ συνήνωται ἀλλήλοις, καὶ τὸ μὲν ὂν ζωή τε καὶ νοῦς ἐστιν, ἡ δὲ ζωὴ νοῦς καὶ οὐσία καὶ ζωή. Μία γάρ ἐστιν ἁπλότης ἐν αὐτῇ καὶ ὑπόστασις μία, καὶ οὔτε τὸ ζῆν ἐπακτὸν οὔτε τὸ νοεῖν, ἀλλ' ὁ μὲν νοῦς αὐτῆς ζῶν καὶ οὐσιώδης ἐστὶν, ἡ δὲ ζωὴ νοερὰ κατ' οὐσίαν, ἡ δὲ οὐσία καθ' ὑπόστασιν. Καὶ πάντῃ οὖν ἐστι πάντα, καὶ ἓν ἐκ πάντων. Κατὰ τὰ αὐτὰ γοῦν καὶ τὸ ἀγαθὸν αὐτῆς κάλλει διαφέρει καὶ δικαιοσύνῃ, καὶ τὸ καλὸν τέλειόν ἐστι καὶ ἀγαθὸν καὶ πάντως δίκαιον, καὶ τὸ δίκαιον τῷ καλῷ καὶ τῷ

a sequentibus esse absorptum. Post *καὶ ἀγαθὸν* locus rursus integrandus videtur ex Ficini interpretatione: *pulchrum similiter et bonum est et justum*: *καὶ τὸ καλὸν ἅμα ἀγαθὸν καὶ δίκαιον.* — *ἐπὶ ταύτης μόνον*] B om. *μόνον.* — *ἀληθὴς ὁ λόγος*] A et B *ὁ λόγος ἀληθής.* — *ἄλλων πολλῶν*] B om. *πολλῶν.* — De his trinitatibus cf. Proclum in Theolog. Platon. III. 11. p. 139 sqq. — *καὶ ζῇ*] B *ἔζη.* — *ἐν τοῖς ὅροις*] A et B *ἐν τοῖς ἄκροις.* — *διαφορὰν*] A et B *διαφορᾶς*, hoc etiam Cod. E habet in margine. Fic. *cum vero talis sit in extremis, per trinitatem ejusmodi differentia in animâ confluunt.* Unde legendum videtur: *κατὰ δὴ τ.—διάφορα ε. τ. ψ. σ. ἀλλήλ.* — Paulo inferius post verba *νοῦς καὶ οὐσία* excidisse videntur: *ὁ δὲ νοῦς καὶ οὐσία*, cum Fic. vertat: *Intellectus autem et essentia similiter est et vita.* Haec Moserus. Priorem locum ita constituendum esse judicat Censor Batavus, vir doctus: *καὶ ὅμως τοιαύτης οὔσης ἐν τοῖς ὅροις κατὰ τὴν* (deleto *δὲ*) *τριάδα ταύτην διαφορᾶς, ἐν τῇ ψυχῇ συνήνωται ἀλλήλοις*: „Cum vero tale sit discrimen in extremis (scil. *ἐν τῷ ὄντι καὶ τῷ νῷ*) secundum illam triadem, attamen illa (scil.: *τὸ ὂν, ἡ ζωὴ, ὁ νοῦς*) in animâ sibi invicem conjunguntur." Placet [ipso Ficino consentiente, si non post *extremis*, sed post *differentia* distinguitur.] ac fortasse etiam placeat lectio codicum A et B *ἐν τοῖς ἄκροις*, nisi pro interpretamento verborum: *ἐν τοῖς ὅροις* habere malueris. — *τὸ μὲν ὂν*] B *τὸ μὲν οὔ.* — *ἐπακτόν*] B *ἐπ' αὐτόν.* — *καθ' ὑπόστασιν*] A et B om. Si post *ὑπόστασιν* addideris *νοερὰ καὶ ζῶσα*, integrum habebis textum, quo lacunoso Fic. ipse usus esse videtur vertens: *Essentia denique intellectualis et vivens*, omissis his verbis: *per substantiam*, quae, ut notavimus, item absunt a Codd. A et B. — In seqq. Fic. post *καὶ τὸ καλὸν* non legisse videtur *τέλειον*, neque *πάντως* ante *δίκαιον.* — *ἓν ἐκ πάντων*] B om. *ἕν.*

ἀγαθῷ συγκέκραται· καὶ τὸ μὲν ὑποκείμενον ἕν, οἱ δὲ λόγοι διάφοροι. Καὶ αὖ καὶ τοῦτο μήτε τὴν ταυτότητα τῶν τριῶν τούτων κατὰ τοὺς λόγους νομίζομεν, μήτε τὴν ἑτερότητα κατὰ τὸ ὑποκείμενον, ἀλλὰ τοὺς μὲν λόγους διαφόρους αὐτῶν φυλάττομεν, τὸ δὲ ὑποκείμενον ἕν. Διότι δὴ πανταχοῦ κατὰ τὰς ἐνεργείας τῆς ψυχῆς συνυφέστηκε τὰ τρία ταῦτα ἀλλήλοις. Ὥςπερ γὰρ οἱ μὲν λόγοι τῶν ἀρετῶν εἰσι διαφέροντες, ἓν δὲ τὸ πασῶν ἐστι μετειληφὸς, καὶ οὐκ ἐνδέχεται σωφροσύνης μὲν μετέχειν, δικαιοσύνης δὲ ἀμοιροῦν, ἢ τούτων μὲν μετέχειν, ἄνευ δὲ τῶν ἄλλων ἀρετῶν, οὕτω δὴ καὶ ἡ τριὰς αὕτη συνήνωται ἑαυτῇ καὶ πᾶν τὸ ἀγαθὸν ὁμοῦ καὶ τοῦ καλοῦ πλῆρές ἐστι καὶ τοῦ δικαίου, καὶ τούτων ἑκάτερον μετ' ἐκείνου συνειςέρχεται. Διὸ καὶ ὁ Σωκράτης διὰ τοῦ καλοῦ τῷ ἀγαθῷ συνῆψε τὸ δίκαιον· τοῦτο γὰρ μέσον ἐστὶ καὶ σύνδεσμος ἐκείνων, δεσμὸς δὲ κάλλιστος, φησὶν ὁ Τίμαιος, ὃς ἂν ἑαυτόν τε καὶ τὰ συνδούμενα ὅτι μάλιστα ἓν ποιεῖ· πολλῷ δὴ οὖν μᾶλλον παντὸς ἄλλου δεσμοῦ τὸ καλὸν αὐτὸ συναγωγόν ἐστι καὶ ἑνωτικὸν τῶν δύο τούτων, τοῦ τε δικαίου καὶ τοῦ ἀγαθοῦ.

[ϛθ.] Περὶ μὲν οὖν τῆς ὅλης ἀποδείξεως τοσαῦτα προειρήσθω· καθ' ἑκάστην δὲ τῶν προτάσεων ἑξῆς τὴν ἀλήθειαν θεωρήσωμεν πρὸς δὴ τὴν λέγουσαν, πᾶν τὸ δίκαιον εἶναι καλὸν, οἱ μὲν εὖ πεφυκότες οὐκ ἄν ποτε ἐνσταῖεν. Γεγόνασι δέ τινες καὶ ἔσονται Θρασύμαχοι καὶ Καλλικλεῖς καὶ ἄλλο

— *μήτε τὴν ταυτότητα .... νομίζομεν*] haec omittit Fragmentum Prcl. ad calcem Plotini de Pulcr. editum. Sed Ficinum ea in libris suis legisse arguit ejus versio. — *φυλάττομεν*] D *φυλάττωμεν*. [etiam supra leg. vid. *νομίζωμεν*.] — *ἓν δὲ τὸ .... μετειληφὸς*] B *ἐν δὲ τὸ .... κατειληφὸς*. — *σωφροσύνης μέν .... δικαιοσύνης*] D A et B *σωφροσύνης* et *δικαιοσύνης* habent ordine inverso. Cod. E voci *σωφροσύνης* suprascriptum habet *δικαιοσ.*, et statim pro *δικαιοσ.* exhibet *σωφροσ.* Tum *ἀμοιρεῖν* pro *ἀμοιροῦν* recte est in omnibus libris praeter Leid. — Ad verba *Διὸ καὶ ὁ Σωκράτης* cf. Platon. Alcib. I. p. 115 seq. — Bekk. II, 3. p. 325 sqq. p. 134—137. Buttm. et notam ad Plotin. de Pulcr. p. 55. D. E. — Et ad verba *δεσμὸς δὲ* v. Plat. in Timaeo p. 31. c. Bip. T. IX. Bekk. III, 2. p. 28. — *ὅς ἂν ἑαυτόν τε*] Frg. Prcl. *ὃς ἑαυτὸν*. [Edd. *αὑτόν*.] — *ἓν ποιεῖ*] D A et B *ἓν ποιῇ*.

*περὶ μὲν οὖν τῆς ὅλης*] haec et quae seqq. non sunt in frg. Procli edito. — *Θρασύμαχοι κτλ.*] De his Sophistis apud Platonem obviis supra posuimus. Jam illis, quae sequuntur: *Κενταυρικὸν καὶ Σατυρικὸν γένος* ferociam, impudentiam ac protervitatem, nec minus

πάμπολυ Κενταυρικὸν καὶ Σατυρικὸν γένος, οἵ φασι γενναῖαν ἀλήθειαν τὴν δικαιοσύνην καὶ οὔτε τῶν καλῶν ούτε τῶν φρονίμων ἐπιτηδευμάτων· οἱ δὲ καλὸν μὲν εἶναι συγχωροῦσιν αἰσχυνόμενοι τὴν τῶν πολλῶν δόξαν, νόμῳ δὲ καλὸν, ἀλλ' οὐ φύσει. Καὶ γὰρ καὶ Πῶλος ὁ Ἀκραγαντῖνος καὶ ἄλλοι πολλοὶ ταύτης προύστησαν τῆς δόξης, οἵ καί φασι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι νόμῳ μὲν αἴσχιον, τῇ δὲ φύσει κάλλιον, διϊστάντες τὴν ὡς ἀληθῶς νόμου ἀπὸ τῆς φύσεως τῶν πραγμάτων, ἄλλα μὲν τὰ κατὰ νόμον αἰσχρὰ καὶ καλὰ λέγοντες, ἄλλα δὲ τὰ κατὰ φύσιν. Πρὸς δὴ ταύτας τὰς δόξας ὁ Σωκράτης ἱστάμενος ἐν πολιτείᾳ καὶ δεικνὺς, ὅτι ὁ δίκαιος ἐπιστήμων ἐστὶ καὶ οὐκ εὐήθης, ὡς ὁ ἐκείνων λόγος, στοιχεῖον ἔθετο τοῦ μὲν ἐπιστήμονος τὸ τοῦ μὲν ὁμοίου πλεονεκτεῖν μὴ βούλεσθαι, τοῦ δὲ ἀνομοίου· καὶ γὰρ ὁ ἰατρὸς οὐ τῶν ἰατρῶν ἐθέλει πλέον ἔχειν, ἀλλὰ τῶν μὴ ἰατρῶν, ἐπεὶ τοῖς γε ἰατροῖς ἐθέλοι ἂν τὰ αὐτὰ λέγειν, ἐπείπερ καὶ δέδεικται, ὅτι τοῖς ἐπιστήμοσι τὰ αὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν. Ὁμοίως τοίνυν καὶ ὁ ἀριθμητικὸς καὶ ὁ γεωμέτρης καὶ τῶν ἐπιστημόνων ἕκαστος. Τοῦ δὲ ἀνεπιστήμονος τὸ πάντων ὡσαύτως ἐθέλειν πλεονεκτεῖν καὶ τῶν ὁμοίων δήπου καὶ τῶν ἀνομοίων· οὐ γὰρ ἔχει παρ' ἑαυτῷ διάκρισιν ἐπιστήμης καὶ ἀνεπιστημοσύνης, καὶ ὅλως τῷ μὲν ἀγαθῷ τὸ κακὸν ἠναντίωται μόνον, τῷ δὲ κακῷ καὶ τὸ καλὸν καὶ τὸ ἀγαθόν· ἀναιρετικὸν οὖν ἐστι τοῦ ἀγαθοῦ καὶ

versutiam istorum Sophistarum declarari non est, quod multis verbis explicem. Vide modo Dion. Chrysostom. Orat. IV. p. 80. p. 184 Reisk.. *ἄχρηστα καὶ ἀλλόκοτα γεννῆσαι τέκνα, τὸ τῶν Κενταύρων γένος ποικίλον καὶ συμπεφορημένον.* Hinc apud Aristophanem in Ranis *κενταυρικῶς* i. e. *ἀγροίκως* explicante Photio in Lex. gr. p. 115. — *γενναῖαν*] Cod. E in marg. *ἐνιαίαν ἴσ.* Cod. D *γενναίαν εἶναι ἀλ.* Tu lege *γενναίαν εὐήθειαν.* Tangitur enim illud Thrasymachi in Platonis Republ. I. 20. p. 348. p. 45 Bekker. ubi ille sophista justitiam *valde generosam stultitiam* appellat. Quae in memoriam redigunt gravissimum locum Thucydidis III. 82 de impudenter commutatâ verborum significatione. — *οἱ δὲ καλὸν μὲν*] B *οἱ δὲ καλούμενοι.* — *Ἀκραγαντῖνος*] A et B *κραγαντῖνος.* In Platonis Gorgia. Vid. locos supra laudd. In Cod. D non est *καί* ante *Πῶλος.* — *τὴν ὡς ἀλ. νόμου*] A D E et B *τὸν ὡς ἀλ. νόμον.* Bene. Quae ex Platonis de Rep. libris laudantur, sunt in libro primo et secundo. Vid. locos laudd. — *ἐθέλοι ἂν τὰ αὐτὰ*] A et B *ἐθέλει ἂν τὰ αὐτά.* — *ὁ ἀριθμητικός*] B om. *ὁ.* — *τὸ κακὸν*] B *τί κακόν.* Cod. D *τῷ δὲ καλῷ καὶ τὸ κακόν.*

τοῦ πρὸς αὐτὸ ἐναντίου κακοῦ. Ἐπειδὴ τοίνυν δύο ταῦτα στοιχεῖα κεῖται, τὸ μὲν ἐπιστήμης, τὸ δὲ ἀνεπιστημοσύνης, ὁ δίκαιος τοῦ μὲν ὁμοίου πλέον ἔχειν οὐκ ἐθέλει, τοῦ δὲ ἀνομοίου μόνον, ἢ ἀμφοτέρων ὡςαύτως; Ἀλλ' ὁρῶμεν, ὅτι δίκαιός τις ὢν τῶν μὲν δικαίων οὐκ ἂν βούλοιτο πλέον ἔχειν, τῶν δὲ ἀδίκων. Εἰ γὰρ καὶ τῶν ὁμοίων ἐθέλοι πλεονεκτεῖν, οὐ δίκαιος ἂν εἴη. Ὡς γὰρ τὸ ἴσον ἐν τοῖς ἴσοις ἐκβαίνει δὲ

ἀναγκαῖον ἄρα τὸν δίκαιον τοῦ μὲν ὁμοίου πλεονεκτεῖν οὐδαμῶς ἐθέλειν, τοῦ δὲ ἀνομοίου μόνον· Ἀλλὰ μὴν τοῦτο στοιχεῖον ἐπιστήμης ἐθέμεθα. Ὁ ἄρα δίκαιος ἐπιστήμων ἐστίν. Εἰ δὲ τοῦτο καλόν ἐστιν, ἡ δικαιοσύνη καὶ φύσει καλὸν, εἴπερ ἐπιστήμη σύνεστιν, ἀλλ' οὐκ αἰσχρὸν, καὶ διὰ φρόνησιν ὁ δίκαιος τοιοῦτος, ἀλλ' οὐ δι' εὐήθειαν. Ὁ μὲν οὖν Σωκράτης τὸν τρόπον τοῦτον ἐν Πολιτείᾳ τοὺς τῆς δικαιοσύνης κατηγόρους διήλεγξεν, ἐν δὲ τῷ συλλογισμῷ συνάγει μὲν εἰς ταὐτὸν τό,τε κατὰ νόμον καὶ τὸ κατὰ φύσιν, ἐπιδείκνυσι δὲ, ὅτι πανταχοῦ τὸ δίκαιον φύσει καλόν ἐστι, καὶ ἑνὸς ὄντος τοῦ κρατοῦντος καὶ πολλῶν, ὡς ὁ δίκαιος βίος κράτιστός ἐστι καὶ ἄριστος, ὁ δὲ ἄδικος πᾶν τοὐναντίον αἴσχιστός τε ἅμα καὶ κάκιστος.

[ρ.] Εἰ δὲ δεῖ ἄλλων ἀποδείξεων τῆς προτάσεως ταύτης, ἥ φησι πᾶν τὸ δίκαιον εἶναι καλὸν, φέρε καὶ ἡμεῖς αὐτὴν διὰ πλειόνων ἐπιχειρημάτων γνωριμωτέραν ποιήσωμεν. Ἐπειδὴ τοίνυν ἡ ψυχὴ πλῆθός ἐστι καὶ τὸ μέν ἐστιν αὐτῆς πρῶτον, τὸ δὲ μέσον, τὸ δὲ τελευταῖον, πότε φαμὲν ἐν ταύτῃ γίνεσθαι δικαιοσύνην; ἆρα ὅταν τὸ μέσον ἢ τὸ ἔσχατον ἄρχειν ἐπιχειρῇ τῶν βελτιόνων, ἢ ὅταν τὸ πρώτιστον τοῦ μέσου καὶ τὸ μέσον τοῦ τελευταίου κρατῇ; ἀλλ' εἰ μὲν, ὅταν τὰ χείρονα δυναστεύῃ

— ὁ δίκαιος] cett. bene add. πότερον, neque vero Cod. E. — βούλοιτο πλέον ἔχειν] B β. πλ. ἔχει. — ἐθέλοι] B et D ἐθέλει. — ἀναγκαῖον] D ἀνάγκη. — δίκαιος τοιοῦτος] B δίκ. οὗτος. — ἐπιδείκνυσι δὲ] B ἐπιδ. καί. — αἴσχιστός] B om. τε.

εἰ δὲ δεῖ ἄλλων] His pergit fragm. Procli editum p. 113. — ἥ φησι] B ἢ φησίν. — φέρε καὶ ἡμεῖς αὐτὴν] B φέρε ἡμεῖς αὐτῆς. — ποιήσωμεν] Dst. ποιήσομεν. — τὸ δὲ τελευταῖον] B om. δὲ. — πότε φαμὲν] A et B τότε φαμέν. — ἐπιχειρῇ] B ἐπιχείρει. — κρατῇ] B κρατεῖ.

κατὰ τῶν κρειττόνων, οὐκέτ' ἂν εἴη τὰ χείρονα φύσει τοιαῦτα· ᾧ γὰρ τὸ ἄρχειν προςήκει, τοῦτο κρεῖττόν ἐστι καὶ τιμιώτερον κατὰ φύσιν. Εἰ τοίνυν ἀδύνατον τὸ αὐτὸ βέλτιον εἶναι καὶ χεῖρον τῇ φύσει, δεῖ καὶ τὸ δίκαιον τότε ἐν ταῖς ψυχαῖς θεωρεῖν, ὅταν τὸ μὲν ἄριστον ἐν αὐταῖς ἄρχη τῆς ζωῆς ὅλης, τὸ δὲ μέσον, ὑποτεταγμένον τῷ ἀμείνονι, τοῦ ἐσχάτου κρατῇ. Τότε γὰρ ἕκαστον τῶν μορίων τοῦ κατ' ἀξίαν τυγχάνει, τὸ μὲν βασιλεῦον, τὸ δὲ δορυφοροῦν, τὸ δὲ ὑπηρετοῦν ταῖς τοῦ κρείττονος δυνάμεσιν. Τὸ ἄρα δίκαιον ἀπονομητικόν ἐστι τοῦ προςήκοντος ἑκάστῳ τῶν τῆς ψυχῆς μορίων καὶ τῆς ἰδιοπραγίας αἴτιον          τὸ κατ' ἀξίαν ἔχοντος καὶ τὰ ἑαυτοῦ          εὐταξίαν περὶ τὴν ψυχὴν ὅλην ἐστὶ καὶ συμμετρία μὴ          φύσιν τὴν αὐτοῦ πράττοντος μηδέν, τὸ δὲ τεταγμένον καὶ τὸ σύμμετρον καὶ τὸ κατὰ φύσιν καλόν ἐστι· τὸ ἄρα δίκαιον          διττὸν γὰρ τὸ δίκαιον τὸ μὲν ἐν τοῖς συναλλάγμασιν ὁ τῆς ἀριθμητικῆς ἰσότητος στοχασμός ἐστι, τὸ δὲ ἐν ταῖς διανομαῖς τῆς γεωμετρίας δεῖται

— *φύσει τοιαῦτα*] A D et B *τῇ φύσει τοι.* — *τότε ἐν ταῖς ψ.*] B *τό,τε ἐν ταῖς ψυχ.* — *τὸ μὲν ἄριστον*] A *τὸ μὲν ἀόριστον*, quod idem habuit Cod. E a prima manu. Pro *ἐν αὐταῖς* Fic. legisse videtur *ἐν αὐτῇ*, vertit enim: *quod in ea optimum est*. Tum in Frgm. Procli l. c. edito p. 114. perperam expressum est *ἐν αὐταῖς, ἀρχὴ τῆς ζωῆς ὅλης*, cum sensus flagitet *ἐν αὐταῖς ἄρχῃ τῆς ζωῆς ὅλης*, et plane ita scribatur in Codd. Leid. et E, Ficino etiam consentiente, qui vertit: *quando, quod in ea optimum est, vitae totius habet imperium.* — Ad verba *τῶν μορίων* supplendum est *τῆς ψυχῆς*, quod expressit Fic. et ad rem cf. Annot. in Plotin. de Pulcr. p. 51. E. — *τῷ ἀμείνονι*] B *τῷ ἀμείνονι* (ω superscr.) (sic). — *κρατῇ*] B *κρατεῖ*. — *τὸ δὲ ὑπηρετοῦν*] frg. Prcl. *τὸ δὲ ὑπηρετῶν*. — *αἴτιον*] etiam B deinde lacunam habet, quam demum excipiunt *φύσιν τὴν αὐτοῦ*. In Cod. E lacuna ab alia manu ita expleta est: [*ἑκάστου δὲ τῶν μορίων*]. Haec lacunosa ita vertit vel potius excerpsit Ficinus: *Et officii proprii conservandi unicuique causa propriaeque dignitatis distribuendae, atque ita totius ordinis conservatio.* Sequentia, non melius habita, ut longiora, huc ex Ficini versione transscribere non visum est. Vidêsis notam 100. l. c. ubi etiam plura adduntur, quae ad rem illustrandam faciunt. — *ἑαυτοῦ*] Cod. E lacunam ita explet: [*πράττοντος*]. D *εὐταξία*. Mox post *συμμετρία μὴ* in textu lacuna est, sed in margine legitur: „supple: *μηδενὸς παρά*." Tum quae sequitur lacuna post *δίκαιον* ita expletur: [*ἴσον ἐστί*]. Tandem lacuna post *ἰσότητος* in eodem Codice expletur: [*ὡς συναλλάττοντα*]. — *στοχασμός ἐστι*] A *στοχ......* (lac.) B *στοχαστικὸν* sq. lac. quam excipiunt *ἵνα μὴ τὸν κοινωνοῦντα*. — *διανομαῖς τῆς*] frgm. Procl. et Cod. E *διανομαῖς τῆς τῆς*. A *διανομαῖς* (lacun.) *τῆς*. leg. *δ. ταῖς τῆς*. — *γεωμετρίας*] A et D

πάντως ἰσότητος. τὰ μὲν τὸ ἀριθμητικὸν ἴσον ἐπιζητεῖν, ἵνα μὴ τον κοινωνοῦντα τῶν συμβολαίων ἀδικήσωμεν τοῦ πλείονος ἀντιλαμβανόμενοι, διανέμοντα δὲ τοῖς ἀνίσοις τὰ ἄνισα κατὰ τὴν προςήκουσαν ἀξίαν νέμειν καὶ τὸ ἀνάλογον σώζειν μητρικῆς, ὡς ἔχει τὰ πρόσωπα, διαφορᾶς, οὕτω καὶ τὰ διανεμόμενα αὐτοῖς ἀξίως ἔχειν πρὸς ἄλληλα. Πᾶν μὲν οὖν τὸ δίκαιον ἶσόν ἐστιν, ὡς εἰρήκαμεν, πᾶν δὲ τὸ ἶσον καλόν· τὸ γὰρ ἄνισον αἰσχρόν ἐστι· πᾶν ἄρα τὸ δίκαιον καλόν. Τρίτον δὴ οὖν λέγομεν, ὅτι καὶ τὸ ἐν σώμασι καλὸν οὐκ ἄλλως ὑφέστηκεν, ἢ ὅταν τὸ εἶδος ἐπικρατῇ τῆς ὕλης· ἀκαλλὴς γὰρ αὔτη καὶ αἰσχρά, καὶ ὅταν κρατηθῇ τὸ εἶδος ὑπ' αὐτῆς, αἴσχους ἀναπίμπλαται καὶ ἀμορφίας, καὶ οἷον ἀνείδεον γίνεται τῇ ὑποκειμένῃ φύσει συνεξομοιούμενον. Εἰ τοίνυν καὶ ἐν ψυχῇ τὸ μὲν νοερὸν ἡμῶν εἴδους ὑπάρχει τάξιν, τὸ δὲ ἄλογον ὕλης· (νοῦς μὲν γὰρ καὶ λόγος τῆς τοῦ πέρατός ἐστι συστοιχείας, τὸ δὲ ἄλογον τῆς τοῦ ἀπείρου· φύσει γὰρ ἄμετρόν ἐστι καὶ ἀόριστον·) ἀνάγκη δήπου, καὶ ἐν ψυχῇ τὸ κάλλος ὁρᾶσθαι, τοῦ μὲν λόγου κρατοῦντος, τῶν δὲ ἀλόγων εἰδῶν τῆς ζωῆς κρατουμένων ὑπὸ λόγου καὶ φρονήσεως. Ἀλλὰ μὴν τὸ δίκαιον τῷ μὲν λόγῳ δίδωσι τὸ κράτος, τῇ δὲ ἀλογίᾳ τὸ κρατεῖσθαι. Διανέμει γὰρ ἑκατέρῳ τὸ προςῆκον, τῷ μὲν ἀρχικῷ τὸ ἄρχειν, τῷ δὲ ὑπηρετικῷ τὸ δουλεύειν· ἐπειδὴ καὶ ἡ δημιουργία τὸ ἄλογον ὑπέταξεν ἡμῖν, καὶ τῷ λόγῳ ἐν ἡμῖν

*γεωμετρικῆς*. Leg. *τῆς γεωμετρίας*. Ad verba *συναλλάγμασι* et *συμβολαίων* adhibe Photii Lex. gr. p. 405. *συμβόλαια*, quae usitatius dicuntur quam *σύμβολα*, sunt *pacta*, *conventa*. Cogitandi enim h. l. sunt *contractus* emtionis, venditionis cet. Hinc *δίκαι ἀπὸ συμβόλων* i. e. lites ex commerciis et re argentariâ natae. Vid. Aristotel. Polit. III. p. 88 Schneid. Pollux VIII. 88. Vales. ad Harpocrat. p. 326 et in notas Maussac. p. 133. [cf. Boeckh. Staatshaushalt d. Athen. I. 54. 434. cll. additamm. et Reisk. Ind. Graecit. Demosth. s. vv.] Ceterum haud alienum erit cum his Platonicis placitis conferre decretum Epicureum ap. Diog. Laert. X. 150. — *ἴσον*] A *ἶσον* [ut mox Leid. male.] — *μητρικῆς ὡς ἔχει*] A et D *γεωμετρικῶς ὡς ἔχει*. B *γεωμετρικῶς ἔχειν*. Leg. *γεωμετρικῆς, ὡς ἔχει*. — *διαφορᾶς*] D A et B *διαφοράν*. — *αἰσχρόν ἐστι*] A D E et B add. *καὶ ἀσύμμετρον· ἐπειδὴ καὶ ἀνάρμοστόν ἐστι*. — *τὸ ἐν σώμασι*] B *τὸ ἐν σώματι*. Ad rem consule Plotin. de Pulcr. p. 52. A. B ib. Annot. — *ὑφέστηκεν*] fragm. Procl. *ὑφέστημεν*. — *αἴσχους ἀναπίμπλ.*] B *αἶσχος ἀναπ.* — *συνεξομοιούμενον*] frg. Prcl. *ἐξομοιώμενον*. Leg. *ἐξομοιούμενον* vel *ἐξωμοιωμένον*. — *εἴδους ὑπάρχει*] A et E *εἴδους ἐπέχει*. Bene. B *εἴδους* (sic) *ἐπέχει*.

οἷον οἴχημα παρεσκεύασεν αὐτό· συμφέρον ἄρα καὶ δίκαιον καλόν ἐστι καὶ κάλλους αἴτιον τῇ ψυχῇ. Τέταρτον τοίνυν τὸ δίκαιον τέλειόν ἐστι καὶ ὡρισμένον, ἐπείπερ τὸ ἄδικον ἀόριστόν ἐστι καὶ ἀτελές· ἐπ' ἄπειρον δέ εἰσι καὶ οὐδαμοῦ ἵστανται τὸν τῆς δικαιοσύνης ὅρον ὑπεξελθόν· Τί οὖν τὸ δίκαιον μέτρον ἐπιφέρει καὶ πέρας, οἷς ἂν παραγένηται, καὶ τέλεια πάντα ἀποτελεῖ; τοιοῦτον δὲ ὄν, καλοποιόν ἐστι τῆς ψυχῆς· τῷ γὰρ τελείῳ, καὶ τῷ μεμετρημένῳ συμφύεται τὸ καλὸν, διότι παρὰ τῷ ἀμέτρῳ καὶ ἀορίστῳ συνυφέστηκε τὸ αἰσχρόν. Ἅμα ἄρα τὸ δίκαιον τέλειόν ἐστι καὶ μέτριον καὶ ὡρισμένον καὶ καλὸν καὶ οὐ διέστηκε ταῦτα ἀπ' ἀλλήλων κατὰ φύσιν. Πέμπτον, τοίνυν λεγέσθω, καὶ ὅτι τὸ πᾶν τοῦτο δικαιοσύνη κατεκεσόσμησεν ὁ δημιουργός· τῷ γὰρ καλλίστῳ συνέδησεν αὐτὸ τῶν δεσμῶν καὶ ἄλυτον ἐποίησε διὰ τὴν τῆς ἀναλογίας δύναμιν τὴν συνέχουσαν αὐτὸ καὶ φίλον ἑαυτῇ ποιοῦντι· τὸ δὲ ὁμοιούμενον τῷ παντὶ τῷ καλλίστῳ τῶν ὁρατῶν καὶ αὐτὸ δήπουθέν ἐστι καλόν· τὸ ἄρα δίκαιον καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶ καλὸν, καὶ οὐδαμοῦ διέζευκται τῆς τοῦ καλοῦ φύσεως. Ὅτι μὲν οὖν πᾶν τὸ δίκαιόν ἐστι καλὸν διὰ τούτων ὑπομνήσθω. Τὴν δὲ ἑξῆς ταύτην πρότασιν τὴν λέγουσαν πᾶν τὸ καλὸν ἀγαθὸν προτείνει μὲν ὁ Σωκράτης, ὁ δὲ Ἀλκιβιάδης οὐκ ἀποδέχεται· τὸ δὲ αἴτιον, ὅτι τὸ καλὸν θέσει καλὸν ὑπείληφεν εἶναι καὶ οὐ φύσει· διὸ καὶ τὸ δίκαιον συνεχώρησεν

— ἀόριστόν ἐστι καὶ ἀτελές] A et B om. ἐστι. Paulo superius pro οἴχημα recte scribitur ὄχημα in Cod. E et Frgm. edito. Ad rem cf. quae supra laudavi ad cap. 11. In seqq. pro ἐπειδὴ καὶ ἡ est in Cod. D ἐπεὶ καὶ ἡ. — ἄπειρον δέ εἰσι] fragm. Procl. ἄπειρον δὲ εἰσι. Bene. Sed paulo post scribendum ἵσταται, ut est in Cod. E et Frgm. edito. — ὑπεξελθόν] B et frag. Procl. ὑπεξελθών. — τί οὖν τὸ δίκαιον] D A et B τὸ οὖν δίκαιον, ita etiam Cod. E ex correctione. In eodem Codice verba τέλεια πάντα usque ad τῆς ψυχῆς in contextu omissa, in margine vero ab alia manu adscripta sunt. — ὡρισμένον καὶ καλὸν] B om. καί. — κατεκεσόσμησεν] cett. recte κατεκόσμησεν, sed E κατακεκόσμησεν. — αὐτὸ τῶν δεσμῶν] B ἀπὸ τῶν δ. — φίλον ἑαυτῇ ποιοῦντι] A et D φίλον ἑαυτῷ παντὶ. B φίλους ἑαυτῷ παντί. E in marg.: alter MS. ἑαυτῷ. Leg. ποιοῦσαν. — τῆς τοῦ καλοῦ φύσεως] B τῆς αὐτοῦ φύσεως. — ὑπομνήσθω] A D E et frg. Procli bene ὑπομεμνήσθω. B ὑπομιμνήσθω. Ad sequentia v. Alcib. I. p. 115. Bip. T. V. — p. 134 sqq. Buttm. Bekk. II, 3. p. 325. — καλὸν ὑπείληφεν] B τὸ καλὸν ὑπέφερεν.

εἶναι καλόν· οὕτω γὰρ ὑπείληπται παρὰ τῷ πλήθει, καὶ τὸ καλὸν τοῦ ἀγαθοῦ διέστησε· τὸ μὲν γὰρ εἶναι νομίζει κατὰ δόξαν, (τοῦτο γὰρ εἶναι καλον, τὸ πρέπον δήπου καὶ τὸ ἔνδοξον) το δὲ κατὰ ἀλήθειαν· οὐ γὰρ ἔδοξεν εἶναι θέσεσι τὸ ἀγαθόν· καὶ ταύτην τοίνυν τὴν πρότασιν ἡμεῖς ἐπιδείξομεν πάντη ἀληθεστάτην. Παντὶ δὴ οὖν τοῦτο καταφανὲς, ὅτι τὸ καλὸν ἐράσμιόν ἐστι κατὰ τὴν αὐτοῦ φύσιν· ὅπου γε καὶ τὸ ἔσχατον κάλλος ὡς ἐν εἰδώλοις φερόμενον ἐραστόν ἐστι, καὶ κινεῖ τὰς ψυχὰς . αὐτὸ καὶ ἐκπλήττει φαινόμενον ἴνδαλμα φέρον τοῦ θείου κάλλους· τοῦτο γάρ φησιν ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης· τὸ κάλλος ταύτην ἔσχε μοῖραν, ἐκφανέστατον εἶναι καὶ ἐρασμιώτατον. Ἑτοίμως, εἴτε διὰ τὸ καλεῖν ἑαυτὸ κέκραται καλον εἴτε διὰ τὸ κινεῖν καὶ θέλγειν τὰ πρὸς αὐτὰ δυνάμενα βλέπειν ἐραστόν ἐστι κατὰ φύσιν· διὸ καὶ ὁ ἔρως πρὸς τὸ καλὸν ἄγειν λέγεται τὸ ἐρῶν· ἀλλὰ δὴ πᾶν τὸ ἐραστὸν ἐφετόν. Ἔστι γὰρ ὁ ἔρως ἔφεσίς τινος ἐῤῥωμένη καὶ σύντονος, καὶ πᾶν τὸ ἐρῶν ἐφίεταί τινος, οὗ ἐστιν ἀνενδεὲς, ἅπαν δὲ τὸ

— *κατὰ ἀλήθειαν*] cett. excepto Cod. E *κατ' ἀλήθειαν.* — *θέσεσι*] D A et B *θέσει*, et pro *οὐ* Cod. D *οὐδέ.* — *ἐπιδείξομεν*] D A et B *ἐπιδείξωμεν.* — *ἐράσμιόν ἐστι*] B om. *ἐστι.* — *καὶ τὸ ἔσχατον*] B *κατὰ τὸ ἔσχ.* Ad rem cf. Plotin. l. c. p. 51. E. F. p. 53. E. ib. Annot. — *φέρον τοῦ*] B *φερόντων.* Quae sequitur lacuna post *ψυχὰς* in margine Cod. E ita expletur: *ἴσ. πρὸς ἑαυτό.* Ficini versio ita habet: „Constat pulchrum esse amabile suâpte naturâ, quandoquidem et „extrema pulchritudo divinae pulchritudinis imaginem ferens, est „amabilis, primoque aspectu animos ad se movet." — *τὸ κάλλος ταύτην*] A *τὸ κάλλους μόνον ταύτην.* Ita etiam Cod. E in margine. B *τὸ κάλλους μόνον ταύτην.* Qui sequitur locus est in Platonis Phaedro p. 250. d. Bip. T. X. — p. 264. Heindf. — p. 27. Ast. Bekk. I, 1. p. 48. — *ἑτοίμως*] A *ἐτύμως.* B et D *ἑτόμως γάρ.* E a prima manu *ἑτοίμως*, a secunda *ἐτύμως.* — *ἑαυτὸ κέκραται*] frg. Procl. *ἑαυτὸ κέκρακται.* A et D *εἰς ἑαυτὸ κέκληται.* B *εἰς ἑαυτὸν κέκληται.* E *εἰς ἑαυτὸ κέκρακται.* Ficini versio indicio est, loci partem aliter fuisse scriptam in Ficini Cod., vid. l. c. p. 121. — Ad sententiam consule Plotin. p. 51. F. ib. Annot. — Pro *ἑαυτὸ* fort. leg. *πρὸς ἑαυτὸ* et lin. seq. *αὐτὸ* pro *αὐτά.* — *τὸ καλὸν ἄγειν*] B om. *ἄγειν.* Ad seqq. *ἀλλὰ δὴ πᾶν κτλ.* vid. Plotin. p. 55. F. ib. Annot. — In verbis *ἔστι γὰρ ὁ ἔρως κτλ.* videtur Proclus etymologiam captare. Quam in rem alia suppeditabit ipse Plato Cratylo pag. 420. a. b. Bip. T. III. — p. 121. Heind. coll. p. 398. b. 53. Bekk. II, 2. p. 78 sq. — *οὗ ἐστιν ἀνενδεὲς*] A E B et D *οὗ ἐστιν ἐνδεὲς.* Et ita legendum, nisi malis *καὶ ἐνδεὲς* vel *ἂν ἐνδεές.* De re vide Diotimae colloquium cum Socrate in Plat. Symp. c. XXI., inprimis p. 201. Bip. T. X. — p. 70. ed. Wolf. coll. p. 73. extr. Bekk. II, 2. p. 424 sq.

ἐφετὸν ἀγαθόν ἐστιν· ἤτοι ὡς ἀληθῶς ἀγαθὸν ἢ φαινόμενον· πολλὰ γὰρ καὶ τῶν μὴ ἀγαθῶν ἐφετά ἐστι, διὸ τοῖς ἐφιεμένοις ὡς ἀγαθὰ φαντάζεται. Δέδεικται οὖν καὶ ὑπὸ τοῦ Σωκράτους ἐν τῷ Μένωνι σαφῶς, ὅτι ἀδύνατον εἰδότας τὸ κακὸν, ὁποῖόν ἐστιν, ἐφίεσθαι αὐτοῦ. Πᾶν οὖν τὸ ἐφετὸν ἀγαθόν ἐστι, καὶ εἰ μὲν ἐφετὸν κυρίως, καὶ ἀγαθὸν κυρίως· εἰ δὲ τοῦτο φαινόμενον εἴη, καὶ τὸ ἀγαθὸν ἔσται δήπου τοιοῦτον· ὅλως δὲ ἐφ' ἑκάστου τῶν ὅρων τοῦτο προςθετέον τὸ φαινομένως ἢ ἀληθῶς. Εἰ γὰρ καλόν ἐστι φαινόμενον, καὶ ἐραστόν ἐστι καὶ ἐφετὸν καὶ ἀγαθὸν τῷ τοιούτῳ καλῷ σύζυγον, εἰ δὲ φύσει καλὸν καὶ ἐραστὸν καὶ ἀγαθὸν ὡςαύτως. Καὶ τί γὰρ εἴη τὸ ἐφετόν; ἆρα τὸ κακόν; ἀλλὰ ἀδύνατον γινωσκόμενον ἐφετὸν γενέσθαι τινὶ τῶν ὄντων· πάντα γὰρ τὰ ὄντα τοῦ ἀγαθοῦ ἐφίεται· κακοῦ δὲ οὐδενός ἐστιν ἔφεσις, ἀλλὰ τοῦ μήτε ἀγαθοῦ μήτε κακοῦ. Ἀλλὰ πᾶν τὸ τοιοῦτον ἄλλου ἕνεκα πράττεται καὶ τέλος οὐδενός ἐστι· πᾶν δὲ τὸ ἐφετὸν τέλος, καὶ εἴ τι τῶν κακῶν ἐφετόν ἐστιν, ἀγαθὸν εἶναι φαντάζεται, καὶ εἴ τι τῷ καλῷ διάφορον, ὡςαύτως. Ἔστι τοίνυν πᾶν τὸ καλὸν ἐραστὸν, πᾶν τὸ ἐραστὸν ἐφετὸν, πᾶν ἐφετὸν ἀγαθόν· πᾶν τὸ καλὸν ἄρα ἀγαθόν· καὶ ἀντιστρέψαντι, πᾶν το ἀγαθὸν ἐφετόν. Τοῦτο μὲν οὖν αὐτόθεν δῆλον, πᾶν τὸ ἐφετὸν ἐραστόν· τοῦ γὰρ αὐτοῦ ἐστιν ὁ ἔρως καὶ ἡ ἔφεσις· διαφέρει δὲ ἀλλήλων κατὰ τὴν ἄνεσιν ἢ τὴν συντονίαν τῆς ἐφέσεως, ἐπεὶ καὶ ὁ ἐν Συμποσίῳ Σωκράτης διὰ τοῦ καλοῦ τὸν ἔρωτα καὶ πρὸς τὸ ἀγαθὸν ἀνάγει καὶ ἐραστόν φησιν εἶναι τὸ ἀγαθὸν, ὥςπερ καὶ τὸ καλόν. Εἰ οὖν πᾶν τὸ ἀγαθὸν ἐφετὸν, πᾶν δὲ τὸ ἐφετὸν ἐραστὸν, πᾶν δὲ τὸ ἐραστὸν καλόν· (προςεχῶς γὰρ

— ὑπὸ τοῦ Σωκρ.] A et B καὶ ὑπὸ τ. Σ. In Menone passim, v. c. pag. 78. d. sqq. Bip. T. IV. — pag. 26 sqq. Buttm. Bekk. II, 1. p. 342 sqq. — ἐφίεσθαι αὐτοῦ] A et B ἀφίεσθαι. — καὶ ἀγαθὸν κυρίως] om. B. Mox D φαινόμενον pro φαινομένως. — καὶ τί γὰρ] B καὶ τὸ γὰρ. D καὶ τί γὰρ ἄν. — ἀλλὰ τοῦ μήτε] D A et B ἀλλ' οὐδὲ τοῦ. — πᾶν δὲ τὸ ἐφετὸν τέλος] haec fragm. Procl. om. B πᾶν δὲ ἐφ. τέλ. habet. — ἔστι τοίνυν] A E et B εἰ τρίνυν. Qui sequitur locus Platonis est in Sympos. p. 205. Bip. T. X. — c. 24. p. 79. Wolf. Bekk. II, 2. p. 432. — ὥςπερ καὶ τὸ καλὸν] B om. καὶ. — πᾶν δὲ τὸ ἐραστὸν] frg. Prcl. om. τὸ. — In Cod. E καλὸν post ἐραστὸν ab alia manu additum est. Quae sequuntur in eodem Codice inde a προςεχῶς usque ad ἐστι in parenthesi sunt posita.

ὁ ἔρως κάλλους ἐστί·) πᾶν ἄρα τὸ ἀγαθὸν καλόν. Μὴ οὖν λεγέτω τις, ὅτι τὸ ἀγαθὸν ἐπέκεινα κάλλους, μηδ' ὅτι διττὸν τὸ ἐραστόν· οὐ γὰρ περὶ τῶν πρώτων ἀρχῶν ὁ λόγος, ἀλλὰ περὶ τῶν ἐν ἡμῖν καλῶν καὶ ἀγαθῶν· τὸ οὖν ἐν ἡμῖν ἀγαθὸν ἅμα καὶ ἐφετόν ἐστι καὶ ἐραστόν. Δι' ἔρωτος οὖν αὐτὸ κτώμεθα καὶ συντόνου περὶ αὐτοῦ σπουδῆς. Καὶ εἴ τις ἑαυτοῦ συναισθάνεται, πάντως που οἶδεν, ὅτι τοῦτο τὸ ἀγαθὸν δριμυτέρους ἔχει τοὺς ἔρωτας τῶν ἐν αἰσθήσει καλῶν· τὸ ἄρα ἀγαθὸν καλόν ἐστι. Διὸ δὴ καὶ οἱ ἐρωτικοὶ παρακελεύονται μετὰ τὸ αἰσθητὸν καλὰ ἄγειν τοὺς ἐρωμένους ἐπὶ τὸ ἐν πράξεσι καὶ ἐπιτηδεύμασι καὶ ἐπιστήμαις καὶ ἀρεταῖς κάλλος, κἀκεῖ γυμνάζειν τὸ ἐρωτικὸν ὅρμημα τῆς ψυχῆς· εἶθ' οὕτως ἐπὶ νοῦν καὶ τὸ ἐκεῖ πρωτουργὸν καὶ θεῖον κάλλος ἀνατείνεσθαι, ὡς ὄντας δηλαδὴ τοῦ καλοῦ καὶ ἐν τούτοις, ἅ φαμεν εἶναι τῆς ψυχῆς ἀγαθά. Τί γὰρ ἀρετῆς ἢ κάλιον ἐν ἡμῖν, τί δὲ τῶν ἐναντίων αἴσχιον;

[ρα.] Ταῦτα περὶ τῶν συνεκτικωτάτων εἰρήσθω προτάσεων τοῦ προκειμένου συλλογισμοῦ· τὴν δὲ λέξιν λοιπὸν τοῦ Πλάτωνος ἐξετάσωμεν. Πρῶτον μὲν οὖν τὴν θέσιν ὁρίζει τοῦ προςδιαλεγομένου· δεῖ γὰρ αὐτὴν εἶναι καταφανῆ· καὶ πότερον οὐδὲν τῶν δικαίων συμφέρον ἐστὶν, ἢ τινὰ μέν ἐστι τοιαῦτα, τινὰ δὲ οὔ. Δῆλον γὰρ, ὅτι πρὸς μὲν τὸν τὸ καθόλου ἀποφάσκοντα καὶ τὸ μερικὸν καταφάσκον ἀρκεῖ κατασκευάσαι,

Bene. Fortasse leg. *προςεχής*. — Ad verba *ὅτι τὸ ἀγ. ἐπέκεινα κάλλους* cf. Plotin. de Pulcr. p. 58. A. ubi vid. Annot. — *συναισθάνεται*] A *συνεσθάνεται*. Paulo superius in Frgm. edito et Cod. E est *περὶ αὐτὸ*. — *ὅτι τοῦτο τὸ ἀγαθὸν*] A *ὅτι τοῦτο ἀγαθόν*. — *δριμυτέρους*] A *δρυμιτέρους*. Ad rem v. Plotin. l. c. p. 56. A. Mox Cod. D *τὸ ἄρα ἀγαθὸν καὶ καλόν ἐστιν*. — *αἰσθητὸν καλὰ*] cett. bene *αἰσθητὸν καλὸν*. Ficinus, quo planius declararet Platonicum Symposium respici a Proclo, haec ita vertit: *Quapropter Diotima praecipit amatoribus*. Locus autem legitur p. 211. b. c. Bip. T. X. Bekk. II, 2. p. 444 sq. — c. 28. p. 91. Wolf. multorum ille imitationibus celebratus, et ipsius etiam Plotini, ut p. 556. A. B. et de Pulcr. p. 50. A. ubi vid. Annot. — *ὡς ὄντας δηλαδὴ*] D *ὄντως*. frg. Procl. Codd. E et B recte *ὡς ὄντος δηλαδή*. De adscensu ad mentem, intelligibilis pulcritudinis sedem, v. Plotin. de Pulcr. p. 57. G. seq. ibiq. Annot. — *ἢ κάλλιον*] D A et B *ἢ ἐπιστήμης κάλλιον*. Et ita legendum. — *τῶν ἐναντίων αἴσχιον*] his desinit fragmentum Procli editum ad calcem Plotin. de Pulcr.

*θέσιν ὁρίζει*] B *θέσιν ὁρίζειν*. — *ἀποφάσκοντα*] B *ἀποφαίνοντα*.

πρὸς δὲ τὸν τῆς μερικῆς ἀποφάσεως προϊστάμενον ἀνάγκη τὸ καθ' ὅλου κατασκευάζειν καταφατικόν· ὃ δὴ καὶ ποιήσει ὁ Σωκράτης λαβὼν, ὅτι τὸ συμφέρον οὐ καθ' ὅλου οὐ πάντων ἀποφάσκει τῶν δικαίων, ἀλλὰ τινῶν μόνον. Δεύτερον δὲ ἐπὶ τούτῳ τὴν ἐλάττονα πρότασιν ἐρωτᾷ, εἰ πᾶν τὸ δίκαιον καλὸν, καὶ δίδωσιν ὁ Ἀλκιβιάδης· ἔνδοξον γὰρ εἶναι οἴεται τὸ δίκαιον καὶ πρέπον, ἐπειδὴ ὁ Σωκράτης ὁμοῦ δικαίων καὶ συμφερόντων μνημονεύσας ἐπήγαγε· τὸ δὲ, τὰ μὲν καλὰ αὐτῶν ἐστι, τὰ δὲ οὔ, διηπόρησεν ὁ Ἀλκιβιάδης, περὶ τίνων ἤρετο· τοῦ δὲ εἰπόντος, ὅτι περὶ δικαίων, συνεχώρησεν, ὅτι πᾶν τὸ δίκαιον καλόν. Τούτων δὲ ληφθέντων καὶ τοῦ προκλήματος καὶ τῆς ἐλάσσονος προτάσεως, μέτεισιν ἐπὶ τὰ ἑξῆς ὁ Σωκράτης.

[ρβ.] „Τί δ' αὖ τὰ καλά; πότερον πάντα ἀγαθὰ, ἢ τὰ „μὲν, τάδ' οὔ; — οἶμαι ἔγωγε, ὦ Σώκρατες, ἔνια τῶν „καλῶν κακὰ εἶναι. — καὶ αἰσχρὰ ἀγαθά; — ναί. — „ἆρα λέγεις τὰ τοιάδε, οἷον, πολλοὶ ἐν πολέμῳ μὴ βοη„θήσαντες, δέον, ὑγιεῖς ἀπῆλθον; — πάνυ μὲν οὖν. — „οὐκοῦν τὴν τοιαύτην βοήθειαν καλὴν μὲν λέγεις κατὰ „τὴν ἐπιχείρησιν τοῦ σῶσαι, οὓς ἔδει· τοῦτο δέ ἐστιν „ἀνδρεία, ἢ οὔ; — ναί. — κακὴν δέ γε κατὰ τοὺς θα„νάτους καὶ ἕλκη· ἦ γάρ; — ναί. — ἆρ' οὖν οὐκ ἄλλο „μὲν ἡ ἀνδρεία, ἄλλο δὲ ὁ θάνατος; — πάνυγε. — οὐκ

— *ποιήσει ὁ Σωκράτης*] A *ποιήσει ὁ Σωκράτη.* B *ποιήσειν ὁ Σωκράτης.* — Ad illa *ἀπόφασις*, *ἀποφάσκει*, *καταφατικὸς κτλ.* vid. Sext. Empir. Pyrrhon. Hypot. I. 5 et Stephani annot. p. 201 Fabric. ubi *ἀποφάσεις dicta* sive *voces* explicatur i. e. *negationes* Scepticorum, quibus opponuntur *καταφάσεις affirmationes.* Haec eadem vocabula usurpantur oratoribus rhetoribusque vid. Ernesti Lex. technol. p. 41 et p. 176. — *τῶν δικαίων, ἀλλὰ τινῶν μόνον*] om. B. — *ἐρωτᾷ*] B *ἐρωτᾷν.* — *εἶναι οἴεται*] B et D ordine inverso. — *τὸ δὲ τὰ μὲν*] cett. *τί δὲ τὰ μὲν*, excepto Cod. E. Illi tamen probabiliorem exhibent lectionem. — *τὰ δὲ οὐ*] B *τὰ δ' οὐ.* — *ἤρετο*] D *τινῶν ἔρετο.*

*Τί δ' αὖ*] B *εἰ δ' αὖ.* — *ἔνια τῶν καλῶν*] B *ἔνια αὐτῶν καλῶν.* Post *κακὰ εἶναι* in Edd. Socrates pergit : *Ἦ καὶ αἰσχρὰ ἀγ.* Post *πολλοὶ ἐν πολέμῳ* librariorum incuria exciderunt haec, quae leguntur in Platonis Edd. : *βοηθήσαντες ἑταίρῳ ἢ οἰκείῳ τραύματά τε ἔλαβον καὶ ἀπέθανον, οἱ δ' ο ὐ* (ita enim apud Platonem est pro *μή*). — *καὶ αἰσχρὰ ἀγαθὰ*] B add. *δὲ.* A et B, quae sequuntur, omittunt usque ad *βοηθεῖν.* — *δέ ἐστιν ἀνδρεία*] D *ἐστὶν ἀνδρ.* — *κακὴν δέ γε*] D *κακὴν δέ σε.* — *οὐκ ἄρα ταὐτόν*] D *οὐκ ἄρα κατὰ ταὐτόν.* ut Edd.

„ἄρα ταὐτόν γέ ἐστι καλὸν καὶ κακὸν τὸ τοῖς φίλοις βοη-„θεῖν.“ (p. 115. a. b. Bekk. p. 325. sq.)

Δευτέραν πρότασιν ὁ Σωκράτης ἤρετο, τῷ ἀγαθῷ τὸ δίκαιον διὰ μέσον τοῦ καλοῦ συνάψαι βουλόμενος, τὴν λέγουσαν, πᾶν τὸ καλὸν ἀγαθόν· ὁ δέ γε νεανίσκος θέσει τὸ καλὸν ἡγούμενος εἶναι, καὶ ἐπὶ τὰς τῶν πολλῶν δόξας φερόμενος, ἔτι δὲ τὴν οὐσίαν ἡμῶν τὴν ἀληθινὴν ἀγνοῶν καὶ τὰ ὄργανα μὴ διορίζων ἀπὸ τῶν μερῶν, μηδὲ τὰ συμπληροῦντα τῶν ὑπουργικῶν διακρίνων, οὐ συγχωρεῖ τῇ προτάσει ταύτῃ. Λέγει γοῦν, ὅτι πολλοὶ καλὰ μὲν καὶ ἐπαινετὰ πράττουσι, κακὰ δέ. Πῶς γὰρ οὐ καλὸν τῷ Ἀντιλόχῳ τὸ βοηθῆσαι τῷ πατρὶ κινδυνεύοντι καὶ τὴν τοῦ Μέμνονος ὁρμὴν ὑπομεῖναι; πῶς δὲ οὐ κακὸν τὸ ἀποθανεῖν; ἅμα οὖν ὁ αὐτὸς καὶ καλὸν ἔπραξεν ἔργον καὶ κακῶς ἀπήλλαξεν. Ταῦτα τοῦ νεανίσκου λέγοντος ὁ Σωκράτης ἠρώτησεν, εἰ κἀκεῖνο συγχωρεῖ τὸ τὸ αἰσχρόν ποτε ἀγαθὸν εἶναι. Θαυμαστὸν μὲν γὰρ οὐδὲν ἦν, εἰ πᾶν μὲν τὸ αἰσχρὸν εἶναι κακόν, τῶν δὲ καλῶν μερίζεσθαι εἶδος, καὶ τὰ μὲν αὐτῶν εἶναι κακά, τὰ δὲ ἀγαθά. Συνομολογεῖ δὲ καὶ τοῦτο ὁ Ἀλκιβιάδης, καὶ τίθεται τὸ αἰσχρὸν ἀγαθόν ποτε γενέσθαι τοῖς πράττουσιν, οἷον εἴ τινες φίλοις κινδυνεύουσι μὴ βοηθήσαντες ἐσώθησαν, αἰσχρὰ μὲν ἔπραξαν παριδόντες τοὺς φίλους, ἀγαθὰ δὲ ἑαυτοῖς σεσωσμένοι καὶ διαφυγόντες ἢ τραύματα ἢ φόνους. Πρὸς δὴ ταύτας τοῦ νεανίσκου τὰς θέσεις ἔξεστι μὲν λέγειν, καὶ ὅτι κακῶς οἴεται τὸν θάνατον εἶναι τῶν κακῶν καὶ τὰ τραύματα· τί γὰρ τούτων ἡμῖν κακόν, ἐν ψυχῇ τὴν ὑπόστασιν ἔχουσιν; Οὐδὲ γὰρ τὰ πάθη τῶν ὀρ-

— καὶ ἐπὶ τὰς τῶν πολλῶν] B καὶ ἐπίτασιν τῶν πολλῶν. — ὑπομεῖναι] D ὑποστῆναι. Res narratur apud Homerum Od. δ,187 sq. cf. Tzetz. Posthomer 261—265. ib. Jacobs. — τὸ ἀποθανεῖν] B τῷ ἀποθανεῖν. — ἅμα οὖν] D ἅμα γοῦν. — κἀκεῖνο] cett. καὶ ἐκεῖνο, sed E ut noster. — συγχωρεῖ τὸ τὸ] B συγχωρεῖτο τὸ. D συγχωρεῖ τὸ αἰσχρὸν. — θαυμαστὸν μὲν] cett. om. μὲν, neque vero Cod. E. — τῶν δὲ καλῶν] B τῶν δὲ καλῶς. — εἶδος] cett. τὸ εἶδος, sed E cum nostro facit. Mox D: πότε γίνεσθαι. — τινες φίλοις] B τινες φίλοι. Deinde D: ὅτι κακῶς οἴεται εἶναι τὸν θάνατον κακὸν καὶ τ. τρ. Bene. Inde a verbis ὅτι κακῶς οἴεται continuatur Ficini versio l. c. p. 271. quae desierat una cum Frgm. Procli edito. Atque ille plane ita: „Falso plerique putant vulnera mortemque mala.“

γάνων μεθίστησι τὰς τῶν χρωμένων ἀρετάς· οὔκουν οὐδὲ ὁ τέκτων τοῦ πρίονος αὐτῷ λωβηθέντος ἀποβάλλει τὴν τέχνην, οὐδὲ, εἰ ἦν ἡμῶν τὸ εὔδαιμον ἐν τῇ τεκτονικῇ, κακοδαίμονα ἂν εἴποιμεν τὸν τοῦ πρίονος ἀφῃρημένον· ἐπεὶ ὥςπερ ἡ ψυχὴ τὸ ὄργανον ἔχει, οὕτω καὶ τοῦ σώματος ἄλλα ἂν ἴδοι τις ὄργανα, δι' ὧν τὸ σῶμα κινεῖ τὰ ἐκτὸς, ὧν ἡ κακία τὴν τοῦ σώματος εὐεξίαν οὐ λυμαίνεται. Κατὰ ταῦτα δὴ οὖν καὶ τὰ πάθη τοῦ σώματος οὐ διαβαίνει καὶ μέχρι ψυχῆς, ὥςτε καὶ ὁ θάνατος εἰ καὶ σώματός ἐστι κακὸν, ἀλλ' οὔτι γε ψυχῆς. Εἰ τοίνυν τὸ μὲν καλὸν τῆς πράξεως ἐν ψυχῇ ἐστι, τὸ δὲ κακὸν ἐν ἄλλῳ, οὔπω δέδεικται τὸ αὐτὸ καλὸν καὶ κακόν. Ἔξεστι δὲ αὖ καὶ λογικῶς διακρίνειν, ὡς ἄλλο τὸ καθ' αὑτὸ καὶ ἄλλο τὸ συμβεβηκὸς, καὶ ὅ γε Σωκράτης τοῦτον ἐκλέγεται τῆς λύσεως τὸν τρόπον, ὡς τῷ νεανίσκῳ γνωριμώτερον· Ἔστι γὰρ ἡ ἀνδρικὴ πρᾶξις καλὸν καθ' ἑαυτὴν, κακὸν δὲ, εἴπερ ἄρα, κατὰ συμβεβηκὸς, διότι συμβέβηκεν ἀνδριζόμενον ἀποθανεῖν· ἔστω γὰρ ὁ θάνατος, εἰ βούλει, τῶν κακῶν, οὐκ ἄρα καθ' ὅτι ἐστὶ καὶ τοῦτο καὶ κακὸν, ἀλλὰ κατὰ συμβεβηκός. Εἷς δὲ καὶ οὗτος τρόπος ἐστὶ τῶν σοφιστικῶν ἐνοχλήσεων αἴτιος, ὅτι

— οὔκουν] D οὐκοῦν. [ex quo facile rescribitur οὐκ οὖν.] — ἀποβάλλει] B ὑποβάλλει. — οὐδὲ εἰ ἦν] A et D οὐδ' εἰ ἦν. B om. εἰ. — ἂν εἴποιμεν] B ἂν εἴπομεν. — οὕτω καὶ] A οὕτως καὶ. B om. καὶ. — ἄλλα ἂν] A ἀλλὰ ἄν. Ad argumentum hujus disputationis adhibe Platon. in Phaedon. p. 78 et Wyttenb. ad eum p. 143 sqq. p. 285 sq. adde Ciceronem in Tusculanis disputatt. I. cap. 5 sqq. — ἐν ψυχῇ] B ἐκ ψυχῆς ἐστί. — ἐν ἄλλῳ] om. B. — διακρίνειν] cett. διορίζειν, excepto E. Fic. *distinguere.* — τὸ καθ' αὑτὸ] D τὸ καθαυτό. — τὸ συμβεβηκὸς] cett. bene τὸ κατὰ συμβεβηκ. — τοῦτον ἐκλέγεται] B τοῦτο ἐκλεγ. — οὐκ ἄρα] A οὐκ γὰρ ἄρα. et in marg. ἴσως· οὐκ ἄρα. — καθότι] A et D καθ' ὅτι. D addit: καλόν τί. Fortasse scripsit Pr. καθ' ὅ,τι καλόν τί ἐστι, κατὰ τοῦτο καὶ καλὸν, ἀλλὰ κ. σ. — Ficini versio h. l. non ita cum verbis Procli convenit, ut ex ea restitui certo posse videatur germana lectio: *Non igitur officium forte secundum hoc ipsum, quod est forte, ideoque et pulcrum, est etiam malum, sed forte per accidens.* An habuit fortasse: οὐκ ἄρα καθῆκόν τι, καθ' ὅτι καλόν τι, κατὰ τοῦτο καὶ καλὸν, κατὰ ταὐτὸ καὶ κακὸν, ἀ. κ. σ.? Quae sequuntur εἷς δὲ usque ad διαλεκτικὸν νόμον omisit Fic. *Moser.* — καὶ τοῦτο καὶ] B et D melius κατὰ τοῦτο καὶ. — κακὸν, ἀλλὰ] D καλὸν, ἀλλά. — οὗτος τρόπος] B οὗτος ὁ τρόπος. Ficinus omisit hanc periodum. Proximam vocem ἐνόχλησις vulgaria Lexica sine ullâ cujusquam scriptoris auctoritate consignatam praestant. Nimirum desumpta est e Lexico vet.: „ἐνόχλησις, *molestiae exihibitio, perturbatio.*" Usi autem sunt eâ voce interprett. aliquot V. T. Tu vid. Bielii

τὰ κατὰ συμβεβηκὸς ὡς καθ' αὑτὸ λαμβάνουσι, καὶ οὐ διορίζουσι ταῦτα ἀπ' ἀλλήλων κατὰ τὸν διαλεκτικὸν νόμον. Ἄλλο δὴ οὖν ἐστι τὸ καλὸν καὶ ἄλλο τὸ κακόν, καὶ οὐ καθ' ὃ καλὸν δέδεικται κακόν, ἀλλὰ κατὰ συμβεβηκὸς διὰ τὸν θάνατον. Ἔξεστί γε μὴν κἀκεῖνο λέγειν, ὅτι τὴν οὐσίαν ἀγνοεῖ τοῦ ἀνθρώπου οὐ διορίζων ἀπὸ τοῦ καλοῦ τὸ ἀγαθόν, καὶ τὸ μὲν ἐν ἄλλῳ, τὸ δὲ ἐν ἄλλῳ τιθέμενος, καὶ τὸ μὲν ἀγαθὸν τῷ σώματι συμφύρων, τὸ δὲ καλὸν ἐπὶ τὴν ἐνέργειαν τῆς ψυχῆς ἀναφέρων, καὶ τὸ μὲν προηγούμενον, τὸ δὲ ἐπακολουθοῦν ὁμολογῶν. Ἀλλ' ὅ γε Σωκράτης οὐ ταύτην μετῆλθε τὴν λύσιν, ὅτι μηδὲ τὴν οὐσίαν ἡμῶν ἔδειξεν ἤδη τοῦ σώματος καθαρεύουσαν. Πρὸς ἄνθρωπον οὖν οἰόμενον τὸ σῶμα συμπληρωτικὸν εἶναι τῆς οὐσίας ἡμῶν οὔπω λέγειν ἦν δυνατόν, ὅτι τὸν θάνατον, εἴτε ἐστὶ κακὸν εἴτε μή, διορίζειν χρὴ τῶν τῷ ἀνθρώπῳ συμβαινόντων, καὶ μὴ συγχεῖν εἰς ταὐτὸ τό,τε ἀγαθὸν τοῦ σώματος καὶ τὸ ἀγαθὸν τοῦ ἀνθρώπου, μὴ δὲ τοῦ ὀργάνου κακὸν ἐπὶ τὸ χρώμενον ἀναπέμπειν.

[ργ.] Ὅρα τοίνυν, εἴ γε καλὸν καὶ ἀγαθόν, ὥςπερ ἐνταῦθα· „κατὰ τὴν ἀνδρείαν γὰρ ὡμολόγεις καλὸν εἶναι τὴν βοή-

Thes. et Schleusneri nov. Thes. in voc. Adde Theodoret. haeret. fabul. comp. V. 26 p. 469 Schulz.: *ἐνόχλησιν ἐπιθυμίας cupiditatis vexationem.* Formam *ὄχλησιν* ejectam volunt Atticistae. Attamen vid. Interprr. ad Thom. Magistr. p. 667 Bernard. Valckenar. ad Euripid. Phoeniss. vs. 886. Interprr. ad Moer. Atticist. p. 290 Pierson. ubi Sallier ex hoc ipso Procli in Alcib. commentario locum de Timone *ὀχλολοιδόρῳ* in medium protulit; quem supra attigimus. — Illam autem locutionem Proclus desumsit ex Aristotelis libro *περὶ ἑρμην.* ubi cap. 6. p. 60 Sylburg. haec leguntur: *καὶ ὅσα ἄλλα τῶν τοιούτων προςδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις.* — *καθὸ*] D *καθ' ὅ.* — *κἀκεῖνο*] A E et D *κἀκεῖνα.* — *συμφύρων*] i. e. confundens. Vid. de hac voce Platoni ejusque sectatoribus frequentatâ Annot. ad Plotin. de pulcr. p. 245 sqq. Proxime cod. D: *οὐ ταύτῃ μετῆλθε τὴν λύσιν.* — *οὐσίαν ἡμῶν*] B *οὐσίαν ἡμῖν.* — *οὖν οἰόμενον*] B om. *οὖν.* — *συμπληρωτικὸν*] B *συμπληρωτικὸς.* — *χρὴ τῶν*] B *χρημάτων.* — *μὴ συγχεῖν*] A *μὴν συγχεῖν.* — *εἰς ταὐτὸ*] D *εἰς ταὐτόν.* — *τό τε ἀγαθὸν*] B om. *τε.* — *μηδὲ τοῦ ὀργ.*] cett. *μηδὲ τὸ τοῦ ὀργ.* quod placet.

*ὅρα τοίνυν*] A *ἄρα τοίνυν.* Responsum Alcibiadis ad priora (*οὐ φαίνεται*), quod est in Edd., omisit Proclus, Ficinus vero totam, quae sequitur, sectionem. — *εἴ γε*] A *εἰ ἦγε.* B *εἰ εἴγε.* In Edd. est *εἰ ἦ γε*, ut in Cod. D. — *ὥςπερ ἐνταῦθα*] A et B seqq. om. usque ad: *ἔμοιγε δοκεῖ.*

„θειαν· τοῦτο νῦν σκόπει αὐτὸ τὴν ἀνδρείαν, ἀγαθὸν ἢ „κακόν· ὧδε σκόπει· πότερα ἂν δέξαιο σὺ εἶναι ἀγαθὰ ἢ „κακά; — ἀγαθά. — οὐκοῦν τὰ μέγιστα; — μάλιστα. „ — καὶ ἥκιστα τῶν τοιούτων δέξαιο ἂν στέρεσθαι; — „πῶς γὰρ οὔ; — πῶς οὖν λέγεις περὶ ἀνδρείας; ἐπὶ „τόσῳ οὖν δέξαιο στέρεσθαι; — οὐδὲν ζῆν ἂν ἐγὼ δεξαί- „μην δειλὸς ὤν. — ἔσχατον ἄρα σοι κακὸν εἶναι δοκεῖ ἡ „δειλία; — ἔμοιγε. — ἐξ ἴσου τῷ τεθνάναι, ὡς ἔοικε; — „φημί. — οὐκοῦν θανάτῳ τε καὶ δειλίᾳ ἐναντιώτατον „ζωὴ καὶ ἀνδρεία. — ναί. — καὶ τὰ μὲν μάλιστα εἶναι „βούλοιό σοι, τὰ δὲ ἥκιστα. — ναί. — ἆρα ὅτι τὰ μὲν „ἄριστα ἡγῇ, τὰ δὲ κάκιστα; — πάνυγε. — τὸ ἄρα βοη- „θεῖν ἐν πολέμῳ τοῖς φίλοις, ᾗ μὲν κακὸν, κατ' ἀγαθοῦ „πρᾶξιν τὴν τῆς ἀνδρείας καλὸν αὐτὸ προςεῖπες; — „φαίνομαί γε· — κατὰ δέ γε κακοῦ πρᾶξιν τὴν τοῦ θα- „νάτου κακόν. — ναί· — οὐκοῦν ὧδε δίκαιον, προςαγο- „ρεύειν ἑκάστην τῶν πράξεων· εἴπερ, ᾗ καὶ ἐργάζεται, κα- „κὴν καλεῖς, καὶ ᾗ ἀγαθὸν, ἀγαθὴν κλητέον; — ἔμοιγε „δοκεῖ.“ (p. 115. c. d. e. Bekk. p. 326. sq.)

*Μέχρι τῶν προειρημένων ῥημάτων ὅ,τε Ἀλκιβιάδης ἀντέστη πρὸς τὴν λέγουσαν πρότασιν τὸ κακὸν ἀγαθὸν εἶναι πᾶν, ἣν Σωκράτης διέλυσε τῷ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκὸς, ἀφ' ὧν πολλὰ τῶν ἀπόρων ὑπὸ τῶν διαλεκτικῶν εἴωθε διαλύε-*

— νῦν σκόπει αὐτὸ] D οὖν αὐτὸ σκόπει, ut Edd. — ὧδε σκόπει] D ὧδε δὲ σκόπει, et plane ita Edd., quae pergunt: σὺ πότερα ἂν δέξαιό σοι εἶναι. — δέξαιο σὺ] D σὺ δέξαιο. Priscianus de art. gramm. XVIII. 14. p. 1157 Putsch. p. 162 Krehl.: „Interrogative quoque ἂν „ponentes cum optativis proferunt. Plato in I. Alcibiade: Πότερα „ἂν δέξαιό σε." Sed vid. ibi Krehl. not. ad §. 124. p. 161. — ἐπὶ τόσῳ οὖν] D ἐπὶ πόσῳ οὖν αὐτῆς. Ad grammaticam rationem bene; sed in Edd. est: ἐπὶ πόσῳ ἂν αὐτοῦ. — οὐδὲν ζῆν] E et D οὐδὲ ζῆν, ut est in Edd. — ἐναντιώτατον] Edd. ἐναντιώτατα, sed Bekkerus — τον. — μάλιστα εἶναι] D om. εἶναι. Edd. μάλιστ' ἂν εἶναι. Tum ib. ἆρ' ὅτι — ἡγεῖ (Ast. et Bekk.) et προςεῖπας. Paulo inferius pro οὐκοῦν Astius rursus edidit οὔκουν. — ᾗ μὲν κακὸν] D et E ᾗ μὲν καλὸν, ut Edd. — ᾗ καὶ ἐργάζεται] D ᾗ καλὸν ἐργ. Edd. ᾗ κακὸν ἐργ. — κακὴν καλεῖς] D κακὴν λέγεις. — μέχρι τῶν] B et D μέχρι μὲν τῶν. — ῥημάτων] om. B. — τὸ κακὸν ἀγαθὸν] D τὸ καλὸν ἀγαθ. — τὸ κατὰ συμβεβηκὸς] D bene τῷ κ. σ. Mox Cod. E ἐπιλύεσθαι pro διαλ.

ϛθαι· ἐντεῦθεν δὲ ἤδη προηγουμένως κατασκευάζει τὴν πρότασιν ταύτην ἀμφιςβητήσιμον εἶναι δοξάσας, καὶ κέχρηται προσυλλογισμῷ προκατασκευάζοντι τὸ ζητούμενον, καὶ ἔστιν ὁ συλλογισμὸς πρῶτος πρῶ     ἐπιβάλλων· Γίνεται γὰρ κατὰ τὸ πρῶτον σχῆμα καὶ προείρηται ὁ τρόπος, πᾶν καλὸν ἐφετὸν, πᾶν ἐφετὸν ἀγαθὸν, πᾶν ἄρα καλὸν ἀγαθόν. Ἀλλ' εἰ μὲν οὑτωσὶ προὔφερε τὰ λήμματα, δῆλος ἂν ᾖ· νῦν δὲ δοκεῖ μερικώτερον αὐτῶν ἀντιλαμβάνεσθαι ἐπὶ ἀνδρείας ποιούμενος τὸν λόγον· αἴτιον δὲ, ὅτι βούλεται τὰς προτάσεις ὑπὸ τῆς ζωῆς τοῦ προςδιαλεγομένου λαβεῖν· τοῦτο γὰρ μαιευτικώτερον καὶ ἅμα δραστήριον πρὸς τὴν τοῦ ἀτελοῦς ἐπανόρθωσιν, ἐκεῖνο δὲ ἐπιστημονικώτερόν τε καὶ διαλεκτικώτερόν ἐστιν. Εἰ δὲ βούλει τοῖς ῥήμασι παρακολουθεῖν ἀκριβῶς, ὄψει κειμένας ἁπάσας τὰς προτάσεις. Ἐρωτῶν μὲν γὰρ, πότερον δέξαιτο αὐτῷ ὑπάρχειν τὰ ἀγαθὰ ἢ τὰ κακὰ, τὴν μεγίστην ἐρωτᾷ πρότασιν τὴν λέγουσαν το ἐφετὸν ἀγαθόν· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἐφετὸν ἢ τὸ ἀγαθόν· οὐ γὰρ δὴ τὸ κακόν· τοῦτο γὰρ παντὶ φευκτέον καὶ ἅμα τε γινώσκεται, οἷόν ἐστι, καὶ ὑπ' οὐδενὸς σπουδάζεται τῶν ὄντων. Ὅταν δὲ ὡς ἀγαθὸν ἐξαπατήσῃ, γίνεται πάλιν ἐφετόν· μόνον δὴ οὖν ἐφετόν ἐστι τὸ ἀγαθόν. Τί δὲ ἄλλο ἐστὶν, ὃ ἂν δεξαίμεθα ἡμῖν ὑπάρχειν, ἢ οὗ τὴν ἔφεσιν ἔχομεν καὶ βουλητὸν ἡμῖν ὑπάρχει· πάλιν δὲ αὖ, ἐρωτῶν, εἰ καὶ τὸ μέγιστον ἀγαθὸν μάλιστα ἐφετὸν ἐστιν, ἐκείνην λαμβάνει τὴν πρότασιν τὴν λέγουσαν, τὸ ἐραστὸν ἐστιν ἀγαθόν. Σύντονος γάρ ἐστιν ἔφεσις ὁ ἔρως, ὥςτε ὡς ἐφετὸν

— κατασκευάζει] B .....ζειν. — ἀμφιςβητήσιμον] B ἀναμφιςβητ. — δοξάσας] B δοξάσαι. D ....ξασαν (sic.) — προσυλλογισμῷ] B πρὸ συλλογισμοῦ. — προκατασκευάζοντι] B προκατασκευάζον τὸ. — συλλογισμὸς πρῶτος] A et D προσυλλογισμὸς πρῶτος. B πρῶτος συλλογισμός. — πρῶ....] om. B. — δῆλος ἂν ᾖ] B et D δῆλος ἂν ἦν. Bene. Proxime D: νῦν δέ μοι δοκεῖ. — ὑπὸ τῆς ζωῆς] cett. recte ἀπὸ τ. ζ., sed E ut noster. — .....λοῦς ἐπανόρθωσιν ..... τε καὶ διαλεκτι.] Sic haec om. B cum lacunâ. — αὐτῷ ὑπάρχειν] B αὐτῶν ὑπάρχειν. — οὐδὲν γὰρ ἄλλο ..... ἢ τὸ ἀγαθὸν] om. D. — οὐ γὰρ δὴ τὸ κακὸν] B om. τό. — ἡμῖν ὑπάρχειν] B ἢ μὴ ὑπάρχειν. — τὸ μέγιστον ἀγαθον] D τὸ μάλιστα ἀγ. — ἐραστόν ἐστι ἀγαθὸν] cett. ἐραστ. ἀγαθ. ἐστιν. Melius. — ὥςτε ὡς ἐφετὸν] cett. ὥςτε εἴτε ὡς ἐφ. excepto Cod. E. Sed addendum εἴτε. Vocabulum σύντονος in cod. D ex parte deletum.

λαμβάνοις το ἀγαθὸν, εἴτε ὡς ἐραστὸν συνάγειν αὐτῷ τὸ καλὸν ἐκ παντός. Τρίτον αὖθις προςλαμβάνειν, ὅτι οὐκ ἂν δέξαιτο ἀνδρείας στέρεσθαι, προςλαμβάνει τὸ καλὸν ἐραστὸν εἶναι καὶ ἐφετόν. Κεῖται γὰρ εἶναι καλὴν τὴν ἀνδρείαν· ἐξ ὧν καὶ συνάγεται τὸ τὴν ἀνδρείαν καὶ πᾶν τὸ οὑτωσὶ καλὸν ἅμα καὶ ἀγαθὸν εἶναι· κατασκευάζει δὲ, ὅτι καὶ ἡ ἀνδρεία ἐφετόν ἐστι καὶ ἀγαθὸν, καὶ ἀπὸ τοῦ ἐναντίου. Ἡ γὰρ δειλία κακὸν ἔσχατον, καὶ ἡ ἀνδρεία τῶν μεγίστων ἐστὶν ἀγαθῶν· καλὸν ἄρ' οὖσα καὶ ἀγαθόν ἐστιν οὐ τὸ τυχὸν, ἀλλὰ τὸ μέγιστον· συνήνεκται ἄρα τῷ καλῷ τὸ ἀγαθὸν καὶ κατ' ἄλλον τρόπον· εἰ γὰρ ὁ θάνατος αἱρετώτερός ἐστι τῆς δειλίας, κακῶς εἶναί ἐστι τὸ δειλὸν εἶναι· μόνον γὰρ τὸ κακῶς εἶναι τοῦ μὴ εἶναι φευκτότερον, ἄλλο δὲ οὐδέν. Εἰ δὲ ἧττον κακὸν τὸ μὴ εἶναι τοῦ δειλὸν εἶναι, μᾶλλον ἀγαθὸν τὸ ἀνδρεῖον εἶναι τοῦ ζῆν· τῷ γὰρ μᾶλλον κακῷ τὸ μᾶλλον ἀγαθὸν ἀντίκειται· ἡ ἄρα ἀνδρεία μειζόνως ἐστὶν ἀγαθὸν, ἤπερ ἡ ζωή. Εἰ δὲ καὶ ἶσον κακὸν ὁ θάνατος τῇ δειλίᾳ, καὶ τὰ ἐναντία αὐτῆς ἐπίσης ἀγαθὰ, ζωὴ καὶ ἀνδρεία. Οὐκ ἄρα διὰ τὸν θάνατον ἀφαιρετέον τῆς ἀνδρείας τὸ ἀγαθόν· ἶσον γάρ ἐστιν ἀγαθὸν τῇ ζωῇ, καὶ οὐ διὰ τὴν ζωὴν ἀγαθὸν, ἀλλὰ δι' αὐτήν· ὑπερορᾶταί γοῦν ἡ ζωὴ διὰ τὴν τῆς ἀνδρείας ἔφεσιν. Δέδεικται τοίνυν ἐπὶ τῆς ἀνδρείας, ὅτι τὸ αὐτὸ καλόν ἐστι καὶ ἀγαθόν· ἔλαθον δὲ αἱ προτάσεις, ἐπείπερ ὁ Σωκράτης μαιευόμενος, ἀλλ' οὐκ ἀγωνιζόμενος ἐπὶ μερικοῦ πεποίηται τὰς ἐρωτήσεις.

— συνάγειν] cett. commodius συνάπτειν, excepto E. In seqq. cett. omnes libri pro προςλαμβάνειν recte exhibent προςλαμβάνων. — οὐκ ἂν δέξαιτο ἀνδρείας] cett. ἀνδρ. οὐκ ἂν δέξ. sed E cum nostro facit. — τὸ καλὸν ἐραστὸν εἶναι] D τῷ τὸ καλὸν εἶναι, omisso ἐραστόν. — εἶναι καλὴν] D εἶναι καλόν. — καὶ συνάγεται] B et D om. καί. — ὅτι καὶ ἡ ἀνδρ.] D om. καί. — ἡ γὰρ δειλία] cett. optime εἰ γὰρ ἡ δειλία. Sed E ἡ γὰρ ἡ δειλία. — καὶ ἡ ἀνδρεία τῶν .... οὐ τὸ τυχὸν] om. B. — συνήνεκται] cett. recte συνήνωται, excepto E. — κακῶς εἶναι] B κακῶς (ος superscr.) εἶναι (sic). — τὸ μὴ εἶναι τοῦ] D τοῦ μὴ εἶναι τό. — ἶσον κακὸν] B ἴσον κακόν. — αὐτῆς ἐπίσης] B αὐτῆς ἐπιστήμης. D αὐτοῖς ἐπίσης. — δέδεικται τοίνυν] A δέδεκται τοίνυν. — ἐπείπερ ὁ Σωκρ.] D ἐπεὶ ὁ Σωκρ. — ἐπὶ μερικοῦ] D ἐπὶ θαρ(νοῦ superscr.) (sic). — πεποίηται τὰς ἐρωτήσεις] his desinit Cod. B.

[ρδ.] „Ἀρ' οὖν καὶ ᾗ ἀγαθὸν, καλὸν, ᾗ δὲ κακὸν, αἰ„σχρόν; — ναί. — τὴν ἄρα ἐν τῷ πολέμῳ τοῖς φίλοις „βοήθειαν λέγων καλὴν μὲν εἶναι, κακὴν δὲ, οὐδὲν δια„φερόντως λέγεις, ἢ ὡς προεῖπες αὐτὴν ἀγαθὴν μὲν, κα„κὴν δέ. — ἀληθῆ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες. — „οὐδὲν ἄρα τῶν καλῶν, καθόσον καλὸν, κακὸν, οὐδὲ τῶν „αἰσχρῶν, καθόσον αἰσχρὸν, ἀγαθόν. — φαίνεται." (p. 116. a. Bekk. 327. sq.)

Τὸ καθ' αὑτὸ τοῦ ᾗ αὐτὸ καὶ ὑπὸ τοῦ Ἀριστοτέλους ὀρθῶς διακέκριται, καὶ λέλεκται, ὅτι τὸ μὲν καθ' αὑτὸ ὑπάρχον δύναται καὶ μὴ πρώτως ὑπάρχειν, τὸ δὲ ᾗ αὐτὸ, πρὸς τὸ καθ' αὑτο παρεῖναι τοῖς ὑποκειμένοις, καὶ πρώτως αὐτοῖς πάρεστι δηλονότι καὶ ἐξισάζει πρὸς αὐτά· τὸ γὰρ ἀπ' αὐτῶν ἄρχεσθαι καὶ ἐν αὐτοῖς ἵστασθαι τῶν ἐξ ἴσου τὴν ὑπόστασιν ἐχόντων ἐστὶ τοῖς ὑποκειμένοις. Ὁ δὴ Σωκράτης ἐν τούτοις τὸ καλὸν ἀγαθὸν ἀποδείξας ἐπαγωνίζεται τῷ λόγῳ καὶ προςτίθησιν, ὅτι ᾗ καλὸν, ἀγαθόν ἐστιν, ἵνα καὶ ἀντιστρέφοντα ταῦτα δείξῃ ἀλήλλοις. Καὶ συγχωρεῖ μὲν ὁ νεανίσκος, ἔννοιαν ἤδη λαβὼν τοῦ φύσει καλοῦ καὶ τοῦτο εὑρὼν, ὡς ἅμα καὶ ἀγαθόν ἐστιν· ὑπομιμνήσκειν δὲ ἔξεστι τοὺς ἀμφισβητοῦντας. Εἰ γὰρ τὸ καλὸν συμμετρίας ἐστὶν αἴτιον τῇ ψυχῇ, καὶ εἰ διὰ τοῦτο λέγεται καλὸν, καὶ εἰ τὸ κρεῖττον ἐν ἡμῖν παρέχεται κρατεῖν τοῦ χείρονος, καὶ εἰ τελειωτικόν ἐστιν ἡμῶν καὶ τοῦ

*αἰσχρόν; ναί*] A sqq. om. usque ad *φαίνεται*. Proxime: *καλὴν μὲν εἶναι, κακὴν δὲ, οὐδαμῶς.* Sic Buttm. qui idem tamen extremam vocem e Stobaeo illatam significat. Vides non agnosci eam a Procli codd. et recte expunxit Bekker. Mox editt. *ἢ εἰ προςεῖπες.* — *φαίνεται*] D *οὐ φαίνεται.* ut Edd. — *τὸ καθ' αὑτὸ*] in marg. cod. D. Cῆ. *περὶ τοῦ καθ' αὑτὸ καὶ ᾗ αὐτό.* Extrema haec latine vertit Fic. l. c. p. 273 sq. — *τοῦ Ἀριστοτέλους*] A *τὸν Ἀριστ.* Vid. Analyt. poster. I. 4. p. 204 sq. Sylb. cf. Metaphys. IV. 18 p. 90 sq. Ac vide, quomodo Proclus ubivis Platonem cum Aristotele componere studeat. Hinc Jul. C. Scaliger Nostrum festive appellare solebat Platonis et Aristotelis glutinum. Vid. Thom. Reinesii Observatt. in Suidam in *Πρόκλος* p. 211 ed. Müller. — *πρώτως ὑπάρχειν*] A *πρώτω ὑπάρχειν.* D *πρότ... ὑπάρχειν* (sic). — *πρώτως αὐτοῖς*] D *πρώτερον αὐτοῖς.* — *ἀπ' αὐτῶν ἄρχεσθαι*] D *ἀπ' αὐτοῖς ἀρχ.* Inde ab his verbis usque ad *ἀμφιςβητοῦντας* omnia omisit Fic. — *προςτίθησιν*] D *προτίθησιν.* — *ὅτι ᾗ καλὸν*] D *ὅτι καὶ ᾗ καλόν.* — *ἀντιστρέφοντα ταῦτα δείξῃ*] D *ἀντιστρ. δ. ταῦτα.*

*αἴσχους τῆς ψυχῆς καθαρτικὸν, κατὰ ταὐτὰ ταῦτα καὶ ἀγαθόν ἐστι· καὶ ᾗ ταῦτα ἐργάζεται τῆς ἀγαθοῦ μοίρας ἐστὶ καὶ οὐ κατὰ συμβεβηκός ἐστιν ἀγαθὸν, ἀλλὰ ᾗ καλόν. Εἰ γὰρ ᾗ καλὸν, σύμμετρόν ἐστιν, ᾗ δὲ σύμμετρον, ἀγαθόν· μέτρον γὰρ καὶ τὸ ἀγαθόν ἐστιν· ὥςτε καὶ τὸ ἐναντίον ᾗ αἰσχρὸν, κακόν ἐστιν· ᾗ γὰρ αἰσχρὸν, ἄμορφόν ἐστι καὶ ἀόριστον καὶ ἄμετρον, ᾗ δὲ ταῦτα, ἐστὶ κακόν· ᾗ ἄρα αἰσχρὸν καὶ κακὸν δηλονότι ἀναφαίνεται. Συνάγει δ' οὖν εἰκότως ὁ Σωκράτης καὶ ἀγαθὸν εἴπερ, ᾗ καλὸν, καὶ ἀγαθόν ἐστι, καὶ ὅτι τῷ αἰσχρῷ τὸ κακὸν ταὐτὸν, εἴπερ, ᾗ αἰσχρὸν, κακόν ἐστιν, ἐφ' οἷς συλλογίζεται, ὡς οὐ δεῖ τὸ αὐτὸ καὶ καλὸν λέγειν καὶ κακὸν, οὐδὲ αἰσχρὸν καὶ καλόν. Καὶ ἔστιν ἐνταῦθα λαβεῖν θεώρημα λογικὸν, ᾧ καὶ Ἀριστοτέλης ὕστερον ἐχρήσατο, ὅτι, ἐὰν δύο ἅττα ἀλλήλοις ἀντιστρέφει καὶ τὰ τούτοις ἐναντία ἀλλήλοις, οὐ δυνατὸν θατέρῳ καὶ δύο τούτων ἀκολουθεῖν τὸ ἐναντίον τῷ λοιπῷ· εἰ γὰρ τὸ καλὸν καὶ τὸ ἀγαθὸν ἀντιστέφει καὶ τὰ ἀντικείμενα αὐτοῖς, τὸ κακὸν καὶ τὸ αἰσχρόν. Τέλος.*

— *κατὰ ταὐτὰ ταῦτα*] A et D bene *κατ' αὐτὰ ταῦτα.* Paulo inferius post verba: *μέτρον γὰρ καὶ τὸ ἀγαθόν ἐστιν* addit Fic. *Certe qua pulchrum est, existit et bonum.* — De pulcritudine *τῆς συμμετρίας* vel formâ vel caussâ etiam in moribus plura exposui ad Plotin. de pulcrit. p. 146 sq. Nunc conferri velim Zellii annot. ad Aristotelis Ethic. Nicomach. IV. 3 p. 135. In corporea pulcritudine explicandâ Veteres *ἀναλογίας* quoque appellationem usurpasse prodit Eustathius ad Odyss. VI. 152. p. 255. Basil. — *καὶ κακὸν δηλονότι*] A et D *δηλονότι καὶ κακὸν.* — *ὁ Σωκράτης*] D et E addunt: *ὅτι ταυτόν ἐστι καλὸν καὶ ἀγαθὸν.* Nec rejicienda illa. A *κακὸν* pro *καλὸν* habet. — *καὶ καλὸν λέγειν καὶ κακὸν*] D *καὶ κακὸν λέγειν καὶ καλὸν.* — *ἐνταῦθα λαβεῖν*] A et D *ἐντεῦθεν λαβεῖν.* In seqq. malim *ἅττα* pro *ἅττα* et *ἀντιστρέφῃ.* Alterum *ἀντιστρέφει* bis ponendum videtur, ut sit: *εἰ γὰρ τὸ καλὸν καὶ τὸ ἀγαθὸν ἀντιστρέφει, ἀντιστρέφει καὶ τὰ ἀντικείμενα αὐτοῖς.* Et hunc sensum expressit Fic. vertens: Si igitur pulchrum bonumque *convertuntur* inter se, eorum quoque opposita — inter se *convertuntur.* Pro *οὐ δυνατὸν θατέρῳ καὶ δύο τούτων* Cod. D exhibet *οὐ δ. θατέρῳ τῶν δύο τούτων.* Ceterum de his conversionibus dialecticis consule Aristotelem in Analyt. prior. I. p. 80 sq. Sylb. in Analyt. poster. II. 9. p. 170. in Topic. libr. VIII. p. 418. — *ἀντιστρέφει*] A et E *ἀντιστρέφῃ.* D *ἀντιστρέφ::* (sic). — *τέλος.* Deest in Cod. D et A. In fine Cod. E scriptum est: „Maxima et pulcherrima pars horum „commentariorum vetustate interiit." In fine apographi Codicis D: „Caetera desunt in hoc codice 1032 et quidem sub initium paginae „rectae, reliquo chartae spatio albo relicto; unde constat ab antiquio„re libro *itidem manco* apographum hoc per virum doctum minutis „et fugientibus literulis sibi descriptum fuisse."